Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

N
i
517Y
RBR
CONFINED



Gilbert Murray

303382489/

# INITIA
# PHILOSOPHIÆ AC THEOLOGIÆ
## EX PLATONICIS FONTIBUS DUCTA
SIVE
# PROCLI DIADOCHI
ET
# OLYMPIODORI
## IN PLATONIS ALCIBIADEM COMMENTARII.

---

Ex codd. mss. nunc primum graece edidit

itemque

EIUSDEM PROCLI

INSTITUTIONEM THEOLOGICAM

integriorem emendatioremque adjecit

Fridericus Creuzer.

---

*Pars Altera.*

---

FRANCOFURTI AD MOENUM
IN OFFICINA BROENNERIANA.
MDCCCXXI.

# ΟΛΥΜΠΙΟΔΩΡΟΥ

# ΕΙΣ ΤΟΝ ΠΛΑΤΩΝΟΣ ΠΡΩΤΟΝ ΑΛΚΙΒΙΑΔΗΝ.

# Olympiodori

## in Platonis Alcibiadem Priorem Commentarii.

Primum Edidit

Annotationemque Subjecit

Fridericus Creuzer.

Francofurti ad Mœnum

In Officina Broenneriana

MDCCCXXI.

Ioanni Gurlitt

Theologiae et Philosophiae Doctori Gymnasii in Libera Civitate Hamburgensi Praefecto Meritissimo

et

Iosepho de Hammer

Augustissimo Austriae Imperatori a Consiliis Aulicis Linguarum Orientalium Interpreti Doctissimo et Caesarei Ordinis qui a Leopoldo Nomen Ornamentumque habet Equiti.

Antiquae Theologiae aeque ac Philosophiae

M a g i s t r i s E g r e g i i s.

Fridericus Creuzer.

D. D.

# PARS ALTERA.

# PROOEMIUM PARTIS SECUNDAE.

## §. 1.

### *De Olympiodoris.*

Quando passim homines haud indocti [1] mirifice inter se confuderunt Olympiodoros, qui haud pauci fuerunt, et nuper admodum vir eruditus, quem in huiusmodi causâ nominare nolo, nostrum Olympiodorum nunc plane omisit, nunc praepostero ordine posuit; neque vero Fabricius, vir praestantissimus, in Bibliotheca graeca hujusque libri editor Harlesius hunc locum literarium universum omnibus nummeris absolverunt; age proficiscamur ex hac ipsa Bibliotheca, ac primum breviter exponamus de Olympiodoris, deinde de hoc ipso Platonicorum aliquot dialogorum interprete cognomine.

Fabricius in Biblioth. gr. lib. III. c. IV. p. 63. Vol. III, p. 180 ed. Harles.: »Olympiodori, Platonici, duo fuerunt, unus ad quem Isidorus Pelusiota II, 256 epist. [2], alter Damascio iunior [3], cuius commentarii in quosdam Platonis dialogos exstant Mss. Fuit et tertius Olympiodorus, Peripateticus, quem audivit Proclus. Vide quae infra libro V. cap. 26. p. 526. et cap. 36. p. 354. Fabric. Nedhami praef. ad Hieroclem pag. 19. Heumann. adde infra in Catalogo

(1) Vid. not. ad inscriptionem Vitae Platonis ab Olympiodoro graece scriptae in Diogen. Laërt. ed. Amstel. Wetsten. Vol. II. p. 582.

(2) Ed. Paris. 1638. p. 239. Apponam has literas, cum quia ad discernendos hos Platonicos cognomines faciunt, tum quoniam philosophiae moralis Platonicae elegantem significationem habent: *Ὀλυμπιοδώρῳ· Θαυμάζω, πῶς Πλάτωνα θαυμάζων, τὰς παραινέσεις αὐτοῦ παρὰ φαῦλον τίθεσαι· ἐκεῖνος γάρ φησι τοὺς τῆς ἀρετῆς κλῶνας πόνῳ καὶ ἱδρῶτι φύεσθαι· σὺ δ' οὐκ οἶδ' ὅπως ἄπονον ἐπανεῖλου βίον.* Hae literulae neque ad Philosophum scribi potuerunt, qui minime impatiens fuit laboris, neque ab Isidoro Pelusiota scribi ad hominem, qui etiam post Damascium vixit. Cr.

(3) Laudat enim huius commentarium in Platonis Alcibiadem I vid. Prooem. ad Procl. in Alcib. §. 2 XIV. Cr.

Peripateticorum h. v. [Vol. III, p. 501. ed. Harles.] De Olympiodori comment. in quosdam Platonis libros supra ad Platonis dialogos [Vol. III. p. 83] egimus. De hoc Olympiodoro Platonico copiosus est Lambecius comment. de bibl. Vindobon. Tom. VII. p. 99 sqq. p. 271 sqq. et p. 278 sq. cum nota Kollarii. Plures Olympiodoros enumerat Fabricius lib. V, cap. 36. Tom. IX. p. 351 sq. [Vol. X. p. 628 sqq. Harl.] Ruhnken. ad Timaei Lex. Plat. p. 36 etc. dedit fragmenta. Harles.«

Ibi Fabricius et qui eius Bibliothecam graecam postea exornarunt viri docti septem Olympiodoros dinumerant. In illis Olympiodorus, Thebis in Aegypto natus, rerum scriptor, seculum amplius nostrum philosophum praevertit. (Vossius de Historicis grr. II, 20. p. 210.) Alios Olympiodoros non morabimur. Illud non est silentio praetermittendum, quod apud Marinum legitur, ut in qua narratione lapsus est vir doctissimus. Ita enim ille in vita Procli cap. 9. p. 19. p. 7. Boissonad.: ἐπανελθὼν δὲ (Πρόκλος) πρότερον εἰς Ἀλεξάνδρειαν, καὶ ῥητορικῇ καὶ τοῖς ἄλλοις περὶ ἃ πρώην ἐσπούδαζε χαίρειν εἰπών, τὰς τῶν ἐκεῖ φιλοσόφων μετεδίωκε συνουσίας· καὶ φοιτᾷ ἐπὶ μὲν Ἀριστοτελικοῖς παρ' Ὀλυμπιόδωρον τὸν φιλόσοφον, οὗ κλέος εὐρύ. Quod descripsit Suidas in Ὀλυμπιόδωρος, neque vero accurate, sed turbato ordine et sensu, uti docet in notis ad Marin. Boissonadius [4]. Ibidem (p. 83) I. A. Fabricius haec adiicit: »Caeterum fallitur Lambecius, cum »hunc Olympiodorum *Procli magistrum* eundem esse putat »cum Philosopho eiusdem nominis, *cuius commentarii eruditi »in Platonis quosdam libros manu exarati supersunt in »variis bibliothecis*. Nam in his non modo Proclus ipse, »sed et Proclo longe iunior Damascius laudatur.« Haec Fabricius. Ad extrema confer quae congessi in Prooemio ad Procl. in Alcib. I. §. 2.

Fabricius (B. gr. III, 8. Vol. III. p. 501. Harles: cf. Vol. X, p. 628 sq. Harl.) posteaquam eundem Procli ma-

(4) Cf. etiam Reinesii observatt. in Suidam p. 183. ed. Mueller.

gistrum attigit, duos insuper Olympiodoros eosdemque Peripateticos memorat: »Olympiodorus, *Theophrasti discipulus,* »(Diogen. Laërt. V. 57.) Olympiodorus *iunior, cuius com-* »*mentarii in Aristotelis libros quatuor Meteoron exstant cet.* [5]«

Proinde ὁ περίπατος tres sibi vindicat Olympiodoros; Academia, vel potius quae ab Academia remotior postea succrevit Platonicorum familia, binos. Restat ut videamus de Olympiodoro iuniore eodemque Platonico philosopho.

§. 2.

*De Olympiodoro minore eodemque Platonico.*

Saxius in onomastico literario II, p. 54. *ad annum aer. Chrst.* 565. posteaquam de Olympiodoro Alexandrino Peripatetico monuit, ita pergit: »An vero alius *Olympiodorus,* Philosophus Platonicus, de quo itidem Fabricius Bibl. graec. lib. V, c. 36. p. 354. 355. Vol. IX [Vol. X. p. 631 sqq. Harl.] in haec tempora cadat, ut visum est Hambergero Part. III, p. 396, ad iudicandum haudquaquam proclive est.« — Contra Mustoxydes et Schinas ad Olympiodori Scholia in Platon. Phaedon. ed. Venet p. 21. haec adscripserunt: πολλοὶ ἐχρημάτισαν οἱ Ὀλυμπιόδωροι· ὁ ἡμέτερος οὗτος φαίνεται νὰ εἶναι ὁ Ἀλεξανδρινὸς φιλόσοφος τῆς ἕκτης ἑκατονταετηρίδος, ὁποῦ ἀναφέρει συχνὰ ὁ Δαμάσκιος, ὁ ὁποῖος ἔζη ἐπὶ Θεοδωρίκου, δεσποτεύοντος κατὰ τὴν Ἰταλίαν μεταξὺ 493 καὶ 526.« Experiamur, an ex hac vel diversitate testimoniorum vel fluctuatione in stabiliorem locum pervenire possimus.

Jam illud dudum expediit I. A. Fabricius, et vero certo docet hic ipse commentarius in Alcibiadem: Damascii scripta lectitata esse a nostro Olympiodoro. Atqui certa scriptorum fide constat, floruisse illum imperante Justiniano [1]. Justinianeam autem aetatem vel

(5) Recensentur eorum commentariorum codices et editiones. Tu cf. praeterea I. C. Brunet Manuel du libraire Tom. II. p. 582 ed. tert. Cr.

(1) Suidas in Δαμάσκιος I, p. 506 Kust. indeque Eudocia in Violar. p. 134. Imperium tenuit Iustinianus I. inde ab anno 527

LIBRARY OF CLASSICAL LITERATURE
OXFORD

Ioanni Gurlitt

Theologiae et Philosophiae Doctori Gymnasii in Libera Civitate Hamburgensi Praefecto Meritissimo

et

Iosepho de Hammer

Augustissimo Austriae Imperatori a Consiliis Aulicis Linguarum Orientalium Interpreti Doctissimo et Caesarei Ordinis qui a Leopoldo Nomen Ornamentumque habet Equiti.

Antiquae Theologiae aeque ac Philosophiae

Magistris Egregiis.

Fridericus Creuzer.

D. D.

# PARS ALTERA.

# PROOEMIUM PARTIS SECUNDAE.

## §. 1.

### *De Olympiodoris.*

Quando passim homines haud indocti [1] mirifice inter se confuderunt Olympiodoros, qui haud pauci fuerunt, et nuper admodum vir eruditus, quem in huiusmodi causâ nominare nolo, nostrum Olympiodorum nunc plane omisit, nunc praepostero ordine posuit; neque vero Fabricius, vir praestantissimus, in Bibliotheca graeca hujusque libri editor Harlesius hunc locum literarium universum omnibus nummeris absolverunt; age proficiscamur ex hac ipsa Bibliotheca, ac primum breviter exponamus de Olympiodoris, deinde de hoc ipso Platonicorum aliquot dialogorum interprete cognomine.

Fabricius in Biblioth. gr. lib. III. c. IV. p. 63. Vol. III, p. 180 ed. Harles.: »Olympiodori, Platonici, duo fuerunt, unus ad quem Isidorus Pelusiota II, 256 epist. [2], alter Damascio iunior [3], cuius commentarii in quosdam Platonis dialogos exstant Mss. Fuit et tertius Olympiodorus, Peripateticus, quem audivit Proclus. Vide quae infra libro V. cap. 26. p. 526. et cap. 36. p. 354. Fabric. Nedhami praef. ad Hieroclem pag. 19. Heumann. adde infra in Catalogo

(1) Vid. not. ad inscriptionem Vitae Platonis ab Olympiodoro graece scriptae in Diogen. Laërt. ed. Amstel. Wetsten. Vol. II. p. 582.

(2) Ed. Paris. 1638. p. 239. Apponam has literas, cum quia ad discernendos hos Platonicos cognomines faciunt, tum quoniam philosophiae moralis Platonicae elegantem significationem habent: *Ὀλυμπιοδώρῳ· Θαυμάζω, πῶς Πλάτωνα θαυμάζων, τὰς παραινέσεις αὐτοῦ παρὰ φαῦλον τίθεσαι· ἐκεῖνος γάρ φησι τοὺς τῆς ἀρετῆς κλῶνας πόνῳ καὶ ἱδρῶτι φύεσθαι· σὺ δ' οὐκ οἶδ' ὅπως ἄπονον ἐπανείλου βίον.* Hae literulae neque ad Philosophum scribi potuerunt, qui minime impatiens fuit laboris, neque ab Isidoro Pelusiota scribi ad hominem, qui etiam post Damascium vixit. Cr.

(3) Laudat enim huius commentarium in Platonis Alcibiadem I. vid. Prooem. ad Procl. in Alcib. §. 2 XIV. Cr.

Peripateticorum h. v. [Vol. III, p. 501. ed. Harles.] De Olympiodori comment. in quosdam Platonis libros supra ad Platonis dialogos [Vol. III. p. 83] egimus. De hoc Olympiodoro Platonico copiosus est Lambecius comment. de bibl. Vindobon. Tom. VII. p. 99 sqq. p. 271 sqq. et p. 278 sq. cum nota Kollarii. Plures Olympiodoros enumerat Fabricius lib. V, cap. 36. Tom. IX. p. 351 sq. [Vol. X. p. 628 sqq. Harl.] Ruhnken. ad Timaei Lex. Plat. p. 36 etc. dedit fragmenta. Harles.«

Ibi Fabricius et qui eius Bibliothecam graecam postea exornarunt viri docti septem Olympiodoros dinumerant. In illis Olympiodorus, Thebis in Aegypto natus, rerum scriptor: seculum amplius nostrum philosophum praevertit. (Vossius de Historicis grr. II, 20. p. 210.) Alios Olympiodoros non morabimur. Illud non est silentio praetermittendum, quod apud Marinum legitur, ut in qua narratione lapsus est vir doctissimus. Ita enim ille in vita Procli cap. 9. p. 19. p. 7. Boissonad.: *ἐπανελθὼν δὲ (Πρόκλος) πρότερον εἰς Ἀλεξάνδρειαν, καὶ ῥητορικῇ καὶ τοῖς ἄλλοις περὶ ἃ πρώην ἐσπούδαζε χαίρειν εἰπὼν, τὰς τῶν ἐκεῖ φιλοσόφων μετεδίωκε συνουσίας· καὶ φοιτᾷ ἐπὶ μὲν Ἀριστοτελικοῖς παρ' Ὀλυμπιόδωρον τὸν φιλόσοφον, οὗ κλέος εὐρύ.* Quod descripsit Suidas in *Ὀλυμπιόδωρος*, neque vero accurate, sed turbato ordine et sensu, uti docet in notis ad Marin. Boissonadius [4]. Ibidem (p. 83) I. A. Fabricius haec adiicit: »Caeterum fallitur Lambecius, cum »hunc Olympiodorum *Procli magistrum* eundem esse putat »cum Philosopho eiusdem nominis, *cuius commentarii eruditi »in Platonis quosdam libros manu exarati supersunt in »variis bibliothecis*. Nam in his non modo Proclus ipse, »sed et Proclo longe iunior Damascius laudatur.« Haec Fabricius. Ad extrema confer quae congessi in Prooemio ad Procl. in Alcib. I. §. 2.

Fabricius (B. gr. III, 8. Vol. III. p. 501. Harles: cf. Vol. X, p. 628 sq. Harl.) posteaquam eundem Procli ma-

(4) Cf. etiam Reinesii observatt. in Suidam p. 183. ed. Mueller.

gistrum attigit, duos insuper Olympiodoros eosdemque Peripateticos memorat: »Olympiodorus, *Theophrasti discipulus*, »(Diogen. Laërt. V. 57.) Olympiodorus *iunior*, *cuius com»mentarii in Aristotelis libros quatuor Meteoron exstant cet.* [5]«

Proinde ὁ περίπατος tres sibi vindicat Olympiodoros; Academia, vel potius quae ab Academia remotior postea succrevit Platonicorum familia, binos. Restat ut videamus de Olympiodoro iuniore eodemque Platonico philosopho.

§. 2.

*De Olympiodoro minore eodemque Platonico.*

Saxius in onomastico literario II, p. 54. *ad annum aer. Chrst.* 565. posteaquam de Olympiodoro Alexandrino Peripatetico monuit, ita pergit: »An vero alius *Olympiodorus*, Philosophus Platonicus, de quo itidem Fabricius Bibl. graec. lib. V, c. 36. p. 354. 355. Vol. IX [Vol. X. p. 631 sqq. Harl.] in haec tempora cadat, ut visum est Hambergero Part. III, p. 396, ad iudicandum haudquaquam proclive est.« — Contra Mustoxydes et Schinas ad Olympiodori Scholia in Platon. Phaedon. ed. Venet p. 21. haec adscripserunt: πολλοὶ ἐχρημάτισαν οἱ Ὀλυμπιόδωροι· ὁ ἡμέτερος οὗτος φαίνεται νὰ εἶναι ὁ Ἀλεξανδρινὸς φιλόσοφος τῆς ἕκτης ἑκατονταετηρίδος, ὁποῦ ἀναφέρει συχνὰ ὁ Δαμάσκιος, ὁ ὁποῖος ἔζη ἐπὶ Θεοδωρίκου, δεσποτεύοντος κατὰ τὴν Ἰταλίαν μεταξὺ 493 καὶ 526.« Experiamur, an ex hac vel diversitate testimoniorum vel fluctuatione in stabiliorem locum pervenire possimus.

Jam illud dudum expediit I. A. Fabricius, et vero certo docet hic ipse commentarius in Alcibiadem: Damascii scripta lectitata esse a nostro Olympiodoro. Atqui certa scriptorum fide constat, floruisse illum imperante Justiniano [1]. Justinianeam autem aetatem vel

(5) Recensentur eorum commentariorum codices et editiones. Tu cf. praeterea I. C. Brunet Manuel du libraire Tom. II. p. 582 ed. tert. Cr.

(1) Suidas in Δαμάσκιος I, p. 506 Kust. indeque Eudocia in Violar. p. 134. Imperium tenuit Iustinianus I. inde ab anno 527

maxime redolent illa quae in hoc ipso philosophi nostri commentario (πραξ. έ fin. p. 141 ed. nostr.) legimus: Ἴσως δὲ ὁ Πλάτων ὡς εὐπορῶν ἀμισθίαν (ita legendum) ἐπετήδευσε, διὸ καὶ μέχρι τοῦ παρόντος σώζονται τὰ διαδοχικὰ καὶ ταῦτα πολλῶν δημεύσεων γενομένων. — »Propterea etiam hodieque instituta successionum (nimirum Platonicarum scholarum, quibus gratis instituebantur alumni) retinentur, quantumvis multae bonorum publicationes fiant.« Nolo repetere, quae ibi in annotatione posui, alia addam coniunctiora cum nostro consilio: Zonaras Annall. XIV, 6. p. 63 Paris. p. 50 Venet.: οὐ μόνον δὲ τὸν ἱερὸν τοῦτον δόμον ὁ Βασιλεὺς ἐκεῖνος ἐδείματο (sc. Ἰουστινιανός), ἀλλὰ καὶ ἑτέρους πλείονας, ἐν οἷς ἀπείρων χρημάτων δεόμενος, τὰς τυπωθείσας ἀνέκαθεν ἐν ἑκάστῃ τῶν πόλεων δίδοσθαι σιτήσεις τοῖς ἐν αὐταῖς διδασκάλοις τῶν λογικῶν τεχνῶν καὶ ἐπιστημῶν, ὑποθήκαις τοῦ Ἐπάρχου, ἐξέκοψε, καὶ οὕτω, τῶν ἐν ταῖς πόλεσι διδασκαλείων ἐσχολακότων, ἀγροικία τῶν ἐν αὐταῖς κατεκράτησε. »Neque vero hoc duntaxat, sed et alia plura templa exstruxit; ad quorum aedificationem, cum infinitis egeret pecuniis, de consilio Praefecti stipendia liberalium artium magistris olim constituta in omnibus urbibus sustulit, quarum cives, vacantibus literarum ludis, rusticitas invasit.« Nempe hoc pacto gratum animum praestabat magnus, si Diis placet, Iustinianus literarum doctoribus, qui et antehac Christianae ecclesiae principes Patres erudierant, et recenti memoriâ ipsius Caesaris consiliariis suâ doctrinâ insigniter profuerant. Acquiescam laudandis duobus testimoniis scriptorum nuper demum vulgatorum: Iulius Pollux in historia physica p. 416 ed. Ign. Hardt. Ἀθήναις Βασίλειος καὶ Γρηγόριος παιδευόμενοι Ημερίῳ (leg. Ἱμερίῳ) καὶ Προαιρεσίῳ εὐδοκίμοις σοφισταῖς ἐμαθήτευον, καὶ παρὰ Λιβανίῳ δὲ τῷ Ἀντιοχείας σοφιστῇ γεγόνασι [2]. Ioannes Laurentius Lydus de magistratt.

usque ad a. 565. Saxius in Onomast. II, p. 16 Damascium retulit in a. 510.

(2) Adhibe haec Eunapio in Proaeresio p. 119. et Wernsdorfio in vita Himerii p. XLVIII. ubi haec leguntur — „et quo tempore

Romm. III, 26. p. 194 ita de se ipse: ὅπως δὲ μὴ τὸν ἐν μέσῳ χρόνον δόξαιμι ζημιοῦσθαι, εἰς φιλόσοφον φοιτᾶν διέγνων. Ἀγάπιος ἦν κατ' ἐκεῖνον τὸν χρόνον, περὶ οὗ Χριστόδωρος ὁ ποιητὴς ἐν τῷ περὶ τοῦ μεγάλου Πρόκλου μονοβίβλῳ φησὶν οὕτως κ. τ. λ. »Ne autem intermedii temporis iacturam facere viderer, philosophum audire decrevi. Agapius erat eo tempore, de quo Christodorus poeta *in libro singulari de auditoribus magni Procli* ita ait« cet. Et idem ille Iustinianus apud eundum Ioannem Lydum *literarum amator* audit, videlicet in decreto, quod Praefectus emiserat in publicum! Verba haec sunt de magistrr. Romm. III, 30. p. 204.: Ἔστι γὰρ δὴ πρὸς τοῖς ἄλλοις πλεονεκτήμασι καὶ φιλολόγος ὁ βασιλεύς. »Est enim praeter alias excellentias et literarum amans imperator.«

Has prolusiones graviora sunt secuta. Ioannes Malela in hist. chronica II, p. 187. ed. Oxon.: ἐπὶ δὲ τῆς ὑπατείας τοῦ αὐτοῦ Δεκίου [3] ὁ αὐτὸς βασιλεὺς θεσπίσας πρόςταξιν ἔπεμψεν ἐν Ἀθήναις, κελεύσας μηδένα διδάσκειν φιλοσοφίαν, μήτε νόμιμα ἐξηγεῖσθαι κ. τ. λ. »Eiusdem Decii sub consulatu, edicto Athenas misso (idem) imperator sancivit, ne cui liceret Philosophiam publice profiteri, aut leges interpretari.« Ita per vim soluta est disiectaque illa aurea catena, quae dicebatur, successionum Platonicarum, quaeque arctissime aptata adhuc tantopere cohaeserat. » Hucusque [4] »pertinuit veteris elegantiorisque doctrinae proventus, qui »paullatim exaruit Iustiniani imperio ac deinceps. Hic »Atheniensem clausit scholam, in qua floruerant Plutarchus, »Nestorii filius, Syrianus, Proclus, Marinus, Damascius, unde »Simplicius, Olympiodorus aliique prodierant: philosophi

Basilius Caesareensis Praesul cum Gregorio Nazianzeno literis operam dabant Athenis, nempe anno circiter 355, is (Himerius) iam eminebat cum Proaeresio."

(3) Videlicet Decio Consule solo, Imperatore Iustiniano a. u. c. 1281. p. Chr. n. 529. cf. Chronicon Anonymi ap. Alemannum ad Procop. histor. arcan. p. 106 et Petr. Relandi Fastos Consulares p. 700.

(4) Sunt verba Wyttenbachii mei τοῦ μακαρίτου in Praefatione ad Plutarch. Moralia p. LV.

»expulsi: vexati per orbem Romanum avitae religionis cul»tores, ex quorum numero fere erant docti homines. Per »trecentos annos stupor et barbaries omnia obtinuerunt. »Ergo in hoc temporis spatio, plurimorum veterum libro»rum, in his etiam Plutarcheorum ponendus est interitus.«

Haec accuratius aliquanto exponenda duxi, quo certius constaret de aetate Olympiodori nostri. Etenim si nunc animo recolimus illas binas philosophi nostri (in comment. in Alcib. p. 141) sententias: cum priorem: διὸ καὶ μέχρι τοῦ παρόντος σώζονται τὰ διαδοχικά· »propterea etiam nunc tenentur instituta successorum (Platonis in spernendis minervalibus)« tum alteram: καὶ ταῦτα πολλῶν δημεύσεων γινομένων, »tametsi multae bonorum publicationes fiant (i. e. confiscationes quae dicuntur);« si item reputamus, has vexationes Iustiniano imperante maxime incruduisse: consequens est, commentarium in Alcibiadem ab Olympiodoro exaratum esse ante consulatum solitarium Decii, i. e. ante annum aer. Christ. 529. Iam cum Damascius, quem Iustiniano imperante floruisse constat, a nostro philosopho in hoc ipso libro aliquoties laudetur: efficitur, *Olmypiodorum hunc Platonicum Damascii, si non aequalem, attamen supparem fuisse, adeoque et ipsum floruisse sub imperio Justiniani, hunc autem ejus librum scriptum esse quo tempore nondum clausa erat Atheniensis schola philosophorum, i. e. ante annum aer. Chr.* 529.

Restat ut excutiamus suspicionem Lambecii, cui item, praeter ea, quae iam recte oblocutus est Fabricius, alia habeo quae opponam. Atque ut hinc ordiar, Fabricius B. gr. l. V. c. 21. Vol. IX, p. 421 Harl. ita disputat: »Idem (Olympiodorus) plus simplici vice non Harpocrationis modo, sed et Procli et Damascii commentarium memorat, *ut auctor mihi videatur iunior quidam et diversus ab Olympiodoro Procli praeceptore.* Hoc certe verisimilius, quam quod Lambecius lib. VII. p. 51 sqq. [p. 113 sq. de cod. Caesar. XX. ed. Kollar. Harl.] comminiscitur, *praelectiones istas*

»*Olympiodori a iuniore quodam interpolatas esse.* Interpolata igitur etiam fuerit vita Platonis ab Olympiodoro isto scripta et post Laertium edita, in qua Proclus itidem laudatur. Illa nempe vita, ut hoc obiter notem, ex prima πράξει, sive lectione commentariorum Olympiodori in Alcibiadem depromta est.« Haec Fabricius. Iam primum legat mihi aliquis hunc ipsum in Alcibiadem commentarium Olympiodoreum. Utrum solas reperiet Procli Damasciique mentiones seiunctas inter se ac hinc inde sparsim minutatimque interpositas — an contra hunc universum librum inde a prima πράξει usque ad extremam ita repletum reperiet alienae (h. e. Procli potissimum Damasciique) doctrinae ubertate; vel ut disertius eloquar, an hoc universum telum tantopere pertextum deprehendet antiquis nitentibusque liciis, ut difficile dictu sit, recentiane an vetera emineant? Immo vero ego non reformido dicere, si Iamblichus, Harpocratio, Proclus atque Damascius sua pro se quisque ab Olympiodoro reposcere velint, Olympiodorea perpauca relictum iri. Quod quilibet iudicare poterit, qui quae Procli in Alcibiadem supersunt cum Olympiodoreis contendere velit. Hoc si est interpolare, me quidem nescire haud diffiteor quid illud sit scribere.

Posteaquam interpolationis istud Lambecianum commentum delevimus, accedamus ad alterum argumentum. Procli magistrum Olympiodorum horum commentariorum auctorem esse opinatur Lambecius. Atqui hunc ipsum Aristotelicis philosophis annumeratum vidimus [5]. Nunc inspice mihi hos ipsos Nostri commentarios, praesertim πραξ. 25. 26. 27. et 28. Obscurumne cuiquam hominum esse poterit, quo animo hic scriptor fuerit in Aristotelicos? Nimirum, ne multa, alieniore. Saepiuscule Platonem suum componit cum Aristotele, cum Academia Lyceum; rarius ita ut Peripateticis multum tribuat, aut eos verum vidisse fateatur. Quid quaeris? in iis quae huius scriptoris propria dici

(5) Vid proxime §. 1. ibiq Marinum in vita Procli c 6.

queunt, quae pauca sunt, hoc prae ceteris elucet, ut assensum suum ab Aristotelis eiusque sectatorum auctoritate seiungat. Huiusmodi rationem qui cum personâ prioris illius Olympiodori eiusdemque Peripatetici conciliare possit: nae eundem dixerim gryphes pariter equis iungere posse.

Est in libris manuscriptis Bibliothecae Regiae Bavaricae Monacensis codex graecus, qui inscribitur: *Olympiodori adversus Stratonem.* Sunt ibidem Stratonis aliquot libri graece scripti in codice mscr. C. Anquirit Ign. Hardtius [6]: »Quis ille Strato sit, equidem nescio, nisi Lampsa»cenus sit, de quo Fabricius Vol. II, p. 311. [Vol. III. »p. 506 sq. ed. Harles.] memorat, aut Isocratis discipulus. »Certe nullibi quidquam de his opusculis inveni« cet. Ego, qui libros nondum legerim, nec ipse decernam. Sed tamen ubi eorum titulos considero, qui argumenta indicant a Peripateticorum disputationibus haud abhorrentia, coniiciam, eos Lampsaceni esse, qui Theophrasti discipulus, Peripatum haud mediocriter ornaverat [7]. Atque qui secum reputet quae modo de Olympiodori nostri animo a Peripateticis abalienato ex eius commentariis protuli; ei haud dissimile veri videbitur: eundem philosophum libro etiam aliquo Peripateticorum decreta refutare studuisse.

## §. 3.

### *De libris Olympiodori minoris, Philosophi Platonici.*

Fabricius in Bibl. Gr. l. V, c. 33. Vol. X. p. 631 sq. Harles. »Diversus ut videtur ab his omnibus est Olympio-

(6) In Catalog. codicum msr. Biblioth. Reg. Bavar. Tom. I, p. 528.

(7) Cic. d. N. D. I, 9. ibiq. Interprr. Et vero rem extra dubitationis aleam dudum posuerat Fabricius in Bibl. gr. Vol. X., p. 633 ed. Harl., ubi consimilia excerpta in bibliotheca Gudiana, deinde in Fabriciana obvia memorantur, quae Stratonis *Lampsaceni* nomen habent. cf. proxime prooemii nostri §. 3. Sed Hardtium et haec fugerunt et alia haud pauca.

»dorus Platonicus, cuius exstant commentaria in varios »Platonis libros, sed adhuc inedita omnia, *in Alcibiadem* »*priorem*, *in Gorgiam*, *in Phaedonem et in Philebum*, »quae omnia graece supersunt msta vel in una bibliotheca »Caesarea. Pleraque etiam ex legato Holsteniano in biblio»theca publica huius urbis Hamburgensis, ne de aliis Italiae, »Angliae, Galliae et Germaniae dicam [1]. Sola ex πράξει

(1) „De codd. passim supra in Vol. III. c. 3. de Platone actum est, e. g. p. 75. 80. 82. 83. 87. 88. 123. 142. Add. cat. Mss. gr. *Venet*. Marcian. p. 109. et 110 et cel. Morelli in bibl. msta gr. et lat. I. p. 119 sq. — Paris. in pluribus codd. bibl. publ. Olympiodori Parecbolae in Philebum, in Gorgiam, in Phaedonem, in primum Alcibiadem, atque in cod. MMXVI in secundum Alcibiadem. — In bibl. *Leidensi* Olymp. scholia in Platonis Gorgiam et Alcibiadem. Vid. catal. bibl. Leidens. p. 335. nr. 32, ib. nr. 36 exstat Olympiodor. de statu animae a corpore separatae. — ib. p. 394. nr. 5. in cod. Voss. Olymp. Schol. in Phaedonem [Unde excerpta in lucem edidit Wyttenbach. et in annot. ad Plut. d. S. N. V. p. 83 et 108 et vero plura ad Phaedonem passim. Cr.] ib. p. 396. nr. 15. Olympiodori problemata Platonica gr. εἰς τὸν μῦθον etc. De aliis codd. in variis biblioth. vid. *Montfaucon* Bibl. Bibliothecar. Mss. indic. voc. *Olympiodorus*. — *Monaci* in cod C. in Platonis dialog. de immortalitate animi v. cel. *Hardt*. in Aretini Beitraegen etc. 1804. part. 6. p. 32 sq. — ib. a 1804. part. 10. p. 6. Scholia in Platon. Gorgiam. [Tu cf. Ign. Hardtii catal. codd. mss. bibl. reg. Bavar. ad cod. 144. 234. de comm. mss. in Gorg.; ad Cod. 100 de comm. in Phaedon.; ad cod. 112 de Olympiodoro in Hermetis aliorumque dicta. De eius libro in Stratonem proxime monebit Fabricius et supra ipse monui. Cr.]. Venetiis in Cod. Naniano CCLXI. Scholia in Gorgiam, Phaedonem et Philebum. vid. catal. Mss. gr. Nan. p. 451 sq. *Harles*.“ Addendum ibi est, Clar. Muellerum, Scholae Cizensis meritissimum Rectorem, in Notitia et recensione cod. Mss. bibl. episc. Numb. Cizens., Partic. I. L. 1806. 8. p. 5 sqq. describere copiose apographum codicis Venet., duobus voll. fol., quorum primum Olympiodori Scholia in Plat. Gorg., Alcib. 1., Phaedon. et Phileb. continet, olim in bibl. Nesteri, nunc in bibl. Cizensi inter Reinesii libros adservatum. *Beck* (ad indicem capitum bibl. gr. Fabric. Vol. X, p. XVI. ed. Harl.)“ Praefationem scholiis Olympiodori in Gorgiam praemissam e cod. mscr. Paris. nr. 1822 editam a Routhio suae Platonici Gorgiae editioni adiecit Findeisen Goth. 1796. p. 603—616. De comm. in Phaedon. add. Sancta-Crucii (*Saint-Croix*) notice du commentaire mscr. d' Olympiodore sur le Phaedon de Platon. in Millini magasin encyclopedique an. III. T. 1. Eundem commentarium e bibll. Venett. in lucem edere coeperunt duumviri Graeci Andreas Mustoxydes et Demetrius Schinas. Venet. 1817. in *Συλλογῇ Ἀποσπασματίων Ἀνεκδότων*. cf. eorum annot. ad Olympiod. in Phaedon. p. 21 sq. Olym-

»prima in Alcibiadem priorem excerpta lucem vidit vita »Platonis [de commentariis nunc editis vid. not. prox. 1. »Cr.], quae, (lecta pridem Bessarioni 1 contra calumnia- »torem Platonis c. 3.) cum Iacobi Windeti versione et no- »tis virorum doctorum in Laertium, tomo secumdo editionis »Wetstenianae p. 582—588.; sed ibi male tribuitur Olym- »piodoro quem Thebanum Photius adpellat, quique histo- »riam suam Theodoro iuniori inscripsit, defuncto a. 450. »Nam in hac vita citatur Proclus; in commentariis vero »ad Platonem, ex quibus [ad Alcibiadem], ut dixi, excerpta »est ista vita, etiam longe iunior Damascius, qui Procli »discipulos auscultavit [2]. Commentarii in Phaedonem ἀπό- »γραφον graecum nactus sum e sectione bibliothecae Gudi- »anae, in quo ab Olympiodori discipulis ex eius lectionibus »adnotata sunt quae Platoni a variis philosophis obiectan- »tur. Titulus est: περὶ τοῦ ἀπὸ τῶν ἐναντίων λόγου διάτα-

piodori Scholia in Phileb. ad calcem praestantis editionis eius dialogi Platonici primum edidit Godofr. *Stallbaum.* vir eruditus, Lips. 1820. p. 237 — 288., ex eodem apographo Numburg. Cizensi, de quo proxime monuit Cl. Beck. ad Fabric. Bibl. Adde de codicibus aliquot Procli Olympiodorique comm. in Platon. Imm. Bekkeri, Viri Cl. Indicem codicum ad editionem Platonis ab eo institutam, in Platon. dialogg. part. I, Vol. I. p. VII. — XIV. *Creuzer.*

(2) Tu vid. supr. prooem. nostr. §. 1 et 2. Primus ex Isaaci Casauboni adversariis hanc Platonis vitam graece edidit Mericus Casaubonus. Vid. Praemonitum ad eam in fin. Diog. Laert. ed. Wetsten. II, p. 582. Deinceps saepius praemissa haec vita est editionibus Platonicorum dialogorum: ab Guil. Etwallo in ed. Platon. dial. III. utriusque Alcibiadis et Hipparchi. Oxon. 1771. p. 1—12. ab Io. Frid. Fischero in ed. diall. IV. Eutyphr. Apolog. Criton. et Phaedon. Lips. 1783. p. 75—78; a Chr. Dan. Beckio, V. Cl. in ed. Platon. opp. Lips. ap. Tauchnitz c. scholiis in Plat. Vol. I.; denique nuper admodum in ed. Platon. opp. stereotypa. Lips. ex officina Tauchnitz 12mo. 1818. T. I. p. 1—8. Quae cum ita sint, neminem reprehensurum arbitror, me in hac editione illam Platonis vitam omisisse. Contra quae huic vitae in codicib. praemittuntur, quoniam in editionibus omissa videram, huic commentario adieci in vestibulo usque ad verba: φέρε δὲ (vel uti scribi iubet Boissonadius in notis ad Nicetam Eugenianum VI. 512. p. 329. φέρε δή) καὶ τὸ γένος εἴπωμεν τοῦ φιλοσόφου. Cr.

»ξις τοῦ ἡμετέρου καθηγεμόνος Ὀλυμπιοδώρου. In illo »praeter Plotinum, Iamblichum, Syrianum saepius etiam »laudatur Proclus et ὁ ἐξηγητὴς atque Olympiodorus ipse, »ὁ ἡμέτερος καθηγεμών. Memorabilia inprimis in hoc com»mentario, quae adferuntur ἐκ τοῦ Χαιρωνέως sive ex Plu»tarcho [3], et Stratonis Lampsaceni dubia, quae Platonicae de »reminiscentia animarum sententiae et aliis quibusdam eius »dogmatibus opposuit [4].«

## §. 4.

### *De his commentariis eorumque hac prima editione.*

Non est quod de huius libri Olympiodorei indole multa dicam. Universa quaedam explicavi in antecedentibus (vid. §. 2. huius prooemii), reliqua, sicubi res ferebat, apposui in annotationibus, ubi etiam literarum studiosos adtendere iussi ad sermonis characterem, qui medius fluctuat inter sanam illam orationem veterum scriptorum Atticorum (et uti quisque deinceps ad horum imitationem se maxime conformaverat) atque inter nascentem paulatim et quasi in occulto gliscentem barbariem; proinde ut plurimum est satis bonus. Ingenium hominis sollers, acutum et a dialectica paratum. Doctrina probabilis et poëtarum, historicorum, medicorum etiam veterum lectione commendabilis; modo haec Olympiodori doctrina est, neque vero Harpocrationis, Iamblichi et inprimis Procli, quorum ille vestigia legere assolet. Etsi vero in plerisque codicibus hi in Alcibiadem commentarii inscribuntur: Σχόλια; non sunt tamen sola scholia, siquidem quaelibet πρᾶξις duabus partibus continetur, quarum prior θεωρίαν habet, altera interpretationem singulorum verborum ac sententiarum.

(3) Cf. de his Plutarcheis ap. Olympiodorum fragmentis Wyttenbach. praefat. ad Plutarch. Moral. T. I. p. LIV. Cr.
(4) Vid. supra §. 2. huius prooem. ibiq. cf. not. 7. Cr.

Sunt *Scholae* i. e. scriptiones ad lectionum usum exaratae, et ab Olympiodori discipulis calamo exceptae [5].

Atque posteaquam copias criticas ad Proclum paratas habebam; pupugit me illud, huius commentariorum in Alcibiadem plurima tempore intercepta esse, adeoque eius dialogi maximam partem interpretationis antiquae luce dedestitutam iacere. Quapropter de Olympiodoreis cogitare coepi, atque huiusmodi codicem desiderare, qui minime lacunis hiaret. Eum nactus sum insigni liberalitate Magistratus Liberae civitatis Hamburgensis [6], cui etiam Procli unum librum mscr. acceptum refero. Asservatur hoc Apographum in Bibliotheca Ioannei publica ex legato Holsteniano, inque eius limine scriptum est: »Ex manuscr. cod. Bibliothecae Vaticanae, Nr. 1106.« Hunc librum typis describendum curavi, cum eoque contuli quidquid ex aliis codicibus Casaubonus, Rigaltius, Hemsterhusius, Ruhnkenius aliique, qui haec Olympiodorea citarunt, variae lectionis offerrent, adiectis in imo margine meis qualibuscunque annotationibus; quas eruditi Lectores aequi bonique velim consulant.

(5) Arguit singulorum capitum inscriptio *πρᾶξις* i. e. *lectio*; arguit titulus in codicum fronte obvius: — *ἀπὸ φωνῆς Ὀλυμπιοδώρου·* de cuius formulae usu vario monuit Wyttenbach. ad Selecta Historicorr. p. 414 sq.

(6) Ipsum librum transmisit ad me *Hartmannus*, vir amicissimus, in Gymnasio Hamburg. Professor, copiam facientibus VV. Cll. Bauschio Protoscholarcha, et Gurlitto Ioannei Praefecto.

# Σχόλια εἰς τὸν Πλάτωνος Ἀλκιβιάδην ἀπὸ φωνῆς Ὀλυμπιοδώρου τοῦ μεγάλου φιλοσόφου.

Ὁ μὲν Ἀριστοτέλης, ἀρχόμενος τῆς ἑαυτοῦ θεολογίας, φησίν· [1] πάντες ἄνθρωποι εἰδέναι ὀρέγονται φύσει· σημεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις· ἐγὼ δὲ τῆς τοῦ Πλάτωνος φιλοσοφίας ἀρχόμενος φαίην ἂν τοῦτο μειζόνως, ὅτι πάντες ἄνθρωποι τῆς Πλάτωνος φιλοσοφίας ὀρέγονται, χρηστὸν παρ' αὐτῆς ἅπαντες ἀρύσασθαι βουλόμενοι, καὶ κάτοχοι τοῖς ταύτης νάμασιν [2] εἶναι σπουδάζοντες, καὶ τῶν Πλατωνικῶν ἐνθουσιασμῶν πλήρεις ἑαυτοὺς καταστήσαντες. Τέσσαρες δέ

(1) Lege *του εἰδέναι ὀρ. φ.* sicut editum est in Aristotelis Metaphys. libr. I. cap. 1. init. p. 1 Sylburg. ubi item: *σημεῖον δ' ἡ.* Quod *Metaphysicorum* libros *θεολογίας* nomine appellat Olympiodorus, possint eam in rem laudari ipsius Aristotelis testimonia. Sed vid. *Buhlium* de Metaphysica Aristotelis in Heeren. et Tychsen. Biblioth. d. alt. Lit. u. Kunst. Part. IV. p. 14. Idem tamen in comment. de libris Aristotelis exoter. et acroamat. (in Aristotel. operr. ed. Bip. I. p. 140) ita de his libris Aristotelicis: „denique *theologicas sive metaphysicas* (disciplinas), propterea theologicas dictas, quoniam spectant ad *πάντα τὰ ὑπὲρ φύσιν*, ad naturam divinam primasque omnium rerum caussas, quantum eas ingenii humani viribus perscrutari atque contemplari licet." Haec ille ex Ammonio Hermeae in prooem. ad Aristotelis Categorr. Quibus adde hunc ipsum locum Olympiodori.

(2) Metaphora ex ipsius Platonis dialogis ducta. Ita enim ille in Timaeo p. 75. e. p. 109 Bekkeri: *τὸ δὲ λόγων νᾶμα ἔξω ῥέων καὶ ὑπηρετοῦν φρονήσει κάλλιστον καὶ ἄριστον ναμάτων.* Idem in Phaedro p. 243. d. p. 34 Bekker: *ἐπιθυμῶ ποτίμῳ λόγῳ ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι.* Quas locutiones dici non potest quam multi scriptores imitati sint. Tu vide eorum locos haud paucos laudd. a Wyttenbach. in epist. crit. p. 55 sq. p. 271 Lips. et cf. Schweighaeuser. ad Athen. III. p. 121. e. Animadvv. Vol. II. p. 253.

εἰσιν οὗτοι παρ' αὐτῷ ἐν τέτρασι διαλόγοις· εἷς μὲν ἐν Τι-μαίῳ, ὃν ἐνθουσίᾳ [3] θεόληπτος γενόμενος καὶ ὑποκρινόμενος τὸν δημιουργὸν πρὸς τὰ οὐράνια δημηγοροῦντα περὶ τῆς τῶν τῇδε διοικήσεως, οὓς νέους θεοὺς καλεῖ. Διὸ καὶ ὁ Ἰάμβλιχος ὑπομνηματίζων τὸν διάλογον ἐπέγραψεν εἰς τὴν δημηγορίαν τοῦ Διός· Δεύτερος ἐνθουσιασμός ἐστιν ἐν τῇ Πολιτείᾳ, ἔνθα μουσόληπτος γεγονὼς ὑπεκρίθη [4] τὰς μούσας, ἃς ἐξιούσας τὴν λῦσιν τῆς ὑπὸ αὐτοῦ συστάσης πολιτείας ἔνθα φησίν· παντὶ γὰρ γενομένῳ καὶ φθορὰ ἕπεται ἐξ ἀνάγκης. Τρίτος ἐνθουσιασμὸς ὁ ἐν Φαίδρῳ, ἔνθα ὑπὸ τὴν πλάτανον ὁ Σωκράτης φιλοσοφῶν περὶ τοῦ ἔρωτος νυμφόληπτος ἐγένετο. Τέταρτος ὁ ἐν Θεαιτήτῳ, ὅπου κατὰ φιλοσοφίαν ἐνεθουσίασε, τὸν κορυφαῖον ὑποκρινάμενος φιλόσοφον, τουτέστι τὸν θεωρητικόν. Τούτων τοίνυν ἕνεκεν ἅπαντες τῇ τοῦ Πλάτωνος φιλοσοφίᾳ προστρέχουσι. Φέρε δὲ καὶ τὶ [5] γένος εἴπωμεν τοῦ φιλοσόφου κ. τ. λ. Sequitur *Vita Platonis* (Vid. Prooem. nostrum). Deinde post verba: καὶ ταῦτα μὲν περὶ τοῦ γένους τοῦ φιλοσόφου ita pergit Olympiodorus:

(3) Etsi vocabulum ἐνθουσία probum est; (vid. supra annot. ad Procl. in Alcib. cap. 68;) tamen h. l. haud dubie corrigendum: ἐνθουσιᾷ. Referendum enim ὃν ad ἐνθουσιασμῶν.

(4) Proxima non sana videntur. Caeterum confer cum his Procli disputata in Platonis Politiam p. 349 sq.

(5) Leg. τὸ, uti ex aliis codd. editum est. De verbo προστρέχειν dixi ad Plotin. de pulcrit. p. 335 sq.

Λοιπὸν δὲ χωρητέον καὶ ἐπὶ τὸ προκείμενον. Ὁ τοίνυν σκοπὸς τοῦ παρόντος διαλόγου, ὡς Πρόκλος φησὶν, [1] ἐστὶ περὶ τοῦ γνῶναι ἑαυτόν· καὶ τοῦτο πιστοῦται διὰ πολλῶν ἐπιχειρημάτων· πρῶτον μὲν ἐκ τῆς ἐπιγραφῆς· ἐπιγέγραπται γὰρ *Ἀλκιβιάδης μείζων, ἢ περὶ ἀνθρώπου φύσεως* [2]. μείζων δὲ, ἐπειδὴ ἔστιν ἄλλος Ἀλκιβιάδης ὁ ἐλάττων· ὥςπερ Ἱππίας μείζων καὶ ὁ ἐλάττων· ἔπειτα δὲ καὶ ἀπὸ ῥησιδίων τινῶν ἐν τῷ διαλόγῳ λεγομένων κατασκευάζει τοιοῦτον εἶναι τὸν σκοπόν· λέγεται γὰρ ἐν αὐτῷ· *Ἀλλ', ὦ μακάριε, πειθόμενος ἐμοὶ καὶ τῷ ἐν Δελφοῖς γράμματι, γνῶθι σεαυτόν.* Καὶ πάλιν ἐν τῷ παρόντι διαλόγῳ τὰ τρία ἐκεῖνα προςρήματα διακρίνεται· *ἐγώ· τὸ ἐμόν· τὰ τοῦ ἐμοῦ·* [3] κἀκ τοῦ λέγεσθαι, ὅτι πάντες, ὅσοι τοῦ Ἀλκιβιάδου σώματος ἠράσθησαν, οὐκ Ἀλκιβιάδου ἠράσθησαν, ἀλλά τινος τῶν αὐτοῦ κτημάτων, μόνος δὲ Σωκράτης Ἀλκιβιάδου αὐτοῦ ἠράσθη· ἔτι δὲ ἐκ τοῦ παραδίδοσθαι τὸ δίκαιον ἐνταῦθα καὶ τὸ συμφέρον ἀντιστρέφοντα· ᾧ δῆλον, ὅτι περὶ ψυχῆς ὁ λόγος· ταύτῃ γὰρ μόνῃ συμφέρει τὸ δίκαιον, οὐ γὰρ τῷ συναμφοτέρῳ· ὁ γὰρ

(1) Vid. Proclum in Alcib. I. cap. 1. p. 1 sqq. ed. Francofurt.

(2) In Platonis editt. inverso ordine legitur haec altera inscriptio: *ἢ περὶ φύσεως ἀνθρώπου.* Illum vero ordinem agnoscit etiam Diogenes Laertius III. 59. Nihilo tamen minus indidem haec verba in Platonis codices immigrasse arbitrantur editores Bipontini Vol. V. p. 342; quibus suffragatur Buttmannus; et Astius atque Bekkerus e suis editionibus eadem plane ejecerunt.

(3) Scrib. videtur *τὰ ἐμοῦ.*

Μενοικέως θάνατος [4] δίκαιος μὲν, ὡς ὑπὲρ πατρίδος, οὐ συνήνεγκε δὲ τῷ σώματι φθαρέντι. Καὶ πάλιν ἐκ τοῦ, μετὰ τὸ δεῖξαι ἐν τῷ πέρατι τοῦ διαλόγου· ὅτι ψυχὴ ὁ ἄνθρωπος [5], καταπαῦσαι τὸν λόγον· ὡς πάντων τῶν προειλημμένων πρὸς τὴν τούτου κατασκευὴν προλεχθέντων. Καὶ ὅτι ὁ Σωκράτης οὐ μόνον ἀνάγειν σπουδάζει τὰ παιδικὰ, ἀλλὰ καὶ διὰ τῆς αὐτῆς ὁδοῦ, ἧς καὶ αὐτὸς ἀνήχθη· λέγεται δὲ πρὸς φιλοσοφίαν ἐλθεῖν ἐκ τοῦ Πυθικοῦ γράμματος τοῦ γνῶθι σεαυτόν· ἔτι δὲ κἀκ τοῦ παραδίδοσθαι ἐνταῦθα ῥησίδιον τοιοῦτον· αὐτό· αὐτὸ τὶ [6] αὐτό· τοῦτο δὲ ἄλλως μὲν ἀκούει ὁ Πρόκλος, ἄλλως δὲ ὁ Δαμάσκιος [7] ὁ μὲν γὰρ Πρόκλος αὐτὸ φησὶν εἶναι τὴν τριμέρειαν τῆς ψυχῆς, ἤτοι τὴν ἁπλῶς ψυχὴν, αὐτὸ δὲ τὸ αὐτὸ τὴν λογικὴν ψυχήν· ὁ δὲ Δαμάσκιος οὐχ οὕτως, ἀλλ' αὐτὸ μὲν φησὶ τὴν λογικὴν ψυχὴν, αὐτὸ δὲ τὸ αὐτὸ τὸ ἀκρότατον καὶ νοερώτατον τῆς ψυχῆς. Καὶ ὁ μὲν Πρόκλειος σκοπὸς οὗτος· ὁ δὲ Δαμάσκιος ἀκριβέστερον καὶ ἀληθέστερον παραδιδοὺς τὸν σκοπὸν οὐχ ἁπλῶς φησὶν αὐτὸν εἶναι περὶ τοῦ γνῶναι ἑαυτὸν, ἀλλὰ περὶ τοῦ πολιτικῶς γνῶναι ἑαυτόν· τοῦτο δὲ κατασκευάζει ἐκ τοῦ ὁρίζεσθαι τὸν ἄνθρωπον ἐν τῷ διαλόγῳ τούτῳ ψυχὴν λογικὴν ὀργάνῳ κεχρημένην τῷ σώματι· [8] μόνος δὲ ὁ πολιτικὸς ὀργάνῳ κέχρηται τῷ σώματος, δεόμενος ἔστιν ὅτε θυμοῦ, ὡς ὑπὲρ πατρίδος, ἀλλὰ καὶ ἐπιθυμίας οὐ· [9] εὐποιῆσαι τοὺς πολίτας. Οὔτε δὲ ὁ καθαρτικὸς οὔτε ὁ θεωρητικὸς δεῖται τοῦ σώματος. Καθαρτικὸς μὲν γάρ ἐστι ψυχὴ ἀπολυ-

(4) De Menoeceo, qui pro patria urbe, Thebis, a septem heroibus oppugnata, mortem obiit, vide Euripid. Phoeniss. 841 sqq. 937 sqq. et Schol. ad v. 920 (a quo differt, quod est in iisdem scholiis ad v. 1017.) coll. Pausan. IX. 25. 1. Apollodor. III. 6. 8 ibiq. Heynii Obss. p. 250. ed. alter. Stat. Theb. X, 589 sqq. 756 sqq. et interpp. ad Hygin. Fabb. LXVII. et LXVIII. p. 137 et 139. ed. van. Stav.

(5) Vid. Alcib. I. p. 130. d. Bip. T. VI. Bekk. II, 3. p. 361 sq.

(6) Scr. τό. Proxime est in Codice αὐτὸ φησὶ, μὲν φησὶ, δὲ ἐστὶ, ἔστι pro ἐστί, ῥαστώνη etc. ut saepius male.

(7) Vid. Prooemium ad Proclum in Alcib. §. 2. p. XIV. ed. Francof.

(8) Vid. Alcib. I. p. 130. a. Bekk. p. 360.

(9) Turbatum videtur. Fortasse legendum: ὀργάνῳ κέχρηται τῷ σώματι καὶ δεόμενος ἔστιν ὅτε ἐπιθυμίας τοῦ εὖ ποιῆσαι τ. π.

μένη τοῦ σώματος, τῶν δεσμῶν μέντοι μενόντων καὶ μὴ λυομένων, καθάπερ τοῦ Ἀμπρακικοῦ μειρακίου [10], ἀλλὰ διὰ τοῦ συμπαθοῦς λυομένων· ἔστι γὰρ καὶ ἐνταῦθα ὄντας ἄνω εἶναι διά τινα συμπάθειαν θεωρητικῶς, [11] καὶ ἄνω ὄντας, ἐνταῦθα εἶναι, τῆς ψυχῆς πτεροφυούσης καὶ κατιούσης ἐνταῦθα καὶ ἐπτοημένης περὶ αὐτὰ διὰ τὸ φιλοσώματον. Θεωρητικὸς δέ ἐστι ψυχὴ ἀπολελυμένη τοῦ σώματος· πάλιν ἐνταῦθα λῦσιν νοούντων ἡμῶν κατὰ τὸ ἄσχετον· ἡ γὰρ τοῦ θεωρητικοῦ ψυχὴ, κατὰ τὸ θειότατον ἐν αὐτῇ ἐνεργοῦσα, οὕτως τοῦ ὀστεΐνου καὶ πνευματικοῦ ὀχήματος ἀπολύεται· περὶ ὧν φησὶν καὶ ὁ ποιητὴς αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς· [12] πολύμητις γὰρ ἀληθῶς ὁ θεωρητικὸς τῶν ῥακῶν τῶν τοιούτων ἀπαλλαγείς. Οὐκοῦν περὶ τοῦ πόλιτικῶς γνῶναι ἑαυτὸν ὁ σκοπός· εἴγε καὶ ἐμποδὼν τῷ καθαρτικῷ καὶ θεωρητικῷ γίνεται τὸ σῶμα· γνωρίζεται δὲ ὁ μὲν καθαρτικὸς τῇ μετριοπαθείᾳ, ὁ δὲ θεωρητικὸς τῇ ἀπαθείᾳ· [13] οὕτω μὲν ὁ Δαμάσκιος. Εἰ δὲ δεῖ καὶ ἡμᾶς τῷ Πρόκλῳ συνηγοροῦντας, εἰς σύμβασιν ἄγειν αὐτῷ τὸν Δαμάσκιον, φησίν· ὅτι περὶ μὲν τοῦ πολιτικῶς γνῶναι ἑαυτόν ἐστιν

(10) Ἀμπρακικοῦ. Hanc scripturam antiquiorem illâ alterâ Ἀμβρ. dicit Eustathius ad Dionys. Perieg. vs. 493 p. 202 Oxon. Et reapse numi veteres ejus urbis offerunt: ΑΜΠΡΑΚΙΟΤΑΝ, posteriores itidem ΑΜΠΡΑΚΙΩΤΑΝ. vid. Raschii Supplem. ad Lex. univ. rei num. vet. I. p. 629 coll. 599. Stephanus item Byzantius p. 117 Berkel. utramque formam agnoscit. Idem de gentibus docte praecipit, addens hanc: Ἀμβρακιακός. Sed tamen in Thucydide I. 55 ceteri codd. omnes exhibent Ἀμπρακικοῦ, unus Regius Ἀμπρακιακοῦ. Tu cf. Tzschuck. ad Strabon. lib. II. p. 451. In Aeliani H. A. XII. 40 est Ἀμπρακιῶται. — Tangit autem Olympiodorus Cleombrotum illum Ambraciotam, qui lecto Platonis Phaedone e muro se in mare abjecit, ut est apud Ciceron. in Tusculan. I. 34. ubi plura Davisius in medium protulit. Adde Callimachi Epigr. XXIV p. 293 sq. ibiq. Interprr. et Wyttenbach. ad Platonis Phaedon. p. 118.

(11) Haec Platonis Plotinique inprimis placita explicui in Praeparat. ad Plotin. de pulcr. 8. 13 et 14. praecipue p. C sqq. Proxime legendum videtur: τῆς ψυχῆς πτερορρυούσης καὶ κατιούσης εἰς τὰ ἐνταῦθα (sive εἰς τἀνταῦθα) Vid. Annot. ad Procl. in Alcib. p. 20 ed. nostr.

(12) Odyss. χ, 1. Proxime ad ὄχημα ψυχῆς adhibe Proclum in Platonis Tim. V. p. 321 med. et ipsum Olympiodorum in Platonis Phaedon. ap. Wyttenb. ad Plutarch. d. S. N. V. p. 97 et ad Phaedon. p. 317.

(13) Haec verba ac eadem manu in margine sunt scripta.

ως
ὁ σκοπὸς προηγουμένος· καὶ τοῦτο εἰκότως ῥητέον· ἐπειδὴ γὰρ ὁ Σωκράτης ἑώρα τὸν Ἀλκιβιάδην ᾄττοντα πρὸς τὰ πολιτικὰ πράγματα, ἐνόησεν, ὅτι οὐχ ἑτοίμως ἀνέξεται τῆς περὶ τοῦ γνῶναι τὴν ψυχὴν καὶ ἑαυτὸν ζητήσεως, εἰ μὴ καὶ περὶ τῆς αὐτῷ προςούσης ἐπιθυμίας λόγον ποιήσηται. [14] Τοιαύτη γὰρ ἡ Πλάτωνος φιλοσοφία, πολλὴν ὑπερβολὴν ἔχουσα πρὸς τὰς ἄλλας· ἐοίκασι γὰρ αἱ Σωκρατικαὶ νουθετήσεις καθαρσίοις ἀλύποις καὶ φαρμάκοις [15] μέλιτι δεδευμένοις· οὐ γὰρ διὰ τῶν ἐναντίων ἐπανορθοῦται τὰς ψυχάς, ὥςπερ Ἱπποκράτης [16] κελεύει τὰ σώματα, λέγων· τὰ ἐναντία τῶν ἐναντίων ἰάματα· οὐδ' ὥςπερ Ἀριστοτέλης παρακελεύεται· τὸν θυμὸν τῇ ἐπιθυμίᾳ παύειν, τὴν δὲ ἐπιθυμίαν τῷ θυμῷ· τουτέστι τοῖς ἐναντίοις· οὐδ' ὡς οἱ Πυθαγόρειοι, διὰ τῆς ἀπογεύσεως τῶν παθῶν, καὶ τὸ λεγόμενον, ἄκρῳ δακτύλῳ· [17] τὸν γὰρ τοῖς πάθεσι φλεγμαίνοντα οὐκ ἄν τις ἰάσαιτο, φασί, μὴ σμικρὸν αὐτοῖς ἐνδούς· [18] διὸ καὶ παρὰ τῷ ποιητῇ πεποίηται ἡ Ἀθηνᾶ προτρέπουσα τὸν Πάνδαρον ἐπιορκεῖν, [19] ὡς

(14) Conjunctivo huic post *εἰ μὴ*, qui saepissime redit apud Nostrum, nemo, credo, jam litem movebit post ea, quae nuper congessit Baehrius noster ad Plutarchi Artax. c. IV. in Meletemm. P. III. p. 24—26.

(15) Similiter Plutarchus (de Profect. in virtute p. 79 D. p. 304. Wyttenb.) in Platonis Xenophontisque scriptis *φάρμακα* inesse dicens, *τὸ ἀνώδυνον καὶ καθαρτικὸν* Socraticarum praeceptionum laudat.

(16) Hippocrates de flatibus p. 296 Foës. *ἑνὶ δὲ συντόμῳ λόγῳ, τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰήματα.* ubi vid. annot. 7 et 8 p. 332. cf. J. Gorraei Definitt. medicas p. 139 ed. Francof. Wechel. ubi etiam *Aristoteleae* sententiae exponuntur. Adde Platon. Sympos. cap. XII p. 39. ed. Wolf. ibiq. Sydenham not. 5 et Thierschii Commentat. de Platonis Sympos. p. 18 sq. Caeterum ex Aristotele adhibe haec: Ethic. Nicomach. III. 1. 2. p. 38 sq. Sylb. VII. 6. p. 122. de virtutt. et vitiis p. 221.

(17) Proverbium hocce ex ipso Alcib. I. (p. 107. e. Bekk. p. 308. ubi est *ἀκροχειρίζεσθαι*) citatur in Adagiis Erasmi et all. p. 662. et ipsum hoc *ἄκρῳ δακτύλῳ* laudatis pluribus veterum scriptorum locis ibid. p. 364. b. sq. ubi similes quoque locutiones explicantur, v. c. *ἄκρῳ ποδί* (et *ἀκροποδιτί* vid. Hemsterh. ad Luciani Prometh. 1. p. 455 Bip.) *ἐκ παραδρομῆς, γεύματος ἕνεκεν, ἐπ' ἄκρου τοῦ χείλους, τῇ ἄκρῃ ῥινί, ἄκροις ὠσίν, ἐν παρόδῳ, ἐκ παρόδου.* Tu cfr. praecipue Zenobii Proverbb. Cent. I. 61. et Diogenian. Cent. II. 10.

(18) In hanc fere sententiam disputat Theages Pythagoreus in libro de virtutibus, cujus fragmentum est in Opusc. Mytholog. Eth. et Phys. p. 691. ed. Gale. Amst. 1688.

(19) Vid. Iliad. *δ*, 93 sqq. Locus multis veterum scriptorum dis-

ὠδύνοντα [20] πρὸς τοῦτο. Εἰ μὴ γὰρ οὕτω νοήσωμεν, ἄτοπον ἔσται θεὸν νομίζειν ἐκκαλεῖσθαι πρὸς τὸ ἁμαρτάνειν· διὰ τοῦτο δὲ καὶ ὁ ποιητὴς τῇ γλώττῃ ποιεῖ αὐτὸν κολαζόμενον, εἰς ἣν καὶ ἐπιώρκησεν. [21] Ὁ οὖν Σωκράτης οὐχ οὕτως ἐπαναρθοῦται [22] τὰς ψυχὰς, ὥςπερ οἱ προειρημένοι, ἀλλὰ διὰ τῶν ὁμοίων μᾶλλον· εἰ μέν τις ἐστὶν ἐρωτικὸς, λέγων· μάθε, τίς ὁ τῶν καλῶν ἔρως· εἰ δέ τις φιλοχρήματος, φαμέν· [23] μάθε, τί τὸ αὔταρκες· εἰ δὲ φιλήδονος, τίς ἡ ἀληθῶς ῥαστώνη· ἣν καὶ θεοῖς ὁ ποιητὴς ἀνατίθησι, λέγων· θεοὶ ῥεῖα ζώοντες· [24] ὥςτε καὶ πρὸς τὸν Ἀλκιβιάδην τοιοῦτος ὢν καὶ περὶ τοῦ πολιτικῶς ἑαυτὸν γνῶναι ποιεῖται τὸν λόγον· παρεμμέμικται [25] δὲ καὶ περὶ τοῦ καθαρτικῶς καὶ θεωρητικῶς· φησὶ γὰρ ἐνταῦθα, ὅτι ὥςπερ εἰ ὁ δημιουργὸς προςέταξε τῷ ὄμματι, εἶδε σεαυτὸ, [26] διὰ τὸ μὴ εἶναι αὐτοκίνητον, οὐκ ἂν ἐδύνατο τοῦτο ποιεῖν, ἀλλ' εἰς ἕτερον ἂν ἀπέβλεπεν ὀφθαλμόν· καὶ τοῦτο οὐκ εἰς [27] τυχὸν μέρος, ἀλλ' εἰς τὸ τὴν ὀπτικὴν ἐμπεπιστευμένην [28] ἐνέργειαν, ὃ καὶ κόρη καλεῖται, διὰ τοῦ τῷ [29]

putationibus celebratus. Vid. Platon. de Republic. II. 18 p. 379. p. 99 Bekker. Aristotel. apud Scholiast. Venet. A. p. 111 Villois. Proclum in Platon. Rempubl. p. 378 supra.

(20) Lege ὠδίνοντα, ut est in margine. Est enim *animo volvere*, *mente agitare*, *moliri*. Vid. Suid. et Hesych. in voc. nec minus Zonar. Lex. Gr. p. 1882. Libanius Tom IV. p. 519 Reisk. καὶ τὴν ἐκτὸς περιβόλων ὠδίνοντας ἔξοδον. Isidorus Pelusiota III. epist. CCV. p. 337 ἡ ἐνταῦθα ἀδοξία δόξαν ἀθάνατον ὠδίνει. Theodoret. Vol. III. p. 384 Schulz.: ὤδινε πολλάκις ποιήσασθαι σύγκρισιν. Alia dederunt Suicer. in Thes. eccles. II. p. 1595 seq. et Borgerus, nuper admodum immaturâ morte literis ereptus, ad Epist. ad Galat. IV. 19. p. 284 sq. Apud Nostrum ὠδίνειν πρός τι est: *pronum esse ad aliquid.*

(21) Iliad. ε,292. coll. Athen. VI, 8. p. 236. d. 407 Schweigh; unde profecit Eustathius ad Iliad. l. l. et ad Iliad. ρ'. 577. p. 1160.

(22) Suprascr. ο sic: οῦται. Scr. ἐπανορθοῦται.

(23) An φησί? (24) Iliad. ζ,138.

(25) Verbum παρεμμίγνυμι accedat Lexicis. (26) Ἴδε σεαυτὸν?

(27) Fortasse addendum τὸ.

(28) Suprascriptum est — ναν, quod praeferendum. Vult enim Noster: „Sed in eam partem convertit oculorum, cui vis cernendi concredita est." De hoc usu verbi ἐμπιστεύω vid. Diodor. Sic. I. 67 p. 77. infr. Wesseling. Herodian. VI. 7. 4: ἐπιστειλάντων αὐτῷ τῶν ἐμπεπιστευμένων τὴν Ἰλλυρίδος ἡγεμονίαν „quibus concredita erat Illyrici praefectura." ubi vid. Irmisch. p. 448. Adde Sturz. de Dialecto Maced. et Alex. p. 164 qui docte de hujus verbi usu, Alexandrinis praecipue frequentato, exposuit. cf. Bielii Thes. V. T. et Schleusneri Nov. Thes. in voc. (29) Videtur delendum.

ἐν αὐτῷ φαίνεσθαι τὰ εἴδωλα, οὕτω καὶ σύ, ὦ Ἀλκιβιάδη, ἐπειδὴ τὸ ἐν σοὶ αὐτοκίνητον ἀπετύφλωσας ταῖς ἀλόγοις ἐνεργείαις, ἐνδοὺς [30] σεαυτὸν ἀπόβλεπε (ψον) εἰς ἐμέ, τουτέστι τὴν Σωκρατικὴν ψυχήν, καὶ ταύτης μὴ εἰς τὸ τυχὸν μέρος, ἀλλ' εἰς τὸ ἀκρότατον, καὶ ὄψει ἐν ἐμοὶ νοῦν καὶ θεόν. Διὰ μὲν οὖν τοῦ εἰπεῖν, ἀπόβλεψον εἰς ἐμέ, δεδήλωκεν, ὅτι περὶ τοῦ γνῶναι πολιτικῶς ἑαυτὸν ἔστιν ὁ σκοπός· διὰ δὲ τοῦ εἰπεῖν, μὴ εἰς τὸ τυχόν, ὅτι καὶ καθαρτικῶς· τοῦ γὰρ ἀκροτάτου τῆς ψυχῆς τὸ καθαίρειν ἑαυτόν· διὰ δὲ τοῦ ὄψει ἐν ἐμοὶ νοῦν, ὅτι καὶ θεωρητικῶς· πρέπει γὰρ τῷ θεωρητικῷ τὸ κατὰ τὸν νοῦν τοῖς πράγμασιν ὁμιλεῖν· διὰ δὲ τοῦ καὶ θεόν, ὅτι καὶ ἐνθουσιαστικῶς· κατὰ γὰρ τὸ ἐν ἡμῖν θεῖον ἐνθουσιῶμεν, ἁπλοῦν ὄν, ὥςπερ καὶ τὸ θεῖον αὐτό, διὰ τοῦτο γὰρ καὶ οἱ παῖδες μᾶλλον καὶ οἱ ἐν ἀγροῖς διατρίβοντες, ὡς ἀφελεῖς καὶ ἁπλοῖ, ἐνθουσιῶσιν· ἀφαντασίαστος γὰρ ὁ ἐνθουσιασμός, διὸ καὶ φαντασίᾳ λύεται, ὡς ἐναντίᾳ οὔσῃ. Ἐπειδὴ δὲ τοῦ Δελφικοῦ γράμματος ἐμνήσθημεν, τοῦ γνῶθι σαυτόν, ἰστέον, ὅτι οὐ μάτην πρὸ τοῦ ναοῦ ἐγέγραπτο, ἀλλ' ἐπειδὴ πάντας τοὺς ἀφικνουμένους ἐκεῖ ἑώρα ἢ περὶ παίδων ἐρωτῶντας, ὡς ὁ Λάϊος· [31] ἢ περὶ ἀρχῶν, ὡς ὁ Κύλων· [32] ἢ περὶ πολέμων, ὡς ὁ Κροῖσος· [33] ἑαυτοῦ δὲ μηδένα λόγον ποιουμένον, κατὰ τὸ Μεγαρικὸν ἐκεῖνο, [34] διὰ τοῦτο ἐγράφη· πρῶτον ἑαυτοῦ φροντίζειν καὶ γινώσκειν ἑαυτόν, καὶ τότε τὰ ἄλλα. Διὰ δὲ τοῦ προστάγματος τὸ προσταχθὲν ἐδήλωσε· τουτέστιν

(30) Scr. vid. vel *ἐκδύς*, vel mutatâ interpunctione: *ἀπετύφλωσας, ταῖς ἀλόγοις ἐνεργείαις ἐνδοὺς σεαυτὸν ἀποπλ.*
(31) Vid. Argum. Phoeniss. Eurip. p. XXII. Valck. Phoeniss. v. 17 sqq. ib. Schol. et Valcken.
(32) De Cylone v. Herodot. V, 71. Thucyd. I, 126. Pausan. I, 28. eorumque interpretes.
(33) Vid. prae ceteris Herodot. I, 47 sq. ib. interprr.
(34) Tangit illud Theocriteum Idyll. XIV. 48:

*Ἄμμες δ' οὔτε λόγω τινὸς ἄξιοι οὔτ' ἀριθματοί,*
*Δύστανοι Μεγαρῆες, ἀτιμοτάτᾳ ἐνὶ μοίρῃ.*

Et ferebatur oraculum hujuscemodi argumenti Megarensibus a Pythia editum esse: *Ὑμεῖς δ' ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι Οὔτε δυωδέκατοι, οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ.* Quod in proverbium abierat. Vid. Scholiast. et Interprett. ad Theocrit. l. l. Cf. Callimachi Epigramm. XXVI. p. 296 Ernest. Suid. Vol. III. p. 529 seq. ibiq. Kuster.

ὅτι ψυχὴ λογικὴ ὁ ἄνθρωπος· φησὶ γὰρ γνῶθι σεαυτόν· τοῦτο δὲ πρὸς τὴν γνωστικὴν εἶπε ψυχήν· οὐ γὰρ τὸ σῶμα γινώσκει, ἀλλ' οὐδὲ τὸ συναμφότερον κατὰ τὸ σῶμα· ἡ δὲ φυτικὴ [35] οὐ γινώσκει· ἀλλ' εἴποι ἄν τις· ὅτι καὶ μὴ αὕτη, ἀλλ' οὖν ἡ ἄλογος· ἀλλ' οὐ περὶ ταύτης φησίν· ἐπήγαγε γὰρ σαυτόν· ἡ δὲ ἄλογος οὐχ ἑαυτὴν γινώσκει· οὔτε γὰρ ἐπιστρέφει πρὸς ἑαυτὴν, ἀλλὰ μόνη ἡ λογική· ἀλλὰ καὶ τὰ οὐράνια καὶ γινώσκουσι, καὶ ἑαυτὰ γινώσκουσιν, ὡς ἐπιστρέφοντα· ἀλλ' οὐδὲ τούτοις ἁρμόττει τὸ γνῶθι σαυτόν· ἐξ ἀγνοίας γὰρ φησὶν ἐπὶ γνῶσιν μεταβεβλῆσθαι εἰπὼν γνῶθι, ὅπερ τελειότης ἐστὶ τῆς ψυχῆς· ἐκεῖνα δὲ ἀεὶ γινώσκουσιν, ὥςτε πρὸς τὴν λογικὴν μόνην φησίν. Ὥςπερ οὖν παρὰ μὲν τῷ Ἀπόλλωνι τὸ ἐπίγραμμα τοῦτο, παρὰ δὲ τοῖς Αἰγυπτίων ναοῖς τὰ κάτοπτρα [36], κείμενα μὲν πρὸ τῶν ἱερῶν, ταὐτὸν δὲ δυνάμενα τῷ Πυθικῷ γράμματι· πρὸς γὰρ τὸ γινώσκειν ἑαυτοὺς ἐπίθεσαν [37] ταῦτα, δι' αἰνιγμάτων ἀεὶ δηλοῦντες τὰ πράγματα, καθάπερ οἱ Ἕλληνες διὰ γραμμάτων. Καὶ αὖθις ὁ τῷ Πλωτίνῳ τὸ κεφάλαιον τὸ ἐν ταῖς ἐννεάσι [38], τί τὸ ζῶον, καὶ τίς ὁ ἄνθρωπος, ἔνθα δείκνυσι ζῶον μὲν τὸ συναμφότερον· ἄνθρωπον δὲ τὴν ψυχήν· τοῦτο καὶ τῷ Πλάτωνι ὁ Ἀλκιβιάδης τοιοῦτον ἔχων σκοπόν· ἐν οἷς ἡ πρᾶξις.

## Πρᾶξις σὺν θεῷ β'.

*Ὦ παῖ Κλεινίου, οἶμαί σε θαυμάζειν.* Μετὰ τὸν σκοπὸν τριττὸν ὄντα, Πρόκλειον, Δαμάσκειον, ἐξηγητικὸν, τουτέστι τὸν τοῖς ἐξηγηταῖς ἀρέσαντα, φέρε καὶ τὸ χρήσιμον τοῦ παρόντος διαλόγου πολυπραγμονήσωμεν καὶ αὐτὸ τριττὸν ὑπά-

(35) Id est anima vegetabilis. Vid. Proclum in Alcib. I. cap. 68. cf. Ioann. Philoponum in Aristotel. de anima I. cujus verba excerpta leguntur apud Suidam III. p. 647. ed. Kust.

(36) De speculorum in religionibus significatione vide, quae passim disputantur in: Symb. u. Mythol. III. p. 407 sqq. 447 sq. 529 sqq. p. 425. 496 sqq. ed. alter. Caeterum confer cum his verbis Olympiodori haec Plutarchi in praeceptt. conjugall p. 141 d. p. 550 Wyttenb.. *Ὁ Σωκράτης ἐκέλευε τῶν ἐσοπτριζομένων νεανίσκων τοὺς μὲν αἰσχροὺς ἐπανορθοῦσθαι τῇ ἀρετῇ, τοὺς δὲ καλοὺς μὴ καταισχύνειν τῇ κακίᾳ τὸ εἶδος.*

(37) Scr. *ἐπέθεσαν.*

(38) Ennead. I. lib. 1.

γωμεν. Συμβάλλεται γὰρ ἡμῖν ὁ παρὼν διάλογος πρῶτον μὲν πρὸς τὴν ἀθανασίαν τῆς ψυχῆς καὶ τὸ ἀΐδιον, εἰκότως· εἰ γὰρ τούτῳ περὶ τοῦ γνῶναι ἑαυτὸν διαλαμβάνει, διὰ δὲ τοῦ ἐπιστρέφειν πρὸς ἑαυτοὺς γινώσκομεν ἑαυτούς· δέδεικται δὲ μυρίαις γραμμικαῖς [1] τοῖς φιλοσόφοις, ὅτι πᾶν τὸ ἐπιστρέφον πρὸς ἑαυτὸ ἀΐδιον καὶ ἀθάνατον· γνωσόμεθα ἄρα ἐνταῦθα, ὅτι ἀθάνατος ἡ ψυχή. Δεύτερον ἡμῖν συμβάλλεται πρὸς τὴν γνῶσιν πάντων τῶν ὄντων· εἰ γὰρ γινώσκομεν τὴν ψυχὴν, γνωσόμεθα καὶ, οὓς ἔχει λόγους ἐν αὐτῇ· πάντων δὲ τῶν ὄντων ἔχει τοὺς λόγους καὶ τοὺς τύπους, ὡς ἴνδαλμα τούτων οὔσας· [2] συμβάλλεται ἡμῖν ἄρα ἡ αὐτῆς γνῶσις καὶ πρὸς τὴν τῶν ὄντων πάντων. Τρίτον πρὸς τὸ γνῶναι, τί ἀγαθὸν τῇ ψυχῇ καὶ τί κακόν· ὥςπερ γὰρ εἰ σῶμα ἦν ὁ ἄνθρωπος, τελειότης αὐτοῦ μέγεθος καὶ κάλλος· εἰ δὲ θυμὸς ἦν, τὸ φιλότιμον· εἰ δὲ ἐπιθυμία, τὸ φιλήδονον· οὕτως ἐπειδὴ λόγος ἐστὶν, τουτέστι λογικὴ ψυχὴ, αὐτάρκης αὐτῷ [3] καὶ πρὸς εὐδαιμονίαν ἡ ἀρετὴ, καὶ πρὸς κακοδαιμονίαν ἡ κακία· ὡς γὰρ φησὶν ὁ Πλάτων, [4] ἄπεισιν ἡ ψυχὴ ἐν ᾅδου, μηδὲν ἔχουσα πλὴν ἀρετῆς καὶ κακίας· τοῦτο τὸ χρήσιμον.

Περὶ δὲ τῆς τάξεως ῥητέον, ὅτι πρῶτον αὐτὸν δεῖ τάττειν τῶν Πλατωνικῶν [5] ἁπάντων· ὡς γὰρ ἐν Φαίδρῳ φησίν· γελαστόν ἐστι τὸν ἐπειγόμενον τὰ ἄλλα γινώσκειν, ἑαυτὸν ἀγνοεῖν. [6]

(1) Utrum subaudiendum an addendum ἀποδείξεσι? Addi etiam potest ἀνάγκαις. Olympiodorus enim infra, Sect. 5. ὁ Ἀρποκρατίων — *γραμμικαῖς ἀνάγκαις* ἔδειξε τὸν Σωκράτην ἔνθεον ἐραστήν. Idem legitur etiam Sect. 11.

(2) οὖσα, an ὄντας?

(3) Conjiciat fortasse aliquis ἑαυτῇ. Neque vero necessarium est, cum αὐτάρκης non modo significet *sibi sufficiens*, sed universe *sufficiens*, ut αὐτῷ pro ἀνθρώπῳ dictum esse existimandum sit. Ad rem consule Cic. Paradox. II. ib. interprr.

(4) Cf. Platonis Gorg. p. 524 sq. p. 268 sqq. Heindf. Plutarch. de S. N. V. p. 93. ibiq. Wyttenb. p. 110 sqq. Platonis Phaedon. cap. 14 p. 19 sq. Wytt. cap. 28 sq. p. 39 sq. p. 39 sq. ibiq. annott.

(5) Vel add. vel subaudiendum διαλόγων. Caeterum cum Olympiodori de hoc dialogo sententiâ compone judicia Procli Iamblichique. Vid. Comment. in Alcib. cap. 6 pag. 11 ed. nostr. et cf. Prooemium ad Procl. p. XII sqq.

(6) Vid. Plat. Phaedr. pag. 229. e. 230. a. Bip. T. X. Bekk. I, 1. p. 8, ubi legitur: *γελοῖον* δή μοι φαίνεται τοῦτ᾽ ἔτι (ἐμαυτὸν

Δεύτερον ὅτι δεῖ Σωκρατικῶς τὰ Σωκράτους μανθάνειν· λέγεται δὲ ὁ Σωκράτης ἐκ τοῦ γνῶθι σαυτὸν ἐπὶ φιλοσοφίαν ἐλθεῖν. Ἄλλως τε δεῖ νομίζειν, ὅτι προπυλαίοις ἔοικεν οὗτος ὁ διάλογος· καὶ ὥσπερ ἐκεῖνα τῶν ἀδύτων προηγοῦνται, οὕτω καὶ τὸν Ἀλκιβιάδην προπυλαίοις χρὴ ἀπεικάζειν, ἀδύτοις δὲ τὸν Παρμενίδην.

Περὶ δὲ τῆς εἰς τὰ κεφάλαια ἤτοι μέρη διαιρέσεως ἰστέον, ὅτι εἰς τρία διαιρεῖται ὁ διάλογος· ἐλεγκτικὸν, προτρεπτικὸν, μαιευτικόν. Καὶ ἐν μὲν τῷ ἐλεγκτικῷ δείκνυσιν αὐτὸν διπλῇ ἀμαθῇ· ὅτι τε ἀγνοεῖ τὰ πολιτικὰ, καὶ ὅτι νομίζει εἰδέναι· ἀγνοεῖ μὲν γὰρ, ὡς μήτε παρὰ διδασκάλου μαθὼν μήτε ἀφ' ἑαυτοῦ ζητήσας· διχῶς γὰρ ἡ γνῶσις προςγίνεται, ἢ διὰ μηθήσεως τῆς διὰ τῶν διδασκάλων, ἢ διὰ ζητήσεως ἡμῶν αὐτῶν· κρεῖττον δὲ τὸ ἑαυτὸν ζητήσαντα γνῶναι, ἢ παρ' ἑτέρου μαθόντα· ὅσον καὶ αὐτοκίνητον τοῦ ἑτεροκινήτου, ὡς Ἀριστοτέλης ἐν ῥητορικαῖς τέχναις φησίν· καὶ τὸ αὐτοφυὲς κρεῖττον τοῦ ἑτεροδιδάκτου· [7] δείκνυσιν οὖν τὸν Ἀλκιβιάδην, ὡς εἴρηται, μήτε καθ' ἕνα τρόπον γνόντα τὰ πολιτικὰ, οὔτε γὰρ διδασκάλοις ἐσχόλασεν· μόνον γὰρ γράμματα καὶ μουσικὴν καὶ παλαίειν ἔμαθεν. Ἄλλως τε οὐδὲ χρήσας φαίνεται, ἐφ' ᾧ νομίσας ἀγνοεῖν προςῆλθεν διδασκάλῳ· παῖς γὰρ ὢν κομιδῇ καὶ νέος ἀστραγαλίζων ἔλεγε πρὸς τοὺς ἄλλους ἐπομνύμενος, ὅτι ἀδικοῦμαι, ὡς ἀκριβῶς εἰδὼς, τί δίκαιον· [8] Οὐδὲ δὲ ζητήσας φαίνεται, ὥστε ἐκ τούτων ἀγνοεῖ, τί τέλος τοῦ πολιτικοῦ, ὅτι τὸ δίκαιον,. ὅτι τὸ συμφέρον, ὅτι καὶ τὸ καλόν· τοῦτο μὲν τὸ ἐλεγκτικόν.

sc.) ἀγνοοῦντα τὰ ἀλλότρια σκοπεῖν. Vocabulum γελωτὸς, si probum est, addendum Lexicis.

(7) Aristotelis Rhetor. I. 7. §. 33. p. 30 Sylb.: *Καὶ τὸ αὐτοφυὲς τοῦ ἐπικτήτου (μεῖζον ἀγαθόν ἐστι·) χαλεπώτερον γάρ· ὅθεν καὶ ὁ ποιητής φησιν, „Αὐτοδίδακτός εἰμι."* Vid. Odyss. XXII. 347. Haec si cum Olympiodoreïs componas, videatur indidem integrari posse locus Aristotelis; nisi forte in Olympiodoro illud *καὶ* ante *τὸ αὐτοφυές* retrahendum est legendumque: *καὶ ὡς Ἀριστοτέλης*, ut extrema duntaxat pro Aristoteleïs habeantur. Utut statuas: illud *ἑτεροδίδακτον* ab Olympiodoro profectum videtur, et est adjiciendum Lexicis. De vocc. *αὐτοκίνητον*, *ἑτεροκίνητον* vid. Procl. in Alcib. cap. 7 ibiq. annot. cf. cap. 34. et 76. [Mox scrib. vid. *οὐδὲ γάρ*.]

(8) Vid. Platonis Alcib. p. 110. a. b. et cf. Proclum in hunc dialogum.

Τὸ δὲ προτρεπτικόν ἐστιν, ἐν ᾧ προτρέπει αὐτὸν σοφίᾳ τοὺς ἀντιπάλους νικῆσαι· πάτριον γὰρ Ἀθηναίοις σοφίᾳ νικᾷν· [9] ἐχθροὶ δὲ τῶν Ἀθηναίων Λακεδαιμόνιοι καὶ Πέρσαι, ὡς δηλοῦσι τὰ Πελοποννησιακὰ καὶ τὰ Περσικά. Τὸ δὲ μαιευτικόν ἐστιν, ἐν ᾧ ὁ Σωκράτης διὰ τῶν προςφυῶν ἐρωτήσε- ν ως [10] ποιεῖ τὸν Ἀλκιβιάδην ἀποφήνασθαι, ὅτι ψυχὴ ὁ ἄνθρωπος· ὥςτε αὐτὸν ἑαυτοῦ διδάσκαλον εἶναι· δόγμα γάρ ἐστιν ἐνταῦθα, ὅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων· τοιοῦτος γὰρ ὁ Σωκράτης, τὰς ψυχὰς μαιευόμενος ἀποτίκτειν τοὺς λόγους. Διὸ καὶ Φαινερέτης [11] λέγουσιν αὐτὸν υἱὸν, Μαίας οὔσης, καθάπερ ὁ Ἑρμῆς· ὥςπερ γὰρ ὁ ἰατρὸς τὰς λήμας ἀφαιρεῖ ἀπὸ τῶν ὀφθαλμῶν μόνον καὶ τὰ ἐμπόδια τῆς ὀπτικῆς ἐνεργείας· καὶ ὥςπερ αἱ μαῖαι φωςφοροῦσι [12] μὲν τὰ ἔμβρυα, οὐκ ἐντιθέασι δὲ αὐταὶ ταῦτα ταῖς τικτούσαις· οὕτω καὶ ὁ Σωκράτης τὰς ψυχὰς ἐμαιεύετο, οὐχ ὥςπερ ἐν ἀψύχοις ἀγγείοις ἐντιθεὶς τοῖς νέοις τὰ θεωρήματα. Φησὶ δὲ καὶ αὐτὸς ἐν Θεαιτήτῳ, οτι ὁ θεὸς μαιεύεσθαι μὲν ἐμὲ ἐποίησεν, ἀπογεννᾷν δὲ κωλύει. [13] Ἐπὶ τέλει δὲ τοῦ διαλόγου λοιπὸν μεταμείβει τὸ σχῆμα τῆς τύχης, καὶ ποιεῖ ἑαυτὸν μὲν ἐρώμενον, πρότερον ἐρῶντα, τὸν δὲ Ἀλκιβιάδην ἐραστὴν πρότερον ἐρώμενον ὄντα. Τοῦτο γὰρ τέλος τῆς ἐρωτικῆς, ὁ ἀντέρως. Ἐρωτικὸς δὲ ὁ Σωκράτης, ὡς καὶ ἐν Φαίδρῳ πρὸς τὸν Ἔρωτα φησίν· τὴν δὲ ἐρωτι-

(9) Herodot. I. 60. *ἐν Ἀθηναίοισι, τοῖσι πρώτοισι λεγομένοισι εἶναι Ἑλλήνων σοφίην.* Etiam Synesius epistol. 335: *Ἀθῆναι — ἑστία σοφῶν.* Plura in eam sententiam colligi possint. Haec sufficiant.

(10) Lege *ἐρωτήσεων.* Caeterum ex hujusmodi locis Platonicorum philosophorum sumsit Dionysius, qui fertur Areopagita, in eccles. hierarch. cap. 5. p. 3. et cap. 6. p. 1. §. 3. *τὰ μαιευτικὰ λόγια, obstetricantia oracula* quae appellat, cum intelligi vult doctrinam Christianam, quâ Catechumeni a Diaconis instituuntur.

(11) Scr. *Φαιναρέτης.*

(12) Hanc hujus verbi significationem frustra quaeras in Lexicis, quae solummodo ex Philone et Manethone praestant illam alteram, geminam verbo *φωτίζειν ans Licht bringen.* De *λήμαις* et *λημᾷν* dixi ad Plotin. de pulcr. p. 379 sqq.

(13) Vid. Platon. Theaetet. pag. 150. c. Bip. T. II. Bekk. II, 1. p. 192. Heind. p. 309. — Olympiodorus, ut supra ex Phaedro, non ipsa Platonis verba exhibet; est enim apud hunc: *μαιεύεσθαί με ὁ θεὸς ἀναγκάζει, γεννᾷν δὲ ἀπεκώλυσεν.*

κὴν, ἥν μοι παρέσχες, δεσπότα, μή με ἀφέλης, μηδὲ πηρώσης δι' ὀργήν τινα ἢ ἄλλην αἰτίαν. [14] Λέγεται δὲ καὶ ὁ Ἀλέξανδρος, ἰδὼν στράτευμά τι καταπεπτωκὸς, ὡς [15] εἰπεῖν· κάκιστα ἀπόλοιτο ὁ τοιοῦτον πλῆθος διαθείς. Ἐπὶ τέλει δὲ, τοῖς πελαργοῖς ἀπεικάσας τὸν ἑαυτοῦ ἔρωτα, κατέπαυσε τὸν λόγον· ἐπειδὴ καὶ οἱ πελαργοὶ πρότερον ὑπὸ τῶν γονέων τρεφόμενοι τελευταῖον αὐτοὺς γηροτροφοῦσιν, εἰς τὸ ἐναντίον κατὰ τοῦτο μεθιστάμενοι· ἐν τούτοις ἡ πρᾶξις·

## Πρᾶξις σὺν θεῷ γ'.

Ὦ παῖ Κλεινίου, οἶμαί σε θαυμάζειν, ὅτι πρῶτος ἐραστῶν [1] σου γενόμενος τῶν ἄλλων πεπαυμένων μόνος οὐκ ἀπαλλάττομαι. Ἐπειδὴ ἐρωτικὸς ὁ διάλογος τοῦ προοιμίου τρεῖς διαφορὰς ἡμῖν παραδίδωσιν ἐνθέου ἐραστοῦ πρὸς τὸν φορτικὸν ἐραστήν. Πρῶτον μὲν, ὅτι ὁ μὲν φορτικὸς ἐραστὴς θαυμάζει τὰ παιδικά· ὁ δὲ ἔνθεος ἐραστὴς θαυμάζεται ὑπ' αὐτῶν· καὶ τοῦτο δηλοῖ διὰ τοῦ εἰπεῖν· ὦ παῖ Κλεινίου, οἶμαί σε θαυμάζειν, τουτέστιν ἐμέ. Δεύτερον δὲ, ὅτι ὁ μὲν φορτικὸς ἐραστὴς, ὥσπερ ὀπώρᾳ τῇ ἡλικίᾳ παραμετρῶν τὸν ἔρωτα, [2] ταχέως τῶν παιδικῶν ἀπαλλάττεται· ὁ δὲ ἔνθεος ἐραστὴς ἐκ σπαργάνων μέχρι ταφῆς συμπαρομαρτεῖ τοῖς παιδικοῖς, εἰ τὰ φυσιογνωμονικὰ σημεῖα τὸ τεχθὲν ἀξιέραστον ὑπαγορεύσειαν. Δηλοῖ δὲ ταύτην διὰ τοῦ· πρῶτος ἐραστής σου γενόμενος τῶν ἄλλων πεπαυμένων μόνος οὐκ ἀπαλλάττομαι· σημαίνων, ὅτι καὶ πρὸ αὐτῶν καὶ μετ' αὐτους ἀκολουθεῖ τοῖς παιδικοῖς. Τρίτη δέ ἐστι διαφορὰ, ὅτι ὁ μὲν ἔνθεος ἐραστὴς θεοειδῶς καὶ ἀπαρουσιάστως [3] σύνεστι τοῖς παιδικοῖς. Καθάπερ γὰρ τὸ θεῖον τῇ

(14) Locus est in Platonis Phaedro p. 257. a. Bip. T. X. Bekk. I, 1. p. 60 sq. Sed Olympiodorus, uti assolet, non accurate reddidit Platonis verba, sed ex memoria, ut videtur, laudavit locum.

(15) Vid. del. vel leg. πως.

(1) Edd. ἐραστής, ut mox ipse Olymp.

(2) Expressit Platonis locum de Legg. VIII. 6. p. 837. ὁ μὲν γὰρ τοῦ σώματος ἐρῶν καὶ τῆς ὥρας, καθάπερ ὀπώρας, πεινῶν, ubi cf. Ast. in Animadvv. p. 407 sq.

(3) Augeri possunt Lexica vocabulo ἀπαρουσιάστως.

μὲν ἐλλάμψει πανταχοῦ ἐστι, τῇ δὲ οὐσίᾳ οὐδαμοῦ, καθ' ὃ οὐ περικλείεται ἐν τόπῳ· οὕτω καὶ ὁ ἔνθεος ἐραστὴς πάρεστι τὸν αὐτὸν τρόπον μιμούμενος· ὁ δὲ φορτικὸς ἐραστὴς πάρεστι τοῖς παιδικοῖς, κατὰ τὴν αἴσθησιν βουλόμενος ἐνεργεῖν τοῦ σώματος, καὶ ταύτην κατὰ τὴν ἐσχάτην, τουτέστι τὴν ἁφήν. Καὶ τοῦτο δεδήλωκεν ἐκ τοῦ λέγειν· ὅτι οἱ μὲν ἄλλοι δι' ὄχλου σοὶ ἐγένοντο, ἐγὼ δὲ τοσούτων ἐτῶν οὐδὲ προςεῖπον· δηλῶν, ὅτι διὰ μὲν τοῦ σιωπᾷν ἄπεστι, διὰ δὲ τοῦ συνεκολουθεῖν καὶ ἐρᾷν πάρεστιν· καὶ αὗται μὲν αἱ διαφοραὶ ἐνταῦθα. Φησὶ δὲ καὶ τετάρτην διαφορὰν ἐν τῷ Φαίδρῳ, τοιαύτην· [4] ὅτι ὁ μὲν φορτικὸς ἐραστὴς ἐπὶ λοίμῃ [5] τῶν παιδικῶν αὐτοῖς πάρεστι καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν καὶ κατὰ τὰ ἐκτός. Κατὰ μὲν σῶμα, ὅτι θηλυπρεπῆ καὶ ἄνανδρον βούλεται ποιεῖν αὐτόν· κατὰ δὲ ψυχὴ, ὅτι ἀνόητον αὐτὸν θέλει εἶναι, πρὸς τὸ ἔχειν αὐτὸν πειθήνιον ὅτι [6] ὃ βούλεται· κατὰ δὲ τὰ ἐκτὸς, ὅτι καὶ πένητα, ἵνα δεόμενος αὐτοῦ ἕτοιμος ᾖ πρὸς τὰς ἡδονάς· ἔτι δὲ καὶ ἀπάτορα καὶ ἀμήτορα καὶ ἄφιλον βούλεται αὐτὸν εἶναι, ἵνα μὴ ἔχῃ τοὺς ἀπείργοντας αὐτὸν τῆς πρὸς αὐτὸν συνουσίας· ὁ δὲ ἔνθεος ἐραστὴς οὐχ οὕτως, οὐδὲ ἐπὶ τοιούτοις, ἀλλ' ἐπ' ἀγαθῷ πάρεστι τοῖς παιδικοῖς, ἐπιστρέφων αὐτὰ πρὸς τὰ καλά.

Ἐπεὶ τοίνυν ἔγνωμεν τὰς διαφορὰς τοῦ ἐνθέου ἐραστοῦ πρὸς τὸν φορτικὸν ἐραστὴν, ζητητέον διατί, τοσαύτην ἔχουσι [7] πρὸς ἀλλήλους διαφορὰν καὶ ἐναντιότητα, ἑνὶ ὀνόματι ἄμφω προςαγορεύονται. καὶ οὐ καθάπερ τὰ ἐναντία, οἷον σωφροσύνη καὶ ἀκολασία. Φαμὲν οὖν, ὅτι δι' ὑπερβολὴν δυνάμεων ὁ ἔρως καὶ τὰ ἐναντία χρῶσαι ἐδυνήθη ἑαυτῷ. Πᾶς γὰρ ἔρως σύντονός ἐστι μανία, καθ' ὃ ἄμφω ἐν καλῷ βούλονται γεννᾷν, ὁ μὲν ἔνθεος ἐν ψυχῇ μαθήματα, ὁ δὲ φορτικὸς ἐν σώματι ζῶα· τοῦ δὲ θεοειδῶς παρεῖναι, καὶ μὴ προειπεῖν [8] μέχρι τοῦ παρόντος, οὐκ ἀνθρώπειον, φησὶν, εἶναι, ἀλλά τι

(4) Vid. Plat. Phaedro passim, inprimis p. 239 sq. Bip. T. X. Bekk. I, 1 p. 26 sq. (5) Suprascriptum λύμῃ et ita leg.
(6) Scribi potest ὅ,τι βούλεται vel πρὸς ὅ,τι β. vel, ut vult margo libri Ms., πρὸς ὃ β.
(7) Scr. vid. ἔχοντες. (8) Scr. προςειπεῖν.

δαιμόνιον ἐναντίωμα, [9] καὶ τοῦτο εἰκότως. Εἰ γάρ τι αἰτιατὸν οὐκ ἀνθρώπειον, τουτέστι τὸ θεοειδῶς παρεῖναι, πόσῳ μᾶλλον τὸ αἴτιον τοῦ παρεῖναι οὐ θεῖόν ἐστιν;

Ἐπειδὴ δὲ δαιμονίου ἐμνήσθη, ἀνάγκη γέγονε τοῖς ἐξηγηταῖς τὸν περὶ δαιμόνων λόγον περιεργάζεσθαι. Ἰστέον οὖν, ὅτι τρεῖς εἰσι διαφοραὶ δαιμόνων· τῶν γὰρ δαιμόνων οἱ μὲν κατ' ἀναλογίαν, οἱ δὲ κατ' οὐσίαν, οἱ δὲ κατὰ σχέσιν. Καὶ γνώμονες οἱ κατ' οὐσίαν τῶν τε κατ' ἀναλογίαν καὶ τῶν κατὰ σχέσιν ὑπάρχουσιν· οἱ μὲν γὰρ κρείττους τῶν κατ' οὐσίαν λέγονται κατ' ἀναλογίαν· οἱ δὲ χείρους κατὰ σχέσιν· κατ' ἀναλογίαν δὲ λέγονται, ἐπειδὴ πρῶτοι ὄντες ἔχουσι τοὺς λόγους τῶν κατ' οὐσίαν, τουτέστι κατ' αἰτίαν αὐτοῖς ὑπάρχουσι δαίμονες· δεῖ γὰρ πρῶτον εἶναι τοῦ κατ' ὕπαρξιν τὸ κατ' αἰτίαν· ὅτι δὲ καὶ οὗτοι δαίμονες λέγονται, δηλοῖ καὶ Ἰσοκράτης, ὁ ῥήτωρ, λέγων [10] τίμα τὸ δαιμόνιον, ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως. καὶ Ὅμηρος [11] μετὰ δαίμονας ἄλλους· καὶ Ὀρφεὺς [12] τὸν Δία ποιεῖ πρὸς τὸν οἰκεῖον πατέρα λέγοντα· ὄρθου δ' ἡμετέρην γενεὴν, ἀριδείκετε δαῖμον. Ἐπὶ γὰρ τοῦ θείου ἐν τούτοις τὸ τοῦ δαίμονος ὄνομα τέτακται· κατὰ σχέσιν δὲ λέγονται δαίμονες αἱ ψυχαὶ τῶν εὐβε-

(9) Vid. dialogum nostrum paulo post initium, et Schol. in Platon. p. 69. Ruhnk.

(10) Isocrat. ad Demonic. Paraenes. p. 6. ed. H. Wolf. cap. 3 p. 4 ed. Coraii.

(11) Iliad. α,222.

(12) Orph. Fragm. X, 4. p. 471. Herm. ubi ex Proclo in Timaeum excerptum hoc fragmentum est. Idem philosophus saepius usurpat hunc versiculum, ut in Cratylum cap. 61 p. 122 ed. Werfer. in Actis philoll. Monacc. Tom. II; p. 31 ed. Boisson. In aliam sententiam haec Orphica convertit Damascius mscr. fol. 246 rect. cod. Monac. οὐχὶ δὲ καὶ Ὀρφεὺς ἐν τῷ Κρόνῳ ἐξάπτει τὰ πίσματα (leg. πείσματα) τῆς ὅλης δημιουργίας, ὅ γέ τοι δημιουργὸς καὶ εὔχεται πρὸς αὐτὸν (sequitur versus.) ἀπευθύνει ἄρα καὶ ἀπορθοῖ τὴν ὅλην κοσμοποιΐαν· ἔτι τοίνυν σαφέστερον οἱ Φοίνικες ταῦτα περὶ αὐτοῦ ἀξιοῦσι· πρῶτον μὲν δαίμονα αὐτὸν ποιοῦντες εἰληχότα τὸν δημιουργόν. ὡς οὖν τοῦ ἡμετέρου βίου προνοεῖ ὁ δαίμων, οὐ καταβαίνων εἰς αὐτὸν, ἀλλ' ἐξῃρημένως, οὕτω καὶ ὁ Κρόνος τοῦ κόσμου προέστηκεν. Deinde addit, eosdem tamen Phoenices Saturnum etiam tanquam mundi opificem celebrare, sed aliâ sententiâ. Nolo enim plura describere ex Damascii apographo, quod acceptum refero benevolentiae Koppii Professoris Monacensis. Est enim in eo, ut hic vir doctissimus integrum Damascium publici juris faciat.

βιωκότων, [13] οἷαί εἰσιν αἱ τοῦ χρυσοῦ γένους, αἵτινες σχετικῶς ἔχουσι πρὸς τοὺς δαίμονας, καὶ αὗται δαίμονες προςαγορεύονται, ὥς φησι καὶ Ἡσίοδος περὶ αὐτῶν· [14] οἱ μὲν δαίμονες ἁγνοὶ ἐπιχθόνιοι καλέονται, ἐσθλοὶ, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων. Τριττὸν οὖν τὸ τοῦ δαίμονος ὄνομα, ὡς εἴρηται.

Ζητητέον δὲ, διὰ ποίαν αἰτίαν εἰς ἄνοιαν [15] ἦλθον τοῦ δαίμονας εἰπεῖν εἶναι. Φαμὲν οὖν, ὅτι ὥςπερ ἡ ἡμετέρα ψυχὴ πηγάζουσα [16] τῇ ζωῇ καὶ βλύζουσα ταύτῃ, καὶ οὐ δυναμένη χωρὶς εἶναι τοῦ ζωοποιεῖν· κατὰ μὲν γὰρ τὰς γνωστικὰς ἔστιν ὅτε οὐκ ἐνεργεῖ, οἷον ὅτε ληθάργῳ κατέχεται, κατὰ δὲ τὸ ζωτικὸν οὐδαμῶς, ἐπειδὴ τὸ ὀστέεινον [17] σῶμα οὐκ ἀεὶ ἦν αὐτῆς ἐξημμένον, ἐπενοήθη αὐτῇ τὸ ἀνόειδες [18] ἤτοι αὐτόειδες ὄχημα, [19] ἀμφοτέρως γὰρ λέγεται· ἀνόειδες [20] μὲν διὰ τὸ σχῆμα· οὐ γάρ ἐστι πάντῃ σφαιρικὸν ὡς τὰ οὐράνια, ἀλλ' ἧττον σφαιρικόν· [21] διὸ καὶ διαστροφήν ποτε φασὶν

(13) Scr. *εὖ βεβιωκότων.*

(14) Cf. Hesiod. *ἔ. κ. ἡ.* 122 sq. ib. Heins. (aliis versus sunt 108 et 109.) Apud Spohnium sunt vv. 124 sq. et ita leguntur:

*τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς,*
*ἐσθλοὶ, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων.*

Nimirum secutus est Olympiodorus Platonis lectionem, qui eosdem versus bis laudat, in Cratylo p. 398 p. 50 ubi consule Heindorf. et de Republ. V. p. 469 p. 252 Bekker. ubi tamen nonnihil variatur.

(15) An scr. *ἔννοιαν?*

(16) Active hoc verbum frequentat Theodoretus, ut *πηγάζοντα εὐλογίαν — σωτηρίαν* III. p 150. et 289. Sed idem tamen etiam neutraliter ut T. V. 1054 de Spiritu sancto: *ὡς πνεῦμα Θεοῦ καὶ ἐξ αὐτοῦ πηγάζον, ἤτοι ἐκπορευόμενον.* Ad sententiam nostri loci adhibe Porphyr. de antro Nymph. cap. XIII. XIV. p. 14. ed. Goens.

(17) Scr. *ὀστέϊνον*, ut in marg. (18) In margine *ὠοειδές.*

(19) In margine *αὐγοειδὲς ἐπόχημα* Vocabulum *αὐγοειδής* non est in Schneideri Lexico. Philo saepiuscule usurpat. Idem de speciall. legg. p. 356 Mangey. animam humanam dicit *ἀπαύγασμα τῆς μακαρίας καὶ τριςμακαρίας φύσεως. αὐγοειδές* usurpat etiam Damascius in Parmenid. v. c. fol. 308. vers. cod. Monac.

(20) Hoc in contextu deleto in margine adscriptum est: *ὠοειδές.*

(21) Origenes de Orat. Tom. I. p. 268. Ruaei *ἐσχηματίσθαι γὰρ τῶν ἐπουρανίων τὰ σώματα, ὡς καὶ γόνατα σωματικὰ ἔχειν αὐτὰ, ὑπολαμβάνειν οὐ πάνυ τι χρή· σφαιροειδῶν παρὰ τοῖς ἀκριβῶς περὶ τούτων διειληφότων ἀποδεδειγμένων αὐτῶν τῶν σωμάτων.* Hinc illud placitum Origenianum de rotundâ formâ corporum post resurrectionem. Vid. Interprr. ad l. l. ibiq. Biblioth. Coislin. p. 95: *εἴ τις λέγοι ἢ ἔχει ἢ φρονεῖ ἢ διδάσκει ἐν τῇ ἀναστάσει σφαιροειδῆ τὰ τῶν ἀνθρώπων ἐγείρεσθαι σώματα· ἀνάθεμα ἔστω.*"

αὐτὸ πάσχειν, οὐ μὴν φθείρεσθαι· τῆς γὰρ αὐτῆς οὐσίας ἐστὶ τῶν οὐρανίων· τουτέστι τοῦ πέμπτου σώματος· διὰ τοῦτο καὶ ἀΐδιον· αὐτόειδες [22] δὲ λέγεται ἀπὸ τῆς οὐσίας, ὡς διαφανὲς καὶ αἰθέριον. Καθάπερ οὖν τῇ ψυχῇ τὸ αὐτόειδες τοῦτο ἀποδεδώκασιν ὄχημα, ἵνα αὐτὸ ἀεὶ ζωοποιῇ ἐξημμένον αὐτῆς διὰ παντὸς, οὕτω καὶ ἐπὶ τῶν οὐρανίων, μὴ δυναμένων παύσασθαι τοῦ ἐνεργεῖν, ἐξῆψαν αὐτῶν τὸ δαιμόνιον γένος τοῦτο τὸ κατ' οὐσίαν· αἱ γὰρ ἡμέτεραι ψυχαὶ οὐκ ἀεὶ ἦσαν αὐτῶν ἐξημμέναι διὰ τὸ πτεροφυεῖν καὶ κα ἐναι [23] εἰς γένεσιν. Τοῦτο οὖν διερμηνευτικόν [24] ἐστι τοῖς τῇδε τῶν ἀπὸ τῶν θεῶν ὡς μέσον ὄν. Ἀλλ' ἐπειδὴ πάντα τὰ προςόντα τοῖς οὐρανίοις διερμηνεύει ἐξ τινῶν ὄντων ἐν τοῖς οὐρανίοις, εἰς ἓξ καὶ αὐτὸ διῄρηται. [25] Λέγω δὲ τὸ τῶν δαιμόνων γένος τὸ κατ' οὐσίαν· ἔστι γὰρ ἐν τοῖς οὐρανίοις· θεότης, νοῦς, ψυχὴ λογικὴ, ψυχὴ ἄλογος, εἶδος, ὕλη. Τοσαῦται οὖν κατὰ [26] τῶν δαιμόνων διαφοραί. Οἱ μὲν γὰρ πρὸς τὸ θεῖον τῶν οὐρανί-

(22) Hoc in contextu deleto scriptum est in marg. *αὐγοειδὲς*, ut quoque mox corr.

(23) Lacera h. l. est charta. Videtur scriptum fuisse *κατιέναι*. Certe ita scribi debuit. Nec minus antecedens *πτεροφυεῖν* refingendum est in *πτεροῤῥυεῖν*. Vid. supra p. 5.

(24) Vocaculum *διερμηνευτικὸς* non habent Lexica. Expressit autem Noster locum classicum in Symposio Platonis p. 202. p. 428 Bekker: *Ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν κτλ.* Ceterum cum hoc Olympiodori loco inprimis comparandum est insigne fragmentum Damascii in vitâ Isidori apud Suidam in *αὐγοειδής*. (Vol. I. p. 376 Kuster.) *Ἔφασκε δ' οὖν παρ' ἐκείνου καὶ ἐκεῖνο ἀκηκοέναι ὁ Ἰσίδωρος, ὡς ἔχει τι ἡ ψυχὴ αὐγοειδὲς ὄχημα λεγόμενον, ἀστροειδές τι καὶ ἀΐδιον καὶ τούτῳ μέντοι τῷ ἀστροειδεῖ σώματι τῷδε* (Leg. cum Porto: *καὶ τοῦτο μέντοι τὸ ἀστροειδὲς ἐν σώματι τῷδε*) *ἀποκέκλεισται ἐνίοις μὲν, εἴσω τῆς κεφαλῆς· ἐνίοις δὲ, εἴσω τοῦ δεξιοῦ ὤμου· ὅπερ οὐδεὶς φαίνεται ἄλλος ἱστορήσας.* — Haec et similia in usum suum convertere poterunt qui hodieque magneticis quae dicuntur curationibus certatim operantur. De *ὀχήματι ψυχῆς* cf. etiam Proclum in Alcib. cap. 11. p. 33. ibiq. not.

(25) De senario daemonum numero ita Psellus p. 61 ed. Kilon. *ἓξ καθόλου ἐκεῖνος ἔλεγε τῶν δαιμόνων εἶναι γένη· οὐκ οἶδα εἴγε τοῖς τόποις συνδιαιρῶν, ἐν οἷς διατρίβουσιν, εἴτε τῷ φιλοσώματον εἶναι τὸ δαιμόνιον ἅπαν γένος. εἶναι δὲ καὶ τὴν ἑξάδα σωματικὴν καὶ ἐγκόσμιον· ἐν αὐτῇ γάρ εἰσιν αἱ σωματικαὶ περιστάσεις, καὶ ὁ κόσμος κατ' αὐτὴν συνέστη.* Ubi consule Gaulminum. Ad extrema intelligenda faciunt haec in Theologumenis arithm. p. 39. p. 38. ed. Ast.. *Διὰ δὲ τὴν τοῦ κόσμου κατὰ τὴν ἑξάδα τελειότητα ἡ τοῦ δημιουργήσαντος θεοῦ ἀρετὴ ἑξαδικὴ δικαίως ἐνομίσθη.* (26) An scribendum *καί*?

ων συνδέοντες ἡμᾶς λέγονται θεῖοι, οἵτινες τοῖς ἐνθουσιασμοῖς ἐφεστήκασιν. Οἱ δὲ τῷ νῷ συνάπτοντες ἡμᾶς, νοεροί, οἵτινες ἐπὶ τῶν κοινῶν ἐννοιῶν εἰσὶ, δι' ὧν ὑπὲρ ἀπόδειξιν ἐν ταῖς κοιναῖς ἐννοίαις τινὰ γινώσκομεν καὶ ἀναποδείκτως. Οἱ δὲ τῇ λογικῇ ψυχῇ λογικοὶ λέγονται, περὶ ὧν φησὶν ὁ ποιητής· ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται [27] καὶ μέν μοι πρῶτα ἐνέπνευσεν μέγα δαίμων. Οἱ δὲ πρὸς τὴν τῶν οὐρανίων ἄλογον [28] συνάπτοντες ἡμᾶς ἄλογοι. Οἱ δὲ πρὸς τὸ τῶν οὐρανίων εἶδος, εἰδικοὶ ἢ εἰδετικοί· [29] ὅτι γὰρ συνῆπται τοῖς τῶν οὐρανίων εἴδεσι τὰ ἡμέτερα εἴδη, δῆλον ἐκ τοῦ συναύξεσθαι αὐτὰ καὶ συμμειοῦσθαι τοῖς οὐρανίοις. Καὶ γὰρ καὶ οἱ χυμοὶ πρὸς τὴν σελήνην καὶ αὔξονται καὶ μειοῦνται, καὶ αἱ τρίχες. Διὸ τοὺς ἱερατικῶς ζῶντας ἔστιν ἰδεῖν μὴ ἀποκειρομένους αὐξούσης τῆς σελήνης [30]. Δηλοῖ δὲ καὶ τὸ σεληνιακὸν πάθος· [31] ἔστι δὲ καὶ τὰ ἡλιοτρόπια [32] φυτὰ καὶ οἱ σεληνῖται λίθοι [33] συναύξοντες [34] καὶ συμμειού-

(27) Vid. Odyss. γ,27. Mox lacuna est post καὶ in Cod. MS. quae expleri posset aliquot literis. Sed consulto videtur spatium relictum, cum primum hexametri Homerici vocabulum, qui est Odyss. τ,138. Φᾶρος μέν μοι πρῶτον (sic) ἐνέπνευσε φρεσὶ δαίμων, adplicare sensui, quem volebat, non posset. Ceterum vox μέγα ex alio versu depromta est, Odyss. ι,381. — αὐτὰρ θάρσος ἐνέπνευσεν μέγα δαίμων, ut fortasse Olympiodorus ex memoria hunc ita laudare voluerit versum:

Θάρσος μέν μοι πρῶτον ἐνέπνευσεν μέγα δαίμων.

(28) Aut excidit vocabulum aut lectio mendosa est.

(29) Vox εἰδετικὸς non est in Lexicis. Ceterum universo huic loco adhibe Procli disputata in Platonis Theolog. I. 24 p. 64 sqq.

(30) Locus ad veterum sacerdotum disciplinam explicandam haud mediocriter faciens. Longum est h. l. quaerere, quomodo haec congruunt Herodoteis II. 36 init. ibiq. Wesseling. collato opere Description de l'Egypte Antiquit. Vol. II. p. 47 sq. Adde Herodot. I. 82. 95. 131. III. 12 (coll. II. 47.) VI. 19. VII. 37.

(31) De lunaticis consule Interprr. ad N. T. Matth. IV. 24. XVII. 15. Proxime de heliotropio vid. Theophrast. H. Plant. VII. 8. et cf. Curt. Sprengel Histor. botan. vernaculo sermone script. I. p. 63. 106. 139.

(32) In marg. ἡλιοτρ. perperam.

(33) In margine male ῆται. De selenite lapide vid. Plin. H. N. XXXVII. S. 67. p. 793. Hard. qui plures in hanc rem laudat auctores, in his Damascium apud Photium in Bibl. Cod. 242. p. 1065.

(34) Refragatur Io. Philoponus in Aristotel libr. II. de Anima (H. 8. 1.) Εἰ δὲ καὶ λίθοι τινὲς δοκοῦσιν αὔξεσθαι, οὐκ ἔστι κυρίως αὔξησις αὕτη, ἀλλὰ μᾶλλον πρόσθεσις κτλ. Locum excerpsit Suidas Vol. I. p. 381 Kusteri.

μενοι πρὸς τὴν σελήνην. Ὁμοίως δὲ καὶ τὰ ὄστρεα καὶ σχεδὸν ἅπαντα· διὸ καλῶς εἴρηται· αὔξεις αὐξομένη, μινύθουσα δὲ πάντα χαλέπτεις,[35] εἰς σελήνην. Ἀλλὰ μὴν καὶ ὑλῶοι λέγονται οἱ τήνδε τὴν ὕλην ἐξάπτοντες τῆς τῶν οὐρανίων καὶ διὰ τοῦτο[36] φρουροῦντες αὐτὴν καὶ μὴ συγχωροῦντες ῥευστὴν οὖσαν πάντῃ φθείρεσθαι. Φησὶ γὰρ καὶ[37] Ὀρφεὺς[38]· ὕλης οὐρανίης καὶ ἀστερίης καὶ ἀβύσσου· ὡς τῆς ὕλης τριττῆς οὔσης, καὶ τῆς μὲν οὐρανίας, ἥτις ταῖς ἑπτὰ σφαίραις ὑπόκειται, τῆς δὲ ἀστρῴας, ἥτις τοῖς ἄστροις· τῆς δὲ χθονίας, ἣν ἄβυσσον ἐκάλεσε, διὰ τὸ ἐσχάτην εἶναι καὶ ῥευστήν. Ἐπειδὴ δὲ πρῶτον εἶδος ἐν τοῖς οὐρανίοις ἔφαμεν εἶναι θεῖον, ἰστέον ὅτι τῶν θεῶν οἱ μὲν ὑπερκόσμιοι, ὧν αἱ ἡμετέραι ψυχαί εἰσιν ἐξημμέναι, καὶ οὐδέ τι σῶμα· οἱ δὲ ἐγκόσμιοι, ὧν τὰ σώματα μόνον ἐξῆπται· τῶν δὲ ἐγκοσμίων οἱ μέν εἰσιν οὐράνιοι, οἱ δὲ αἰθέριοι, ἤτοι πύριοι, οἱ δὲ ἀέριοι, οἱ δὲ ἐνύδριοι, οἱ δὲ χθόνιοι, οἱ δὲ ὑποταρτάριοι, ὡς καὶ ὁ ποιητής· τοὺς θ᾽ ὑποταρταρίους καλέουσιν·[39] τῶν δὲ

(35) Undenam hic hexameter depromtus sit, nescio. In Hymno Orphico *εἰς Σελήνην* v. 4. est *αὐξομένη καὶ λειπομένη, θῆλύς τε καὶ ἄρσην*. Fortassis ex Procli vel Dionysii hymnis sumsit Olympiodorus, nimirum amissis vel certe ineditis. Ceterum cum universo hoc Olympiodori loco compone Ioh. Laur. Lydum de mensib. II. p. 31 sq.

(36) *τούτου* Gesner. in Orphicis.

(37) *Καὶ ὁ Ὀρφ.* Gesner. l. l.

(38) Orph. Fragm. ined. 19. p. 508. Herm. Nimirum ex hoc ipso Olympiodori commentario Orphicis reliquiis haec intulit Gesnerus; quae eadem tamen multo pleniora praestat nobis I. Laur. Lydus de menss. p. 32. Is locus quoniam Hermannum fugisse videtur, integer a me in hac annotatione apponi debet: *Ὅτι ἡ σελήνη προσεχῶς ἐπιβέβηκε τῶν γενητῶν παντὶ, καὶ πάντα κυβερνᾶται τὰ τῇδε ἐναργῶς ὑπ᾽ αὐτῆς, ὡς τὰ Λόγιά φασι.*

*Νύμφαι πηγαῖαι, καὶ ἐνύδρια πνεύματα πάντα,*
*καὶ χθόνιοι κόλποι* (*τε* addidit Schow. metri caussâ) *καὶ ἠέριοι καὶ ὕπαυγοι,*
*μηναῖοι πάσης ἐπιβήτορες ἠδ᾽ ἐπιβῆται.*
*ὕλης οὐρανίας τε καὶ ἀστερίας, καὶ ἀβύσσων.*

Variantem lectionem literarum charactere notabilem feci. Ceterum quod I. Lydus haec ex *oraculis*, Olympiodorus ex *Orphicis* se desumsisse dicit, saepiuscule sic inter se discrepant hujus aetatis generisque scriptores.

(39) Vid. Iliad. ξ,278 sq. ubi est:

*Ὤμνυε δ᾽, ὡς ἐκέλευε, θεοὺς δ᾽ ὀνόμηνεν ἅπαντας*
*Τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.*

χθονίων οἱ μέν εἰσι κλιματάρχαι, [40] οἱ δὲ πολιοῦχοι, οἱ δὲ κατοικίδιοι. Ζητητέον δὲ, ποίους τῶν εἰρημένων ἐξ τῶν κατ' οὐσίαν εἰληχότας ἑκάστου φασίν· λέγουσιν οὖν, ὅτι οἱ μὲν κατ' οὐσίαν ἑαυτῶν βιοῦντες καὶ ὡς πεφύκασι τὸν θεῖον δαίμονα ἔχουσιν εἰληχότα [41]· διὸ καὶ εὐδοκιμοῦντας ἔστιν αὐτοὺς ὁρᾶν, ἐν οἷς ἐπιτηδεύουσι, κατ' οὐσίαν δέ ἐστι ζῆν τὸ πρόςφορον αἱρεῖσθαι βίον τῇ σειρᾷ, ὑφ' ἣν ἀνάγεται, οἷον στρατιωτικὸν μὲν, ἐὰν ὑπὸ τὴν ἀρεϊκήν· λογικὸν δὲ, ἐὰν ὑπὸ τὴν ἑρμαϊκήν [42]· ἰατρικὸν δὲ ἢ μαντευτικὸν, ἐὰν ὑπὸ τὴν ἀπολλωνιακήν· καὶ ἁπλῶς ὡς εἴρηται τὸ καθὼς πέφυκέ τι βιοῦν. Εἰ δὲ μὴ τὸν κατ' οὐσίαν τὶς βίον προβάληται, ἀλλ' ἕτερόν τινα παρὰ τοῦτον καὶ ἀλλοτριοπραγῇ τοῖς ἐπιτηδεύμασι τὸν νοερὸν αὐτῷ λέγουσιν ὑπάρχειν εἰληχότα, διὸ καὶ ὡς ἀλλοτριοπραγῶν ἐν ἐνίοις ἀποτυγχάνει. Ἀλλὰ ταῦτα μὲν περὶ τοῦ ἑκάστου [43] εἰληχότος δαίμονος.

(40) Vocem *κλιματάρχαι* non habent Lexica. Ad argumentum adhibe Iamblich. de Myster. I. 8. ibiq. Galeum p. 191. Distinguebant enim veteres *τοὺς ἀπολύτους θεοὺς* sive *τοὺς ἀζώνους* ab iis, quos *ζωναίους* appellabant, quoniam certis mundi partibus (*ζώναις*) praeesse credebantur. In iis numerabant septem *κοσμοκράτορας* et *ζωδιοκράτορας*, qui universi mundi partes gubernarent. Damascius in Plat. Parmenid. fol. 317 vers. in cod. Monac.: *ζητητέον δὲ ἐν τοῖς χάλδαϊκοῖς, εἰ καὶ παραδέδονταί τινες ἄζωνοι τοιοῦτοι· ἢ ἄζωνος εἰς κοσμάρχης, οἷος ὁ ἡλίου ἄρχων κτλ.* Nam haec sufficere arbitror, quo intelligatur, quid sibi velint illi *κλιματάρχαι*.

(41) Supra lect. leg. *εἰληχότας ἕκαστον*. vid. annot. 43. In margine inferiore hujus paginae in Cod. MS. hoc schema adscriptum est:

*θεοὶ*
- *ὑπερκόσμιοι.*
- *ἐγκόσμιοι*
  - *οὐράνιοι.*
  - *αἰθέριοι.*
  - *ἀέριοι.*
  - *ἐνύδριοι.*
  - *χθόνιοι . . .*
    - *κλιματάρχαι.*
    - *πολιοῦχοι.*
    - *κατοικίδιοι.*
  - *ὑποταρτάριοι.*

(42) De his *σειραῖς* sive „de propagatis ad nos usque continuo nexu deorum influxibus" vid. Marini Vit. Procli cap. 26 et 28 ibiq. Fabricium et Boissonad. p. 121 et Proclum ipsum in Cratylum cap. 25 p. 11 ed. Boisson. coll. cap. 15 p. 6.

(43) Scrib. *ἕκαστον*. Ita Plotini Ennead. III. liber IV. inscribitur: *περὶ τοῦ εἰληχότος ἡμᾶς δαίμονος*. Cf. quae supra posuimus ad Procl. in Alcib. cap. 13 p. 41. In seqq. quoque videtur scribendum *Σωκράτην* pro *Σωκράτους*.

Περὶ δὲ τοῦ Σωκράτους εἰληχότος δαίμονος τρία τινὰ φασὶν ὑπ' αὐτοῦ ἐξαίρετα. Πρῶτον μὲν, ὅτι ἀεὶ αὐτὸν ἀπέτρεπε, καὶ σύμβολον ἦν προτροπῆς τὸ ποτὲ μὴ ἀποτρέπειν. Εὐεργέτης [44] γὰρ ὢν Σωκράτης καὶ ἀεὶ σπουδάζων πάντας ὠφελεῖν, δίκην ὀξέως ἵππου, πρὸς δρόμον ἐπειγομένου, [45], χαλινοῦ καὶ οὐ μάστιγος ἐδέετο. Δεύτερον, ὅτι θεῖον εἶχε τὸν εἰληχότα δαίμονα· καὶ τοῦτο δηλοῖ· φησὶ γὰρ ἐν τῷ παρόντι διαλόγῳ· ὅτι ὁ ἐμὸς ἐπίτροπος κρείττων ἐστὶν ἢ ὁ σός [46]· καὶ τοῦ νεανίου εἰπόντος· τίς οὗτος, ἔφη· θεός, ὦ Ἀλκιβιάδη, θεός. Τρίτον, ὅτι ὡς φωνῆς αὐτοῦ ἐδόκει ἀκούειν· οὐχ ὅτι ἐκεῖνος ἐλάλει, ἀλλ' ἔλλαμψίς τις αὐτοῦ ἐγίνετο περὶ τὰ ἀκουστικὰ ὄργανα, καὶ φωνὴν ἐνόμιζεν εἶναι [47]· οὕτω γὰρ καὶ νῦν ὁρῶμεν ἐν τῇ συνηθείᾳ τοὺς ἱερατικῶς ζῶντας εὐώδες ὀσφραινομένους ἄφνω, καὶ λέγοντας ἀγγέλου παρουσίαν εἶναι, ἀπ' ἐλλάμψεως καὶ αὐτοῖς γινομένης περὶ τὰ ὀσφραντικὰ ὄργανα. Ἀλλ' ἐπειδὴ δαίμονας εἰληχότας [48] εἰρηκάμεν, δεῖ γινώσκειν, ὅτι καὶ παρὰ τῇ κοινῇ συνηθείᾳ συνέγνωσται ταῦτα, εἰ καὶ μὴ τοῖς αὐτοῖς ὀνόμασιν. Ἀντὶ γὰρ τοῦ δαίμονος ἄλλον ἑκάστου φασίν· ἀμέλει ἔστιν αὐτῶν ἀκούειν τὸν ἄγγελόν σου,

(44) In marg. γετικός. [Ad rem cf. Procl. I. p. 82.]

(45) Sic ex corr. antea fuit ἐπιγ.

(46) Vid. Alcib. I. p. 124. c. Bip. T. V. — Bekk. II, 3. p. 345. Alterum θεός, quod sequitur, non est in dialogo nostro, et del. videtur. Similiter oraculum, Socratis parenti redditum, apud Plutarch. de genio Socr. p. 589 E. F. p. 377 Wytt. τὰ δ' ἄλλα μὴ πολυπραγμονεῖν περὶ Σωκράτους, ὡς κρείττονα δήπουθεν ἔχοντος ἐν αὐτῷ μυρίων διδασκάλων καὶ παιδαγωγῶν ἡγεμόνα πρὸς τὸν βίον.

(47) De geniorum vocibus multi multa. Ut hinc ordiar, Pythagoras ille daemonum vocem agnovisse traditur Porphyrio de vit. Pyth. §. 41 p. 42 Kuster. Luculenter in eandem sententiam Plutarchus de genio Socrat. p. 589 C. D. p. 576 Wytt.: Ὥςπερ γὰρ αἱ πληγαὶ τῶν ὄντων (τῶν μεταλλευόντων Reisk. et Wytt.) ἀσπίσι χαλκαῖς ἁλίσκονται διὰ τὴν ἀντήχησιν, ὅταν ἐκ βάθους ἀναφερόμεναι προςπέσωσι, τῶν δὲ ἄλλων ἀδήλως διεκθέουσαι λανθάνουσιν· οὕτως καὶ οἱ τῶν δαιμόνων λόγοι διὰ πάντων φερόμενοι, μόνοις ἐνηχοῦσι τοῖς ἀθόρυβον ἦθος καὶ νήνεμον ἔχουσι τὴν ψυχήν· οὓς δὴ καὶ ἱεροὺς καὶ δαιμονίους ἀνθρώπους καλοῦμεν. Etiam Plotinus vocem geniis attribuit. Vid. Enn. IV. 3. p. 386. Nolo persequi quae permulta hac de re disputat Hermias in Platon. Phaedr. p. 93 sqq. Attigit haec eadem Mich. Psellus de operatt. daemonn. p. 73 ed. Kilon.

(48) Etiam Hermias in Phaedrum p. 94 absolute τὸν εἰληχότα δαίμονα.

εἰ μὴ το πλάτος τοῦτο τὸ ἀπὸ τῶν οὐρανῶν μέχρι τῶν ὑπὸ σελήνην [49] ἀδιαίρετον εἴη· οὐχ ὥςπερ οἱ Χαλδαῖοι τοῦτο διαιρῶν [50]· ἐκεῖνοι γὰρ εἰς τρία τοῦτο διῄρουν [51]· ἀγγέλους, δαίμονας, ἥρωας· καὶ τὸ μὲν πρὸς τοῖς κρείττουσιν [52] ἔλεγον τοὺς ἀγγέλους ἔχειν· τὸ δὲ πρὸς ἡμᾶς τοὺς ἥρωας· τὸ δὲ μέσον τοὺς δαίμονας μέσους, ἐν μέσοις ὄντας. Καὶ τὸν Ἔρωτα δὲ ἐν τῷ Συμποσίῳ ποτὲ μὲν θεὸν, ποτὲ δὲ μέγαν καλεῖ δαίμονα [53]. Καὶ διὰ τί μὲν θεὸν, σαφές· δαίμονα δὲ ὡς μέσον αὐτὸν προςαγορεύει· μέσος γάρ ἐστιν ὁ Ἔρως οὐσίας καὶ ἐνεργείας καὶ ἐρωμένου καὶ ἐραστοῦ· μέγαν δὲ, ἐπειδὴ ὑπὲρ αἴσθησιν καὶ νοερῶς ἐνεργεῖ. Δι' ὃ φησὶ καὶ Ὀρφεύς· ποιμαίνων πραπίδεσσιν ἀνόμματον ὠκὺν Ἔρωτα [54]· ἀνόμματος γὰρ ὁ Ἔρως, ὡς τῷ νῷ ὁρῶν καὶ ἀκούων, εἴγε εἴρηται· νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει [55]. Καὶ ταῦτα μὲν οἱ ἐξηγηταὶ περί τε δαιμόνων καὶ εἰληχότων· ἡμεῖς δὲ [56] συμβαιβαστικῶς τοῖς παροῦσι ταῦτα πειρασόμεθα διεξελθεῖν· καὶ γὰρ Σωκράτους κώνιον κατεψηφίσθη, ὡς καινὰ δαιμόνια τοῖς νέοις εἰςηγουμένου καὶ θεοὺς νομίζοντος, οὓς ἡ πόλις οὐχ ἡγεῖτο

(49) Superscr. τῶν ὑποσελήνων.
(50) Fort.: διῄρουν.
(51) Sic ex corr. antea erat διαίρουν. (52) Scrib. κρείττοσιν.
(53) Plat. Sympos. c. V. p. 16. c. VI. 19. c. XXII. p. 72 sq. c. XXIII. p. 74. ed. Wolf. Hos locos supra saepius ad Proclum ex Edd. Bip. et Bekk. laudavimus. Adde Proclum in Cratyl. cap. 119 p. 75 sq.
(54) Orph. Fragm. ined. 14. p. 507. Hermann. Eundem versiculum laudatum reperies apud Proclum in Alcib. cap. 19. p. 65 ed. Francof. nostr.
(55) Est versus Epicharmi, quem eundem laudat Noster in Platonis Phaedon. Cod. I. Leid. I. p. 13 apud Wyttenb. in annot. p. 151. qui plurimos vett. scriptorum locos citavit, ubi eadem sententia usurpatur. Adde ejusdem animadvv. ad Plutarchi libr. de fortuna (p. 98 B) p. 671. Integer legitur versus in H. Grotii excerpt. ex Stobaeo p. 33: *Νοῦς ὁρῇ καὶ νοῦς ἀκούει· τἄλλα κωφὰ καὶ τυφλά.* Atque sic plane in Meletemm. nostr. II. p. 54 sq. Moserus refingi vult, quae ibi conjecerat.
(56) Vocabulum συμβαιβαστικῶς nihili est. Leg. συμβιβαστικῶς i. e. *modo ad conciliandum idoneo.* Plato in Hipp. min. p. 369. p. 212 Bekker.: συμβιβάζειν τὰ λεγόμενα comparare dicta inter se. Deinde etiam *conciliare, amicitiam connectere.* Hinc συμβιβαστικός *ad conciliandum aptus.* Vid. Kuster. et Kiessling. ad Iamblich. de vita Pythag. p. 122 146. 450. Valckenaer. Scholl. in Act. Apost. IX. 22. p. 453 sq. et Wassenberg. ibid. Vol. I. p. 75.

θεούς [57]. Ῥητέον οὖν εἰληχότα δαίμονα τὸ συνειδὸς ὑπάρχειν, ὅπερ ἄκρον ἄωτόν [58] ἐστι τῆς ψυχῆς καὶ ἀναμάρτητον ἐν ἡμῖν, καὶ ἀκλινὴς δικαστὴς, καὶ μάρτυς τῶν ἐνταῦθα γινομένων τῷ Μίνωϊ καὶ τῷ Ῥαδαμάνθυϊ· τοῦτο δὲ καὶ σωτηρίας ἡμῖν αἴτιον γίνεται, ὡς ἀναμάρτητον ἀεὶ διαμένον ἐν ἡμῖν καὶ μὴ συγκαταψηφιζόμενον τοῖς ὑπὸ τῆς ψυχῆς ἁμαρτανομένοις, ἀλλὰ καὶ ἀνιλλόμενον [59] ἐπὶ τούτοις καὶ ἐπιστρέφον αὐτὴν πρὸς τὸ δέον. Καθάπερ δὲ παιδίον κλαυθμυρίζον ἀφ' ὕπνου γίνεται φαντασίᾳ τινί· οὕτω καὶ τὴν ψυχὴν ἐπανάγει τὸ συνειδὸς ἀπὸ τῶν πλημμελημάτων, ἡνίκα φησίν· τί χρὴ μ' ἀλυεις τίς σ' [60] ἀπόλλυσί νόσους· κἀκεῖνος λέγοι· ἡ σύνεσις· ὅτι σύνοιδα δεῖν' εἰργασμένος [61]· κἀκ τῶν ἐναντίων ὁ λυρικός· ἐλπὶς δ' ἀτάλλοισα καὶ ἀγαθὴ γηροτρόφος [62]. Τὸ συνειδὸς οὖν εἰληχότα καλῶν δαίμονα οὐκ ἂν ἁμάρτοις· ἰστέον δὲ, ὅτι τοῦ συνειδότος, τὸ μὲν ἐπὶ ταῖς γνωστικαῖς ἡμῶν δυνάμεσι λέγεται συνειδὸς ὁμωνύμως τῷ γένει.

Ὦ παῖ Κλεινίου. Τριχῶς ἔστιν ἐξηγήσασθαι τοῦτο· ἡ γὰρ ἐκ πατρὸς κλῆσις ἢ κατὰ ἀρχαϊσμὸν εἴρηται· ὡς ὁ ποιητής· πατρόθεν κικλήσκων ὀνομάζων ἐκ γενεῆς ἄνδρα ἕκαστον πάντας κυδαίνων [63]· ἢ ὅτι φιλότιμος ὢν ὁ νέος καὶ σεμνυνόμενος

(57) Vid. Xenoph. Mem. Socr. I. 1, 1.

(58) Callimach. in Apoll. 112 *Πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς ἄκρον ἄωτον*, ubi plura dant interprr. inprimis Pindarica.

(69) Vid. Ruhnken. ad Tim. p. 35 et annot. Wyttenb. et nostr. ad Plotin. de pulcrit. p. 163.

(60) In marg. bene: *τί χρῆμ' ἀλύεις. ἴσ.*

(61) Duo sunt Senarrii Jambici conflati ex Euripid. Orest. 277 (267 Matth.) (*ἔα*) *τί χρῆμ' ἀλύω*; et ex eâdem fabulâ 385 (395) *τί χρῆμα πάσχεις; τίς σ' ἀπόλλυσιν νόσος*; atque ita corrigendum in Olympiodoro. Neque aliunde desumtus tertius versiculus. Pergit enim continuo ibidem Orestes: *ἡ ξύνεσις κτλ.* In proxime antecedentibus scribendum videtur *λέγει* pro *λέγοι*.

(62) Est Fragmentum Pindari ed. Heyn. T. III. 1. p. 80 sq. ab Hermanno ita restitutum (ex Plat. de Rep. I. p. 330. e. 331. a.):

*γλυκεῖα οἱ καρδίαν ἀτιτάλλοισα γη-*
*ροτρόφος ξυναορεῖ*
*ἐλπὶς, ἃ μάλιστα θνατῶν*
*πολύστροφον γνώμαν κυβερνᾷ.*

cf. Erasmi et all. Adagia p. 666 sq. Proxime fortasse legendum: *Εἰς τὸ συνειδὸς οὖν*, ni gravior menda latet. Extrema certe mutilata. Neque enim est, quo referatur *τὸ μέν*.

(63) Est locus Homericus confuso metro et perperam addito *κικλήσκων* laudatus ex Il. *κ*. 68 sq. ubi est:

ἐπὶ τῷ πατρὶ, ἠριστευκότι ἐν τῇ ἐπὶ Κορωνείᾳ μάχῃ [64] κἀκεῖ τελευτήσαντι, ἐβούλετο πρὸς ἔπαινον ἐντεῦθεν ὀνομάζεσθαι· ἢ ὅτι διεγεγερμένη [65] ἡ πρὸς πατέρας κλῆσις οἰκεῖα τοῖς ἐρωτικοῖς καὶ αὐτοῖς τοιούτοις οὖσι καὶ πολὺ ἔχουσι τὸν ἀῤῥενωπόν [66]. Ἔρως γὰρ ἢ παρὰ τὴν ῥῶσιν καὶ ῥωστικὸν αὐτὸν εἶναι, ἢ παρὰ τὸ ἡρωϊκὸν λέγεται· μονονουχὶ βοᾷ διὰ τοῦ πατρόθεν αὐτὸν ὀνομάσαι, μὴ δὲ γένος πατέρων αἰσχυναίμην [67] ἐπιστρέφων αὐτὸν ἐντεῦθεν πρὸς τὸ γνῶναι ἑαυτὸν οἷός ἐστι, καὶ ἐκ τίνων, καὶ προτρέπων ἐπὶ τὸ καλόν.

Οἶμαί σε. Δοκεῖ τοῦτο μὴ ἄξιον εἶναι τῆς Σωκρατικῆς ἐπιστήμης, τὸ εὐθέως ἐν ἀρχῇ ἀμφιβάλλειν καὶ εἰκάζειν, περὶ ὧν μέλλει λέγειν. Τί οὖν φαμὲν, ὅτι ἀγνοίας τοῦτο σημεῖον ἐστίν; Οὐδαμῶς· ἀλλὰ καὶ τῆς ἄκρας ἐπιστήμης τὸ μεθόδῳ τινὶ πρεπούσῃ προσιέναι τοῖς προσώποις. Ἐπειδὴ γὰρ ἐνστατικὸν τὸ νέον ἅπαν καὶ φιλότιμον καὶ μάλιστα πρὸς τὰς βεβαίους ἀποφάνσεις, μετ' εὐλαβείας αὐτῷ πρόςεισιν· ὥςπερ οἱ ὀρνιθοθῆραι μεθ' ὑποστολῆς τοῖς ὀρνέοις προςέρχονται, πρὸς τὸ μὴ ἀποσοβῆσαι τὴν θήραν· οὕτως οὖν καὶ ὁ Σωκράτης ἠθικῶς τὸν λόγον προςαγαγὼν διὰ τοῦ διστατικοῦ πειθόμενον αὐτῷ [68] τὸν νέον ἔμελλεν ἔχειν, καὶ οὐκ ἐναντιούμενον.

Θαυμάζειν. Πρόςφιλος [69] ἡ λέξις τῷ σκοπῷ· φιλοσοφίας γὰρ ἀρχὴ τὸ θαῦμα· θαυμάσαντες γὰρ τὸ ὅτι ἐπὶ τὸ διότι ἐρχόμεθα· Τοῦτο δὲ ἐστὶ τὸ φιλοσοφεῖν, τὸ τὰς αἰτίας τῶν

πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον,
πάντας κυδαίνων. —

(64) Ad rem laudavimus supra (ad Proclum p. 24) Wesselingium ad Diodor. Sic. XII. 6. p. 482. T. I. ed. Wess. Add. not. in Ed. Etwall. Alc. I. p. 13.

(65) Scr. διεγηγερμένη. (66) Videtur scribendum ἔχουσι τὸ ἀῤῥ.

(67) Est versus Homericus Il. ζ,209. unde legendum μηδὲ et αἰσχυνέμεν, uti margo Cod. exhibet. Alia Ἔρωτος etyma persequitur Plato in Cratylo p. 400. a. b. ubi vide quos laudavit Heindorf. p. 121.

(68) Scrib. fort. αὐτῷ.

(69) Non est in Lexicis hoc vocabulum. Sed legendum fortasse προςφιλής. Legi etiam rectius fortasse potest πρόςφορος, cum pagina post hanc altera legatur: πρόςφορος δὲ ἡ λέξις κτλ. Quod praecedit vocabulum διστατικός nihili esse existimat Schneiderus, et nonnisi ex falsa lectione apud Schol. Aristoph. Plut. 148. ortum. Et possis scribere: διστακτικός. Sed tamen cum Theod. Gaza illam formam agnoscat (vid. Steph. Thes. Vol. V. p. 765) ego manum abstineo.

όντων ἀποδιδόναι, καὶ εἴγε ἐστὶ φιλοσοφία γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί, καὶ ἄλλως δέ [70]. Φιλοσοφία γάρ ἡ Ἶρις, ὡς περὶ τῶν ὄντων ἐροῦσαι· ταύτην δὲ Θαύμαντος θυγαθέρα [71] μυθεύουσιν οἱ ποιηταὶ, καὶ αὐτὴ δὲ ἡ Ἶρις ἐν τῷ ἀέρι φαινομένη θαυμαστή ἐστι, πῶς ἐν ὕλῃ τοιαύτῃ μαθηματικὸν σχῆμα, τὸν κύκλον, ἀποτελεῖ. Λέγεται δέ τι σχῆμα καὶ παρὰ τοῖς γραμματικοῖς καὶ γεωμέτραις θαῦμα. Ὅτι πρῶτος ἐραστὴς σου γενόμενος. Ἑαυτὸν ἕνα καὶ πρῶτον καὶ μόνον φησὶ, τοὺς δὲ ἄλλους καὶ πολλοὺς καὶ τελευταίους καὶ ὄχλον. Ἰστέον δὲ, ὅτι ὁ μὲν δῆμος ἐπέκεινα τοῦ ὄχλου πρὸς τάξιν, ὁ δὲ χορὸς ἐπέκεινα τοῦ δήμου· εὐτακτότερος γὰρ ὁ μὲν δῆμος τοῦ ὄχλου· διὸ καὶ ὁ Παιανιεὺς [72] πρὸς διαβολὴν τοῦ δήμου φησίν· εἴγε ὁ μὲν δῆμος ἐστὶν ὄχλος ἀσταθμητότατον καὶ τὰ ἑξῆς, παραλαβὼν τὸν ὄχλον ἀντὶ τοῦ δήμου· ὁ δὲ χορὸς εὐτακτότερος τοῦ δήμου, εἴγε πολλὴν ἕνωσιν ἔχει, καὶ πρὸς ἕνα μόνον ὁρᾷ τὸν χοροδιδάσκαλον [73]. Οὕτω καὶ ὁ Σωκράτης, εἷς ὢν, πρὸς τῇ εὐταξίᾳ ἐστὶν, ἐκείνους δὲ δι' ὄχλου φησὶν εἶναι· καλῶς δ' εἶπεν αὐτὸν θαυμάζειν ἐπὶ χρόνῳ τῷ πολλῷ, καὶ τῷ πρῶτον ἐρασθέντα μήπω ἀπηλλάχθαι· οἱ γὰρ πολλοὶ οὐ πρὸς τὴν ἕξιν ἀποβλέποντες κρίνουσιν, ἀλλὰ πρὸς τὸν χρόνον, οὕτω γὰρ καὶ σοφοὺς νομίζουσι τοὺς πλεῖστον χρόνον ἐν διδασκάλου διατρίψαντας, οὐ τοὺς ὀλίγους, εἰ καὶ σοφώτεροι ὦσιν. Φησὶν οὖν ὅτι καὶ σὺ θαυμάζεις ἐκ τοῦ χρόνου στοχαζόμενος, ὃν ἐρῶ σου, δῆλον ὅτι ὡς εἷς ὢν τῶν πολλῶν. Ἐγὼ δὲ τοσούτων ἐτῶν. Δηλοῖ γὰρ ὅτι ἐπὶ

(70) Locus mutilatus videtur.

(71) Scrib. θυγατέρα. Ad rem v. annot. ad Procl. supra p. 42.

(72) Vid. Demosth. περὶ παραπρεσβ. Vol. I. p. 383. 5 Reisk: ὡς ὁ μὲν δῆμός ἐστιν ὄχλος, ἀσταθμητότατον πρᾶγμα τῶν ἁπάντων κτλ.

(73) Hinc χοροῦ appellatio his scriptoribus etiam usurpatur in Elysii atque adeo caelestium civium ordine celebrando. Oraculum ap. Porphyr. de vitâ Plotini p. 136 Fabric.: 40 sqq.

— — — ἧχι νέμονται
Μίνως καὶ Ῥαδάμανθυς ἀδελφεοὶ, ἧχι δίκαιος
Αἰακὸς, ἧχι Πλάτων, ἱερὴ ἲς, ἧχι τε καλὸς
Πυθαγόρης, ὅσσοι τι χορὸν στήριξαν Ἔρωτος
Ἀθανάτου κτλ. et ibid. p. 134. 8. Μουσάων ἱερὸς χορός.

Pro eo στρατιὰ est in inscriptione Samothracia in aedibus Peirescii ap. Muenter. in antiquar. Abhandl. p. 186. Ἧς στρατιῆς εἷς εἰμι, λαχὼν θεὸν ἡγεμονῆα.

τοσοῦτον χρόνον οὐδὲ προςεῖπον·[74] τούτου δὲ τί αἴτιον οὐκ ἀνθρώπειον· τούτου τίνος; δῆλον ὅτι τοῦ ἀπαρουσιάστως ἐρᾷν· οὐ γὰρ τοῦ ἁπλῶς ἐρᾷν, ἀλλὰ τοῦ θεοειδῶς· φησὶ γὰρ ὅ,τι αἴτιον τοῦ ἐρῶντα μὴ προςειπεῖν· ὅπερ ἐστὶ θεοειδοῦς. Δῆλον ὅτι καὶ τὸ αἴτιον θεῖον, οὗ σὺ τὴν δύναμιν καὶ ὕστερον πεύσῃ· τοῦ δαιμονίου. Πρόςφορος δὲ ἡ λέξις πρὸς τὸν ἀκούοντα· ἐπειδὴ γὰρ οἶδεν αὐτὸν δυνάμεως ὀρεγόμενον, ὑποτίθησιν αὐτῷ ἐλπίδας, ὡς περὶ οἰκείων αὐτῷ καὶ ὧν βούλεται διαλέξεται· τὸ δὲ καὶ ὕστερον περιττεύει τῷ καὶ συνδέσμῳ, οὐ γάρ ἐστιν ἐνταῦθα συμπλεκτικὸς, ἀλλὰ παραπληρωματικός· οὐδὲ γὰρ καὶ πρὸ τούτου ἐπύθετο τὴν δύναμιν αὐτοῦ, ἵνα μάθῃ καὶ ὕστερον· χρῆται δὲ τούτῳ καὶ ὁ ποιητὴς ἐν τῷ —— ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν[75]. οὐ γὰρ ὡς καὶ ἄλλό τι παρασχόντος αὐτῷ κεῖται ὁ καὶ, ἀλλὰ παραπληρωματικός ἐστιν· ὕστερον δὲ φησὶν, ἐπειδὴ μικρὸν ὕστερον λέγει.

Νεωτέρῳ μὲν οὖν ὄντι σοὶ καὶ πρὶν τοσαύτης ἐλπίδος γέμειν, ὡς ἐμοὶ δοκεῖ, οἰκεῖα ὁ θεὸς διαλέγεσθαι, ἵνα μὴ μάτην διαλεγοίμην· νῦν δὲ ἐφῆκε· νῦν γὰρ ἄν μου ἀκούσαις. — Νῦν δὲ, ἐπειδὴ οὐκ ἐναντιοῦται· ζητητέον δέ ἐστι μὴ καὶ νῦν ἐναντιοῦται τὸ δαιμόνιον προςιέναι τῷ Ἀλκιβιάδῃ, εἴγε μέλλει μετὰ ταῦτα ἁμαρτάνειν· καὶ γὰρ πρὸς Λακεδαιμονίους αὐτομολήσας συνεβούλευσεν ἐπιτειχίσαι τῇ πατρίδι τὴν Δεκέλειαν[76] καὶ πρὸ τούτου τὸν πόλεμον αὐτὸς εἰςηγήσατο τῷ Περικλεῖ κινῆσαι διὰ τοῦ γράψαι τὸ κατὰ Μεγαρέων ψήφισμα, ἵνα μὴ δῷ λόγον τῶν ἀνηλωμένων χρημάτων εἰς τὴν Φειδίου Ἀθηνᾶν[77].

(74) [Scrib. προςεῖπεν.]

(75) Est locus Homericus Il. β,827. Lacuna ante ᾧ καὶ orta est omisso nomine Πάνδαρος. Locus similis est Il. ο,441. — Ceterum hanc Olympiodori praeceptionem contraxit Scholiastes in h. l. p. 69 Ruhnken. Mox pro οἰκεῖα legendum οὐκ εἴα, ut est in dialogo nostro Alcib. I. p. 105. c. Bip. T. V. Bekk. II, 3. p. 303.

(76) Ad rem vide interprr. ad Corn. Nep. Alcib. IV, 7. et quos illi laudant auctores.

(77) Vid. Plutarch. Pericl. 30. 31. Diodor. Sicul. XII. 38—41. ibiq. Ephorus. Cf. Ephori Cumaei Fragg. p. 227 Marxii et Wyttenbachii disputt. in Bibl. crit. Vol. III. 11. p. 80 seq.

Ταύτῃ γὰρ αὐτὸς ἐφιστήκει [78]. Καὶ ἄλλο δέ· αἰτίαν γὰρ ἔσχε τὰ μυστήρια μιμήσασθαι ἐν τῇ Πολυτίωνος οἰκίᾳ [79]. Πρὸς ταῦτα οὖν φαμὲν, ὅτι ὥςπερ ὁ ἥλιος οὐ διωρισμένως φωτίζει, ἀλλὰ καὶ τοὺς μὴ ὁρῶντας, εἰ καὶ ἐκεῖνοι διὰ τὴν οἰκεῖαν ἀνεπιτηδειότητα οὐκ ἀπολαύουσι τῆς ἐντεῦθεν ἀκτῖνος, οὕτως καὶ τὸ δαιμόνιον οὐκ ἐκώλυσε τὸν Σωκράτην, εἰ καὶ ἀνεπιτήδειος ὁ Ἀλκιβιάδης διαλέγεσθαι. Οἶμαι δὲ ὅτι ταύτῃ ἐναντιοῦσθαι, τὸ μέχρι τοῦ παρόντος ἐναντιοῦσθαι τὸ δαιμόνιον. Πῶς γὰρ ἐξ ἀρχῆς οὐκ ἐπέτρεψεν, ἡ δὲ Ξενοφῶντος λῦσις ῥητορικὴ μέν ἐστι δὲ αὐτη· ὅτι χείρων ἑαυτοῦ ἔμελλεν εἶναι ὁ Ἀλκιβιάδης, εἰ μὴ συνδιέτριψε Σωκράτει [80]. Τρίτη δὲ λῦσις ἡ καὶ ἀληθεστέρα, ὅτι εἰ καὶ ἐν τῷ βίῳ τούτῳ ἔμελλον ὠφελέσειν [81] τὰ παρὰ τοῦ Σωκράτους, ἀλλ' οὖν ἑτέρῳ βίῳ τούτων ἀναμιμνησκόμενος ὠφελεῖτο ἐννοῶν, ὡς ἀληθῆ πρότερον ἦσαν τὰ λεγόμενα καὶ μονονοὺ λέγων· ἀλλ' ἐγὼ οὐ πιθόμην — ἦ τ' ἂν πολὺ κέρδιον ἦεν [82]· ὁπότε ὁρῶμεν καὶ ἐν τῷ αὐτῷ βίῳ τινὰς μετὰ τὴν λώφησιν [83] τῶν παθῶν τοῦτο ποιοῦντας, καὶ μόνον, ἡνίκα φλεγμαίνουσιν αὐτοῖς, ἐνδιδόντας· οὕτω προςελήλυθα, καίτοι διὰ παντὸς παρῆν. Πῶς οὖν φησὶν ὅτι νῦν προςελήλυθα· ἐπειδὴ οὐκ ἐναντιούθη [84] τὸ δαιμόνιον· ἢ λέγομεν, ὅτι προςελήλυθα δηλοῖ, ἀντὶ τοῦ αἰσθητῶς καὶ οὐχ ὥςπερ πρότερον μόνον θεοειδῶς καὶ ἀπαρουσιάστως. Εὔελπις δέ εἰμι καὶ τὸ λοιπόν· ἐρωτικὸν καὶ τοῦτο τὸ τὴν ὠφέλειαν τοῦ νέου οἰκείαν εὐελπιστίαν ἡγήσασθαι. Πρόςκειται δὲ τὸ μὲν εὖ διὰ τὸν Σωκράτην, τὸ δὲ ἐλπὶς διὰ τὸν Ἀλκιβιάδην. Ἀβέβαιον γὰρ ἡ ἐλ-

(78) Scrib. ἐφειστήκει sive ἐφεστήκει.

(79) Thucyd. VI. 28. 53. 61. Justin. V, 1, 1. ib. interprr. [cf. Procl. in Alc. p. 86. et ad sq. in quibus scr. οἰκείαν et οὕτω, cf. eundem p. 91.]

(80) Vid. quae in hanc sententiam disputat Xenophon. Mem. Socr. I, toto capite secundo. Fortasse paulo superius scribendum: ῥητορικὴ μέν ἐστι, ἔστιν δὲ αὕτη.

(81) Leg. ὠφελήσειν et fortasse etiam negans particula adjicienda est.

(82) Est versus ex Iliade ε,201.

(83) Suidas II. p. 464 λώφησις· παῦσις, πτῶσις. Vid. ibid. in λωφῆσαι. Cf. Thom. Mag. p. 589 Bern. ibiq. interprr. Adde Etymolog. Gud. p. 376. Alia exhibui Proclum in Alcib. cap. 86 p. 264.

(84) Scrib. ἐναντιοῦται.

πὶς καὶ ὥς φησὶν ὁ Ἡρόδοτος, ἐγρηγόροτος ἐνύπνιον. [85] — Μὴ ἐναντιώσεσθαι εἰκότως· εἰ γάρ, πρὶν ἀκούσῃ τῶν τοῦ σωφρονοῦντος στόματος λόγων, οὐκ ἐναντιώθη, δῆλον ὅτι μετὰ τὸ ἀκοῦσαι οὐκ ἐναντιωθήσεται.

## Πρᾶξις σὺν θεῷ δ'.

Σχεδὸν οὖν κατανενόηκα ἐν τούτῳ τῷ χρόνῳ σκοπούμενος. Δύο εἰπὼν ὁ Σωκράτης, ἓν μὲν ἀνθρώπειον, τὸ δὲ ἕτερον θεῖον· καὶ ἀνθρώπειον μὲν τὸ ἐρᾷν· κοινὸν γὰρ τοῦτο πάντων ἀνθρώπων· θεῖον δὲ ἀπαρουσιάστως ἐρᾷν· πρῶτον τοῦ δευτέρου τὴν αἰτίαν ἀπέδοκεν, [1] θεὸν ἢ δαίμονα ταύτην εἰπών, κατὰ ἀρχαϊσμὸν δὲ τοῦτο πεποίηκε, τὸ [2] τὸ πέρας τῶν φθασάντων ἀρχὴν ποιεῖσθαι τῶν μελλόντων· οὕτω καὶ Ὅμηρος· Ἱππόθοον καὶ Λαοδίκην καὶ Λαοδάμειαν. Λαοδαμείῃ μὲν παρελέξατο μητιέτα Ζεύς [3]. Νυνὶ δὲ πρὸς τὸ πρῶτον ἐπάνεισι καὶ τὴν αἰτίαν τούτου φησί· λέγω δὲ τοῦ ἐρᾷν· ἐρᾷ γὰρ αὐτοῦ διότι τῶν ἄλλων ὑπερφρονεῖ· ὑπερφρονεῖ δὲ αὐτῶν διὰ δ' τινά· διὰ κάλλος σώματος, δι' εὐγένειαν, διὰ τοὺς φίλους πολλοὺς ὄντας, διὰ τὸ Περικλεῖ ἐπιτρόπῳ σεμνύνεσθαι. Ὅτι γὰρ καλὸς ἦν τῷ σώματι [4], δῆλον ἐκ τοῦ κοινὸν ἐρώμενον αὐτὸν λέγεσθαι τῆς Ἑλλάδος· ἐκ τοῦ τοὺς Ἑρμᾶς Ἀθήνησι κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ γράφεσθαι· ἐκ τοῦ τὸν Κυνικὸν Ἀντισθένην λέγειν περὶ αὐτοῦ· εἰ μὴ τοιοῦτος ἦν ὁ Ἀχιλλεύς, οὐκ ἦν ὡραῖος, περὶ οὗ φησὶν ὁ ποιητής, βουλόμενος τὸν Νηρέα [5] εἰς κάλλος ἐπαινέσαι. Νηρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα [6]. Ἐπὶ

(85) In hanc sententiam v. plura in Erasmi et all. Adagiis p. 270.

(1) Scr. ἀπέδωκε. (2) An τῷ?

(3) Vid. Homer. Il. ζ,197 sq. Sed v. 197. apud Homerum ita legitur:

Ἴσανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.

Hippothoi aliis per Iliadem locis mentio fit; ut λ. 840 sqq. ρ. 217. 288 sqq. 318.

(4) De Alcibiadis pulcritudine ad Proclum in hunc dialog. plures veterum laudavimus locos p. 114.

(5) Scr. Νιρέα et mox Νιρεύς.

(6) Vid. Il. β,673. sq. ib. interprr. Adde Eustath. ad Iliad. III. 16 p. 283 Basil.

δὲ γένει μεγάλα ἐφρόνει, ἐπειδὴ ἐκ πατρὸς μὲν Αἰακίδης ἦν, ἐκ μητρὸς δὲ Ἀλκμαιωνίδης, ὅπερ μέγιστον καὶ πρῶτον γένος ἐν Ἀθήναις καὶ πάσῃ τῇ Ἑλλάδι ἐνομίζετο [7]· ἐπὶ δὲ φίλοις μέγα ἐφρόνει, ἐπειδὴ κοινὸς ἐρώμενος τῆς Ἑλλάδος, ὡς εἴρηται, πλείστους ἐκ τούτου φίλους ἐκέκτητο. Ἔτι δὲ καὶ ἐπὶ τῷ Περικλεῖ δικαίως ἐσεμνύνετο, ἐπιτρόπῳ ὄντι καὶ τὰ μέγιστα δυναμένῳ ἐν τῇ πατρίδι, περὶ οὗ φησὶν ὁ συγγραφεύς· ἐγίνετο δὲ λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή [8]· καὶ ὁ κομικὸς [9] δὲ περὶ αὐτοῦ φησιν· ὡς ἐ κ κ α ί δ ε κ α π ο δ ῶ ν ἔ ρ ε ι [10] λ έ γ ω ν τ ο ὺ ς ῥ ή τ ο ρ α ς [11] καὶ ταῦτα μέν ἐστι, δι' ἃ φησὶ τὸν Ἀλκιβιάδην ὑπερφρονεῖν τῶν ἄλλων. Ἐπειδὴ δὲ τὸν [12] νέον ἐπαινεῖν ὑπεροψίας αὐτῷ καθέστηκεν αἴτιον, αὐθαδέστερον γαρ ἔτι μᾶλλον αὐτὸν ποιεῖ. Τὸ δὲ καὶ παρόντα, κολακικοῦ σημεῖόν ἐστιν· κολακεύοντες γάρ τοὺς παρόντας ἐπαινοῦσί τινες· τὸ δὲ καὶ ἐρώμενον ἐπαινεῖν πάλιν ὑπεροπτικὸν αὐτὸν ποιεῖ. Πῶς ὁ Σωκράτης καὶ νέον καὶ παρόντα καὶ ἐρώμενον ἐπαινεῖ διὰ τούτων Ἀλκιβιάδην; ἢ λέγομεν πρὸς τοῦτο· ὅτι φαινόμενοι μέν εἰσιν ἔπαινοι τὰ παρὰ τοῦ Σωκράτους νῦν λεγόμενα· ἀληθεῖς δὲ ψόγοι καὶ ἔλεγχοι. Ἔδει γὰρ αὐτὸν πρὸ τῶν ἀμιγῶν ἐλέγχων καὶ ἀποκεκαλυμμέμων τοὺς συμμιγεῖς ἀποδοῦναι, πρὸς τὸ μὴ ἀνασοβῆσαι τὴν θήραν, ἀλλ' ὥςπερ οἱ δεξιοὶ τῶν ἰξευτῶν [13] ἀψοφητὶ τῇ θήρᾳ

(7) Vid. Plutarch. Alcib. I.

(8) Ad rem v. Plutarch. in Pericl. 15. Sed locus depromtus est ex Thucyd. II, 65.

(9) Scr. κωμικός. (10) In marg. est ἥιρει.

(11) Est versus Eupolidis comici, cujus septem versuum fragmentum exstat apud Scholiast. Aristoph. Acharn. v. 529. Egregie de eo disputavit. Wyttenbachius, ὁ μακαρίτης (ad Plutarch. de S. N. V. p. 7 sq.) qui nostrum versum ad Senarii numeros ita refinxit:

Ἐκ δέκα ποδῶν ἥρει λέγων τοὺς ῥήτορας.

et ita explicavit: „Pericles cum in concionem prodiret, ut egre„gius cursor, quanquam decem pedum intervallo post suos adver„sarios cursum iniit, tamen eos consequitur ac praevertit, sic reli„quos oratores dicendi copia vicit ac post se reliquit."

(12) Scr. vid. τὸ τόν.

(13) Supra legimus ὀρνιθοθῆραι. Tu vid. Polluc. Onomast. VII. 35 et 39. cf. Suid. II. 119 et Zonar. Lex. p. 1111 ibiq. laudd. in Tittmanni not. De ἀψοφητί, quoniam in Schneideri Lexico auctoritate scriptorum destituitur, vid. Alberti ad Hesych. I. p. 98. not. 22. Dorvill. ad Chariton. p. 260 Lips. Adde Plotin. III. 8. 4. V. 8. 11.

προςελθεῖν. Ἄλλως τε καὶ πρὸς τοῦ Σωκρατικοῦ ἤθους τὸ τοιοῦτον· ὥςπερ [14] εἴρηται, πολλάκις ἐοίκασιν αἱ Σωκρατικαὶ παραινέσεις καθαρσίοις μέλιτι δεδευμένοις καὶ οὐχ ὥςπερ τῶν ἄλλων ἰατρικαῖς τομαῖς καὶ καύσεσιν, ἔτι δὲ [15] καὶ ἐπαινεταί εἰσι καὶ ψεκταί· ψεκταὶ μὲν ὡς ἐκ φύσεως καὶ οὐκ ἀσκήσεως προςγινόμεναι, καὶ διὰ τοῦτο πολλάκις ἀνδραπόδοις προςοῦσαι, διὸ καὶ ἀνδραποδώδεις τὰς τοιαύτας ἀρετὰς ὁ Πλάτων — —— ἐκάλεσεν [16] ἐπαινετέαι [17] δέ εἰσι, καθ' ὃ ἀρεταὶ καὶ αὗται λέγονται· πᾶσα γὰρ ἀρετὴ ἐπαινητή [18]. Ὅτι δὲ συμμιγεῖς τοῖς ἐπαίνοις οἱ ἔλεγχοι παραδίδονται, δῆλον ἐντεῦθεν. Φησὶ γάρ, ἀρχόμενος τούτων, ὡς φησὶν [19], ἀντὶ τοῦ· ὡς σὺ λέγεις, καὶ οὐκ ἐγώ, κατὰ τὸν τραγικόν· σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις [20]. Εἶτα δὲ ὅτι καὶ λέγεις μηδενὸς εἰς οὐδὲν δεῖσθαι

Theodoret. Vol. I. p. 1104 Schulz. De formatione vocabuli vid. Etymol. Gud. p. 101.

(14) In marg. bene ὡς γάρ.

(15) Ὅτι καὶ φυσικὰς ἀρετὰς ἐν τοῖς ἐπαίνοις καταριθμεῖται· αὗται δὲ in marg. leguntur.

(16) Nihil deest; sed propter vitium quoddam chartae librarius lacunam fecit, ne scriptio liturae similis esset. — Ceterum de differentiâ ac gradibus virtutum vid. quae Wyttenbachius ex Platonicis collegit ad Phaedon. p. 172 et 216. Atque in ipso hoc dialogo p. 135. c. p. 173 Butt. virtus dicitur ἐλευθεροπρεπές, de Republ. autem lib. X. cap. 14 eadem praedicatur tanquam ἀδέσποτος. ubi cf. Astii Comment. p. 632. De φυσικαῖς ἀρεταῖς cf. Proclum in Alcib. cap. 46. p. 133 ibiq. annot.

(17) Sic ex corr. antea legebatur ἐπαινεταί. (18) Scr. ἐπαινετή.

(19) Sic ex correctione. Scribe: ὡς φῄς. vid. Platon. Alcib. p. 104. d.

(20) Est locus ex Euripidis Hippolyto v. 352, ubi vid. Valcken. p. 201. cf. Platonem ipsum in hoc dialogo p. 113. c. et Proclum ad eum locum. Quod mox subsequitur vocabulum προτρέπτης, si probum est, addendum Lexicis. Ego decernere nolim. Neque magis dixerim quid, si sanum sit, h. l. significet. Nam si ad Socratem referas, possis commode *impulsorem*, *admonitorem* vertere. Tum vero corrigendum foret αὐτόν sive ἑαυτόν. Sin ad Alcibiadem, quod probabilius est, malo quaerere, quam pronuntiare, an forte designet eum qui *retundat*, aliorumque monita a se *amoliatur*. Hanc certe vim inesse in verbo προτρέπεσθαι suspicatur Schaeferus ad Gregor. Corinth. p. 497. Alium usum plane singularem ejus verbi annotarunt Bentleius et Lennep. ad Phalarid. Epist. 107. p. 312. Nuper autem Hasius V. C. ad Leon. Diacon. p. 202 sq. de vi ejusdem verbi medii doctissime exposuit. Cujus tamen emendationes aliquot in Clemente, Eusebio ac Josepho institutas quominus accipiam, cum ea me impediunt quae Potterus (ad Clement. Alex. Protrept. p. 32 not. 7 fin.) ex Hesychio protulit, tum vero maxime quae Maximus Planudes

**προτρέπτην γάρ αὐτὸν εἶναι διὰ τούτων αἰνίττεται. Εἰ γὰρ** ὑπερβαίνει τὴν ἀνθρωπίνην ἀσθένειαν τοῦτο, καὶ μάλιστα τὸν Ἀλκιβιάδην φιλότιμον ὄντα καὶ πρὸς ἅπαντας ὁρῶντα, μόνου γὰρ θεοῦ τὸ μὴ [21] δεῖσθαι. Τρίτον, ὅτι φησί· τὰ ὑπάρχοντά σοι μεγάλα νομίζεις εἶναι καὶ ἐπὶ τούτοις μέγα [22] φρονεῖς· ἀντὶ τοῦ· οὐκ ἐπὶ σαυτῷ σεμνύνῃ, ἀλλὰ ἐπὶ τοῖς ἔξωθεν, σαυτὸν ἐν οὐδενὶ λόγῳ κατὰ τὸ Μεγαρικὸν [23] ποιησάμενος. Τέταρτον, ὅτι ἀπὸ τῶν σκομμάτων [24] ἀγαθῶν ἀρξάμενος καὶ τελευτῶν εἰς τὰ ψυχικὰ, μεγάλα φρονεῖς, ὅπερ οὐκ ἔδει. Νομίζεις γάρ, φησὶν, σαυτὸν εἶναι κάλλιστον, ἐπὶ κάλλει δὲ, ὀπώρᾳ ὄντι, οὐ προςῆκε σεμνύνεσθαι· ἐπεὶ καὶ Πλάτων ἐν τῷ Λαΐδος ἐπιγράμματι φησίν· τῇ Παφίῃ τὸ κάτοπτρον· ἐπεὶ τοίη μὲν ὁρᾶσθαι οὐκ ἐθέλει, οἵη δ' ἦν πάρος οὐ δύναται [25]. Δηλοῖ γὰρ ἐν τούτῳ, μὴ δεῖν, ὡς ἐπὶ μονίμῳ, τῷ κάλλει μέγα φρονεῖν. Πάλιν δὲ φησὶν, ὅτι καὶ ἐπὶ εὐγενείᾳ [26] φρονεῖς· ὡς εἰ ἔλεγεν· ἐπὶ τοιούτῳ σεμνύνῃ [27] ἐν οὗ ἄδηλον, εἰ ὁ προπάτωρ πρὸ κε̄ προγόνων δοῦλος ἦν. Ἄλλος δὲ ἔλεγχος, ἐν οἷς φησὶν, ὅτι νομίζεις τοὺς φίλους ὑπηρέτας εἶναί σοι· εἰ γὰρ κατὰ τοὺς Πυθαγορίους [28]· φιλότας ἰσότας· καὶ κατὰ Ἀριστοτέλην· φίλος ἄλλος ἐγώ· τί μᾶλλον ἡμῖν ὑπηρετήσουσιν

ad calc. Etymolog. Gud. p. 635. 37 offert: *προτρέπει τίς τινα, ἐπειδὰν εἰς ἔργον αὐτὸν διεγείρῃ. προτρέπεται δέ τις θεὸν ἀντὶ τοῦ ἱκετεύει.* Nisi corruptis poëtarum codicibus inductum Planudem dicere velis.

(21) An *μηδενός*? (22) Corr. alt. man. *μεγάλα.*

(23) Hoc proverbium supra explicuimus p. 8.

(24) Corr. in marg. *σωματικῶν.*

(25) Hoc epigramma est in Anthol. Gr. I. p. 170. p. 103. Jacobs. ubi versus pentameter ita scribitur: *οὐκ ἐθέλω· οἵη δ' ἦν πάρος οὐ δύναμαι.* Vid. Jacobsii Animadvv. p. 345 sq. ibiq. Ausonii Ep. LV: „At mihi nullus in hoc usus, quia cernere talem Qualis sum, nolo: „qualis eram, nequeo."

(26) Addendum videtur *μέγα.*

(27) Ita correctum est ex *σεμνύνει*, quae fuit forma Attica. Quod sequitur *ἐν*, delendum videtur.

(28) Scrib. *Πυθαγορείους.* De duobus, quae sequuntur, proverbiis vid. Erasmi et all. Adagia p. 42. — Originem eorum vide apud Porphyrium de Vita Pythag. 33. p. 37. ed. Kust. et inprimis Rittershusii notas ad h. l. ib. p. 46 sq. Iambl. de Vita Pythag. 162. p. 138 Kust. p. 342 Kiessl. Diog. Laert. VIII, 10. Aristotelis locus est Magn. Moral II, c. 15.

ἐκεῖνοι, ἤπερ ἡμεῖς αὐτοῖς; Ἐπὶ δὲ Περικλεῖ ἐπιτρόπῳ οὐκ εἰκότως φρονεῖς μέγα· εἴγε ἐδείχθη οὗτος ἐν τῷ Γοργίᾳ μὴ ὢν πολιτικός· οὐδὲ γὰρ καλοὺς καὶ ἀγαθοὺς τοὺς πολίτας ἐποίησεν, ἀλλὰ τοὐναντίον, χείρους [29]· φρόνημα γὰρ αὐτοῖς φλεγμαίνουσιν ἐντέθηκε, νεώρια καὶ λιμένας καὶ συμμάχους περιποιήσας αὐτοῖς· καὶ ὁ κωμικὸς δὲ φησίν· Ἀριστείδην μόνον ἐπαινῶν, ὡς μηδενὸς ἀγαθοῦ γενομένου μετ' αὐτόν [30]. Ἀλλ' ἐπειδὴ πᾶσα ψευδὴς δόξα ἐξ ἀληθοῦς ἔχει τὴν ἀρχὴν, απόπτωσις γὰρ ὂν τὸ ψεῦδος τοῦ ἀληθοῦς παρυφίσταται αὐτῷ, καὶ ἐξ αὐτοῦ ἤρτηται, μὴ δυνάμενον αὐθυπόστατον εἶναι· τὸ γὰρ ἀληθὲς διὰ περιουσίαν δυνάμεως καὶ τὸ ἀντικείμενον ψεῦδος ἑαυτῷ ἔχρωσεν, καὶ οὐδὲ παντελῶς ἀμαύρωσις ἐγένετο τῶν κοινῶν ἐννοιῶν· ῥητέον· πόθεν ὁ Ἀλκιβιάδης τὸ φαινόμενον ἀγαθὸν μέγιστον ἐνόμιζεν εἶναι, καὶ τούτῳ μεγάλα ἐφρόνει; Φαμὲν οὖν, ὅτι ἐπὶ κάλλει ἐμεγαλαύχει [31] τὸ νοητὸν κάλλος ἐννοῶν· καὶ φαντασίαν μὲν ἔχων αὐτοῦ, μὴ δυνάμενος δὲ ἀληθῶς ἐφικέσθαι περὶ τὸ αἰσθητὸν τοῦτο καὶ φαινόμενον ἐσκιαμάχει κατὰ τὸ ποιητικόν· Ἀμφὶ δ' ἄρ' εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ δῄουν ἀλλήλοισιν ἐπὶ στήθεσι [32] βοείας ἀσπίδας. Ἐπὶ εὐγενείᾳ δὲ πάλιν ἐσεμνύνετο· ἐπειδὴ καὶ ἐν τῷ παντὶ τὰ ἐξ ἀγενεστέρας [33] αἰτίας προελθόντα τιμιώτερα καὶ κρείττω καθέστημεν [34]. Οὕτω γὰρ καὶ ὁ Πλάτων τὰ μὲν ἐξ ἀκινήτου αἰτίας ἀΐδια φησὶ καὶ ἄφθαρτα [35]. Ἐπὶ δὲ φίλοις, διότι καὶ ἡ τῶν πάντων ἀρχὴ μία οὖσα

(29) Vid. Platon. Gorg. p. 516. c. d. Bip. T. IV. — Bekk. II, 1. p. 152.

(30) Eandem fere ex Platone sententiam laudat Plutarchus in Aristide c. 25. et Timocreontis Rhodii μελοποιοῦ de eodem Aristide Plutarch. in Themistocl. 21. Cf. quae contulerunt Wesselingius et Valckenarius ad Herodot. VII, 79. Schweigh. T. VI, 2. p. 154 sq. Ceterum cf. etiam Aristophanis Equites vs. 1318 — 1322.

(31) Sic ex corr. fuit ἐμεγαλαύνετο. An ἐμεγαλύνετο? De σκιαμ. v. p. 42. (32) Corr. στήθεσσι. Sunt versus Homerici ex Il. ε,451 sqq. ubi tamen recte legitur ἀλλήλων. (33) In marg. εὐγ.

(34) Suprascript. μεθεστ. An καθέστηκεν vel μεθέστηκεν?

(35) Cum hoc Platonis placito alia ejusdem philosophi decreta hoc magis componenda sunt, quo minus congruere videri possint: in Phaedro p. 245 C. p. 318 Bip. p. 246 Heindf. cf. Ciceron. Tusculan. Disputt. I. 23 et Origenem περὶ ἀρχ. fragm. ex libr. III. Tom. I. p. 108. Ruaei, et quae plura exhibui ad Proclum in Alcib. p. 106. Ad nostrum locum adhibe Procl. in Alcib. cap. 2 init. p. 4.

καὶ ἕνενωται [36]· τοιαύτη δὲ καὶ ἡ φιλία, ἕνωσις τις οὖσα, πρὸς τῷ ἑνί ἐστιν. Ἐπὶ δὲ Περικλεῖ ἐπιτρόπῳ, ὡς ἔννοιαν ἔχων τοῦ εἰληχότος [37]· ἐπιτροπεύει γὰρ κἀκεῖνος ἡμᾶς· Τελευταῖον δὲ φησὶν ὁ Σωκράτης, ὅτι καὶ πλούσιος ὢν, ὦ Ἀλκιβιάδη, ὡς ὑπερορῶν χρημάτων, καὶ φιλότιμος ὢν, οὐκ ἀξιοῖς ἐπὶ τῷ πλούτῳ μέγα φρονεῖν· ὅτι γὰρ ὑπερορᾷ, δῆλον. Λέγεται γὰρ, ὅτι ποτὲ τῶν Ἀθηναίων ἐκκλησιαζόντων περὶ πόρου χρημάτων, αὐτεπάγγελτος οἴκοθεν ἐπιδέδωκε δέκα τάλαντα [38]. Κρεῖττον δὲ τὸ φιλότιμον τοῦ φιλοχρημάτου καὶ φιληδόνου· ἐπειδὴ ὁ μὲν θυμὸς, ἐξ οὗ τὸ φιλότιμον, χωριστὸν ἔχει τέλος· ὄρεξις γάρ ἐστιν ἀντὶ λυπήσεως, καὶ ἔφεσις τοῦ ἀμύνεσθαι τὸν προαδικήσοντα, ἡ δὲ ἐπιθυμία, ὅθεν τὸ φιλοχρήματον καὶ φιλήδονον, οὐ χωριστὸν ἔχει τὸ τέλος, ἀλλ' ἐγκατακέχωσται τῷ σώματι· ἢ τὸ λεῖπον ἀναπληροῦσα, οἷον σιτία, καὶ ποτὰ, καὶ τοιαῦτα, ἔξωθεν ἐπισάγουσα [39], ἢ τὸ περιττεῦον ἀποκρίνουσα, ὡς ἐν τοῖς ἀφροδισίοις τὸ σπέρμα, καὶ ἄλλως δὲ ὁ θυμὸς ἐπιθυμίας τιμιώτερος. Μαχομένου γὰρ τοῦ λόγου καὶ τῆς ἐπιθυμίας, σύμμαχος τῷ λόγῳ γίνεται, καὶ ὡς εὐγενὴς στρατιώτης καὶ γενναῖος ὑπὲρ αὐτοῦ κατὰ τῆς ἐπιθυμίας τὰ ὅπλα προβάλλεται.

Σχεδὸν οὖν κατανενόηκα. Σύμφωνος ἡ λέξις τοῖς παρ' ἡμῶν εἰρημένοις· πάρεστι γὰρ ὁ Σωκράτης διὰ τούτων τοῦ πρώτου τὴν αἰτίαν ἀποδιδοὺς, λέγω δὲ τοῦ ἐρᾷν· τὸ μὲν οὖν σχεδὸν εἴρηται διὰ τὸν Ἀλκιβιάδην· τὸ δὲ κατανενόηκα δι' αὐτὸν Σωκράτην, εἰ γὰρ μὴ οὕτως ἀκούσωμεν, ἐναντίον ἔσται, πῶς σχεδὸν φησὶ καὶ κατανενόηκα· τοῦτο γὰρ οὐκ ἐπιστημονικόν· τῷ δὲ Ἀλκιβιάδῃ νέῳ ὄντι ἁρμόζει τὸ

(36) Scrib. vid. *ἥνωται.* (37) Id est *τοῦ δαίμονος.* Tene h. l. absolutum vocabuli usum. Pro eo Plato in Tim. p. 90. p. 137 Bekk. *ὁ δαίμων*, Platonici ut plurimum *ὁ εἰληχὼς ἡμᾶς δαίμων.* Vid. supra et ad Proclum in hunc dialogum.

(38) De Alcibiadis in rempublicam liberalitate v. Plutarch. Alcib. 10. Universae autem huic disputationi de forma corporis, opibus, nobilitate adde eum scriptorem qui Plutarchus videri vult et Plutarchea decreta usurpat, dico auctorem libelli de pueror. educat cap. 8 p. 5. p. 16 sqq. et quae ad eum illustrandum collegit Wyttenbach. in Animadvv. p. 97 sqq. [De verbo *ἐπιδιδόναι* hac sententia solenni vid. Locos in Ind. Graecit. Demosth. Reisk. s. v.]

(39) Scr. *ἐπεισάγουσα.*

*σχεδόν*, ἢ καὶ ἄλλως πρὸς πειθὼ μᾶλλον ἠθικῶς κεῖται, ὥςπερ ἄνω τὸ *οἶμαι*. *Ὡς πρὸς τοὺς ἐραστὰς ἔσχες*. Σαφῶς ἐνταῦθα νοεῖν ἔστι τὴν δευτέραν αἰτίαν, ὅτι διὰ τὸ καταφρονητικῶς ἔχειν πρὸς τοὺς ἄλλους ἐραστὰς τὸν Ἀλκιβιάδην φησὶν ὁ Σωκράτης ἐρᾷν· πολλῶν γὰρ γενομένων καὶ μεγαλοφρόνων, ζητητέον πῶς ἐνταῦθα μεγαλόφρονας ἐκάλεσε τοὺς φορτικοὺς ἐραστάς· ἢ λέγομεν [40] ὅτι καθάπερ ἐπὶ τοῦ ἔρωτος πρώην εἰρήκαμεν, ὅτι διὰ περιουσίαν δυνάμεως καὶ τὸ ἀντικείμενον ἔχρωσεν, ὥστε καὶ ἑνὶ ὀνόματι ἄμφω προσαγορεύεσθαι ἐραστάς, οὕτω καὶ νῦν φαμὲν, ὅτι ἡ μεγαλοφροσύνη καὶ τῷ ἐναντίῳ μεταδέδωκε ἑαυτῆς, ὥςτε καὶ τοὺς φορτικοὺς ἐραστὰς μεγαλόφρονας ὀνομάζεσθαι. Σημειωτέον δὲ, ὅτι πανταχοῦ οἰκείοις ὀνόμασι τῷ νέῳ κέχρηται. Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν ἐπὶ τὰ κοινὰ σπαργῶντα [41] παρελθεῖν καὶ στρατιωτικῶς ἐφιέμενον, τοιαῦτα τίθησιν ὀνόματα, δι' ὧν ὁ νέος ἐλπίζει περὶ τῶν προσδοκωμένων αὐτῷ διαλήψεσθαι. Νῦν γάρ φησὶ *μεγαλοφρόνως*, εἶτα *ὑπερβληθεὶς τῷ φρονήματι*· πάλιν δὲ τὸ *πέφευγεν*, ἅτινα πάντα πολιτικῷ πρέποντά ἐστιν. *Τὸν δὲ λόγον, ᾧ ὑπερπεφρόνηκας, ἐθέλω διελθεῖν*. Διὰ τούτων ἐθίζει τὸν νέον ὁ Σωκράτης κατ' αἰτίαν ζῆν· ἴσως γὰρ ὁ Ἀλκιβιάδης οὐ διὰ σεμνότητα καὶ μεγαλοφροσύνην κατεφρόνησε τῶν ἄλλων ἐραστῶν, ἀλλὰ διὰ χαυνότητα ψυχῆς· οὐδὲ [42] ὡς ἐκείνου μετὰ αἰτίας καταφρονήσαντος αὐτῶν, οὕτω φησίν· οὐκ ἀνοίᾳ, ἀλλα ἀποῤῥήτῳ μᾶλλον ἐπιστήμῃ προςβιβάζων αὐτὸν κατ' αἰτίαν, ὡς εἴρηται, ζῆν· λέγει γάρ, ὅτι *τὸν λόγον, καθ' ὃν ὑπερπεφρόνηκας*· οὐ πάντως δὲ λόγῳ τινὶ κατεφρόνησεν αὐτῶν. *Οὐδενὸς φῄς*. Ἐντεῦθεν μὲν οἱ δοκοῦν-

(40) An ἢ *λέγωμεν* — *φῶμεν* — *ὀνομάζεσθαι*; sed tamen vid. Matth. Gr. gr. §. 515. not. 2 ibiq. laudd.

(41) Significatur „*incensa cupiditas sive impatientis animi aestus*" Ruhnken. ad Tim. Lex. Platon. p. 234 cf. Scholiast. Platon. p. 48. Photii Lex. gr. p. 390. Mox in marg. *στρατηγικῆς*.

(42) Fort. *ὁ δὲ*,. Illud *χαυνότητα ψυχῆς* Platonicum est. Vid. v. c. Theaet. p. 175. b. p. 395 Heindf. de Legg. V. 2. p. 728. p. 162 Ast. p. 375 Bekker. *τὰ μὲν ὑπέρογκα γὰρ χαύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ, τὰ δὲ ταπεινάς τε καὶ ἀνελευθέρους inflatos animos*. De quo usu verbi dicendi otium fecit nobis doctiss. Segaar. in copiosa annot. ad Clement. Alex. Quis div. salv. p. 125 sqq.

τες ἔπαινοι, συμμιγεῖς δὲ ἔλεγχοι παραδίδονται· πρῶτος γάρ· ὡς σὺ φῂς — ἐνδεὴς εἶναι εἰς οὐδέν· δεύτερος ἔλεγχος· οὐ γὰρ ἀνθρωπίνης δυνάμεως τὸ μὴ δεῖσθαι μηδενὸς εἰς οὐδὲν καὶ μάλιστα τοῦ [43] Ἀλκιβιάδου πολιτικοῦ καὶ δημαγωγοῦ βουλομένου εἶναι, κἀντεῦθεν πολλῶν δεομένου. Τὰ γὰρ ὑπάρχοντα· τρίτος ἔλεγχος. Ἀπὸ τοῦ σώματος ἀρξάμενα· τέταρτος ἔλεγχος· εἴγε δείκνυται διὰ τούτου προτιμῶν τὰ σωματικὰ ἀγαθὰ τῶν ψυχικῶν. Οἴει γὰρ δὴ εἶναι· Οὐ γὰρ, φησὶν, [44] ἐπίστασαι, ἀλλὰ νομίζεις μόνον· πρῶτον μὲν κάλλιστός τε καὶ μέγιστος τοῦτο πρῶτον τῶν κατειλεγμένων δ' ἐν τῇ θεωρίᾳ, ἐφ' οἷς ὁ Ἀλκιβιάδης μέγα φρονῶν ὑπερεῖδε τοὺς ἐραστὰς ὅτι, καλὸς, ἅπαντι δῆλον ἰδεῖν, ὅτι οὐ ψεύσῃ [45]. Δηληθότως ἐνταῦθα σκώπτει τὸν Ἀλκιβιάδην, καὶ οὐχ, ὥςπερ φαίνεται, ἐπαινεῖ· ὥςπερ γὰρ τὸ ἐν τῷ θεῷ ἀγαθὸν ἄῤῥητόν ἐστιν· οὕτω δὴ καὶ τὸ ἐν ἡμῖν ἀγαθὸν μετέχειν ἀῤῥήτου τινός. Εἰ δὲ νῦν φησὶ περὶ τοῦ προςόντος τῷ Ἀλκιβιάδῃ, ὅτι παντὶ δῆλον εἰδεῖν, [46] δῆλον ὅτι φαῦλον τοῦτο καὶ οὐκ ἀληθῶς ἀγαθόν· ὥστε κἂν τούτοις ἔλεγχός ἐστιν. Ἔπειτα νεανικωτάτου [47] γένους. Δεύτερον τοῦτο ἐφ' ᾧ φρονῶν [48] ὁ Ἀλκιβιάδης ὑπεροπτικὸς τῶν ἄλλων ἐρα-

(43) Hoc vocabulum additum est a correctoris manu.

(44) In margine adjicitur: ἀκριβῶς.

(45) Apud Platonem est ψεύδει. Quod sequitur vocabulum scribendum λεληθότως et paulo inferius μετέχει pro μετέχειν.

(46) Scr. ἰδεῖν.

(47) Ficin. „*Nobilissimo* praeterea genere ortum" Vigerus de Idiotism. qui aliquot significatus hujus Adjectivi attigit, hanc tamen silentio praetermisit. Quocirca ego in hoc margine paucula subjiciam unde varius ejus formae usus percipi poterit. Suidas II. p. 603 νεανικόν· ἀντὶ τοῦ μέγα. Ibid. νεανικῶς· ἰσχυρῶς. γενναίως. Zonar. L. gr. p. 1392 νεανικώτερον. τολμηρότερον. Cf. Hemsterh. ad Aristoph. Plut. vs. 1138. Casaub. et Schweigh. ad Athen. IV. 170 C. Animadvv. p. 606 sq. Valckenar. Scholl. in N. T. Vol. I. p. 355 sq. Demosthenes bis ei vocabulo adjungit λαμπρόν p. 557 et p. 1267 Reisk. Consule praeterea Leopold. ad Plutarchi Num. 1. p. 163 Irmisch. ad Herodian. l. 7. 3. p. 238 Locellam ad Xenoph. Ephes. p. 326 ed. Peerlkamp. Matthaeum ad Ioh. Chrysostomi Homil. I. p. 40. not. 124. et, qui e Byzantinis scriptoribus exempla docte enotavit, Hasium ad Leonem Diaconum p. 240.

(48) Utrum et hoc loco, ut supra visum est, addendum μέγα, an utrobique sufficit φρονῶν? Hoc nonnunquam simpliciter poni pro μέγα φρονεῖν non negaverim, ut φρόνημα pro arrogantia usurpatur.

στῶν ἐγένετο· εἰρήκαμεν δὲ κἀνταῦθα ἔλεγχον εἶναι· τὸ γὰρ εἰ πρὸ κε̄ γενεῶν προπάτωρ [49] δοῦλος ἦν, καὶ ἐνταῦθα πρὸς πατρός σοι φίλους· τρίτον ἐστὶ τοῦτο, διὸ τῶν ἄλλων κατεφρόνησεν. Οἴ, εἴ τι δέοι, ὑπηρετεῖεν ἂν σοι. Κἀνταῦθα ἄλλος ἔλεγχος· οὐδὲν γὰρ ἧττον ἡμεῖς τοῖς φίλοις ὑπηρετήσομεν, ἤπερ ἡμῖν ἐκεῖνοι, εἴγε φιλότας, ἰσότας, κατὰ τοὺς Πυθαγορίους· καὶ φίλος ἄλλος ἐγὼ, κατὰ Ἀριστοτέλην [50]. Ξυμπάντων δὲ, ὧν εἶπον, μείζω οἴει σοι δύναμιν. Ἰδοὺ κἀνταῦθα ἀκολούθως τοῖς ῥηθεῖσιν οἰκείαν πάλιν τῷ νέῳ τέθεικε λέξιν, εἰπών· οἴει σοι δύναμιν, ἥτις στρατηγικοῖς ἁρμόδιος· τούτων δὲ ὁ νέος ἐφίεται γενέσθαι. Πολλάκις δὲ εἰρήκαμεν, ὅτι ὁ Σωκράτης διὰ τῶν ὁμοίων πειρᾶται μετάγειν ἐπὶ τὰ δέοντα τοὺς προςδιαλεγομένους, διὰ γὰρ τούτου μόνον οὐ βοᾷ· μάθε, τίς ἡ ὄντως δύναμις; ὅτι ἡ ἐπιστήμη· ὡς γὰρ ἐν Θεαιτήτῳ φησὶν [51] ἐπιστήμης δ' ἐνούσης ἐν ψυχῇ δυνατώτερον οὐδέν· μόνη γὰρ αὕτη καὶ ἡ εὐζωΐα οὔτε ἁλίσκεται ὑπὸ τυράννων οὔτε ἀφαιρεῖται. Προσθήσω δὲ, ὅτι καὶ τῶν πλουσίων. Ταύτην δευτέραν αἰτίαν φησὶν ὁ Σωκράτης τοῦ ἐρᾶν Ἀλκιβιάδου, μετὰ τὴν πρώτην, ἥτις εἰς δ' διῄρετο· αὕτη δέ ἐστιν, ὅτι καὶ πλούτῳ μέγας ὁ Ἀλκιβιάδης, καὶ πολλῶν πλουσίων μείζων· Ἀναιρεῖ δὲ αὐτὴν εὐθέως διὰ τῆς ἐξῆς [52] λέγων· δοκεῖς δέ μοι ἥκιστα ἐπὶ τούτῳ μέγα

Vid. Suid. III. 653 v. *φρόνημα* et ita usurpatur Plutarcho, qui fertur, de pueror. educat. p. 5. E. p. 17 Wytt.: *τὸ δὲ ὅλον, εἴ τις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων.* Qui locus, etsi suspicione non caruit ap. Stephanum in Thesaur. gr. l. IV. p. 210: tamen nullus codicum illud *μέγα* offert, ac proinde recte eundem intactum reliquit Wyttenbachius. In Philostrati Heroicis p. 697. p. 110 tres codd. exhibent: *καὶ ἐπ' αὐτῷ φρονήσας*: editiones et Eudocia *μεγαλοφρονήσας*. Male. Vid. ibidem annotationem doctissimi Boissonadii p. 484, qui idoneis exemplis appositis hunc usum Philostrato vindicavit.

(49) Scr. *ὁ προπ.*. (50) Scrib. ut supra *Πυθαγορείους*. Qui huc pertinent loci, eos paulo superius laudavimus.

(51) Eloquitur primarium ejus dialogi consilium his verbis Olympiodorus.

(52) Fortasse *τὰ ἑξῆς*. Neque enim commode referas ad supeius *αἰτίαν*, nisi elliptice accipere malueris *διὰ τῆς ἑξῆς* sc. *ῥήσεως*. Nam absoluti usus exempla desidero. Vid. tamen Lamb. Bos. Ellips. gr. p. 441. sub fin. p. 716 lin. 17 sqq. ed. Schaef.

φρονεῖν· οὐδαμῶς γὰρ φησὶ διὰ πλοῦτον μέγα φρονεῖς, οὐ σεμνύνῃ γάρ, φησὶν, ἐπὶ τούτῳ, ἅτε μὴ ὢν φιλοχρήματος. — Κεκράτηκας τῶν ἐραστῶν. Κἂν τούτοις πάλιν ὁ Σωκράτης πελάζει τῇ τῶν ὀνομάτων οἰκειότητι τὸν νέον πρὸς τὸ ἀνέχεσθαι αὐτοῦ· φησὶ γὰρ κεκράτηκας, καὶ αὖθις ὑποδεέστεροι ὄντες ἐκρατέθησαν [53]. Ταῦτα δὲ πάντα [54] ὁ Ἀλκιβιάδης ἠσπάζετο. — Καί σε ταῦτα οὐ λέληθεν· Διὰ τούτων ἐπιστρέφει τὸν Ἀλκιβιάδην ὁ Σωκράτης πρὸς ἑαυτὸν καὶ πρὸς τὸ ἑαυτὸν γνῶναι, πρόσφορα ποιῶν τῷ τοῦ διαλόγου σκοπῷ. Ἄλλως τε [55] καθάπερ τὸ γνῶναι ἑαυτὸν ἀποκαταστατικόν ἐστιν, οὕτω καὶ ὁ λόγος διὰ τοῦ παρόντος ῥησιδίου καὶ τοῦ ἑξῆς ἀποκαταστατικός ἐστιν. Ἐν μὲν γὰρ τῇ ἀρχῇ ἔφη· ὅτι οἶμαί σε θαυμάζειν καὶ νῦν δὲ τοῦτο φησὶν, ὅτι οὐ λέληθέ σε. Εἶτα συναγωγὴ τῶν Σωκράτους διὰ τοῦ· ὅθεν δ' εὖ οἶδα ὅτι θαυμάζεις [56]· καὶ ἄξιον θαυμάζειν [57], πῶς ἐν ἀρχῇ μὲν πρὸ τῶν ἀποδείξεων ἐνδοιαστικῶς τέθεικε το θαυμάζεις, τὸ οἶμαι προςθείς· νῦν δὲ μετὰ τὰς ἀποδείξεις ἀποφαντικῶς εἶπε τὸ εὖ οἶδα· πρόςφορα ταῦτα γὰρ ἀμφοτέροις ἐχρήσατο.

## Πρᾶξις σὺν θεῷ ε.

Καὶ ἴσως γε, ὦ Σώκρατες, οὐκ οἶσθ' ὅτι σμικρόν με ἔφθης. Ἐπειδὴ τοὺς Σωκράτους λόγους μεμαθή-

(53) Scr. ἐκρατήθησαν. (54) Articulus additus est a correctore.

(55) Sicut *καὶ* ante *καθάπερ* facile excidere potuit: ita ego interponere nolim, praesertim cum commode h. l. intelligas: *adde quod* vel *praetereaque*, quam vim in *ἄλλως τε* inesse docuit Herm. ad Viger. p. 780 sqq. [cf. infra p. 41.] Proxime tenenda vox rarissima *ἀποκαταστατικός*, hoc certe usu neque Lexicographis notata. *Ἀποκαταστατικὰς περιόδους ἀστέρων καὶ σφαιρῶν* usurpat Synesius de providentia p. 127. C. D; de quo usu vocis *ἀποκατάστασις* vid. Fischeri ind. in Aeschin. Socrat. in voc. Alios substantivi usus explicant Valken. in Scholl. ad N. T. Tom. I. p. 305 et Matthaei ad Io. Chrysost. Homil. IV. not. 128 p. 120 sq. Apud Olympiodorum h. l. *ἀποκαταστικὸς λόγος* est *restitutrix oratio* sive ea oratio, quae in pristinam germanamque conditionem restituere potest. Basilidiani apud Clemènt. Alexandr. Strom. II. 8. p. 162. p. 448 Potter. mentionem faciunt cum aliorum sapientiae generum tum vero etiam *σοφίας ἀποκαταστατικῆς* *sapientiae restituentis*.

(56) In dialogo est: *ὅθεν δὴ εὖ οἶδα ὅτι θαυμάζεις*.

(57) Suprascr. *αι.* vult *θαυμάσαι*.

καμεν, φέρε καὶ τὰς Ἀλκιβιάδου φωνὰς ἐξετάσωμεν. Καλῶς δὲ τῷ μὲν Σωκράτῃ λόγους ἀπεδώκαμεν, τῷ δὲ Ἀλκιβιάδῃ τὰς φωνάς. Οἱ μὲν γὰρ λόγοι ἀνθρώποις πρέπουσιν, αἱ δὲ φωναὶ ἀλόγοις· ἐπειδὴ ων [1] λογοειδέστερος ὁ Σωκράτης, ὁ δὲ Ἀλκιβιάδης ἀλογώτερος· οὕτω ταῖς λέξεσιν ἐχρησάμεθα· δύο δέ τινα ἐν τοῖς Σωκράτους [2] λόγοις μεμαθήκαμεν· πρῶτον μὲν, ὅτι ἐρᾷ ὁ Σωκράτης Ἀλκιβιάδου· δεύτερον δὲ, ὅτι θεοειδῶς ἐρᾷ, σιωπῇ παραομαρτῶν [3] αὐτῷ· καὶ ὅτι ἀρχαϊκῷ τρόπῳ τοῦ β' πρῶτον εἶπε τὴν αἰτίαν δαιμόνιον ἢ θεῖον ὑπάρχειν ἐναντίωμα, τοῦ δὲ πρώτου τελευταῖον δύο ἐπήγαγεν αἰτίας. Μίαν μὲν, ὅτι ὑπερφρονεῖ τῶν ἄλλων ἐραστῶν, ὁ διὰ δ' τινὰ εἶπεν αὐτὸν ποιεῖν· κάλλος, εὐγένειαν, φίλους, ἐπίτροπον Περικλέα. Δευτέραν δὲ, ὅτι ἀνάλωτός ἐστι τῷ φιλοχρημάτων πάθει. Τὸ γὰρ φιλοχρήματον, εἰ καὶ κρεῖτόν ἐστι τοῦ φιληδόνου (ἔσχατον γάρ ἐστι τοῦτο πάθος. φημὶ δὲ τὸ φιλήδονον), ἀλλ' οὖν χεῖρον τοῦ φιλοτίμου. Ὁ γὰρ φιλότιμος τὰ αὐτὰ ποιεῖ, ἅπερ καὶ ὁ σπουδαῖος· ἀλλ' ὁ μὲν φιλότιμος διὰ τιμὴν, ὁ δὲ σπουδαῖος διὰ τὸ ἀγαθόν· Ὥςπερ καὶ ὁ ἐμπειρικὸς ἰατρὸς τοσαῦτα ποιεῖ ὅσα καὶ ὁ λογικός· εἰ καὶ ὁ μὲν μετὰ λόγου, ὁ δὲ ἀναλόγου [4] καὶ αἰτίας. Ἐπειδὴ τοίνυν ἐν τούτοις τοὺς Σωκράτους λόγους, ὡς εἴρηται, μεμαθήκαμεν, πολυπραγμονήσομεν λοιπὸν καὶ τὰς Ἀλκιβιάδου φωνάς. Αὗται μὲν οὖν τέσσαρά τινα τοῦ Σωκράτους θαυμάζουσι· τὴν ἀκαιρίαν [5] τῶν λόγων αὐτοῦ, τὴν οὐσίαν αὐτοῦ, τὴν δύναμιν, τὴν ἐνέργειαν, καὶ τὴν εὐκαιρίαν τῶν λόγων. Ἐν οἷς φησί· σμικρόν με ἔφθης· ὡς εἰ ἔλεγεν· εἰ μὴ ὀλίγον με προέλαβες, ἐγώ σε πρῶτος εἶχον ἐρωτῆσαι, τί δέ ποτέ μοι τοσοῦτον χρόνον ἀκολουθεῖς; εἰ μὴ γὰρ τὸ δαιμόνιον καὶ τὸ θεῖον ἔδει προη-

(1) Haec syllaba, absque accentu et spiritu scripta, tollenda videtur; nisi forte Olympiodorus scripsit ὡς, ut referretur ad οὕτω.

(2) In margine Σωκρατικοῖς. (3) Scrib. παρομαρτῶν. Mox pro ὁ διὰ scr. ὃ διὰ.

(4) Suprascr. recte ἄνευ λόγου.

(5) Suprascr. εὐκ. Necessariam hanc mutationem arguunt sequentia. Proinde post ἐνέργειαν ponenda distinctio major, quandoquidem in verbis: Καὶ τὴν εὐκαιρίαν jam ipsa incipit enumeratio laudum Socraticae orationis.

γεῖσθαι τοῦ ἀνθρώπου· τοῦτο δέ ἐστι τὸ προτραπῆναι τὸν Σωκράτην προςελθεῖν καὶ διαλεχθῆναι τῷ Ἀλκιβιάδῃ διὰ τοῦ μὴ ἀποτραπῆναι. Καὶ εἰ μὴ τὸ ἐνεργείᾳ πρῶτον ἦν τῇ δυνάμει, τῷ ἀξιώματι μέντοι· ἐνεργείᾳ δέ ἐστιν ὁ Σωκράτης· δυνάμει δὲ ὁ Ἀλκιβιάδης· εἰ μὴ ταῦτα, φησὶν, ἦν, οὐδὲ τὸ μικρὸν προελάμβανε τὸν Ἀλκιβιάδην. Θαυμάζει οὖν τὴν εὐκαιρίαν διὰ τούτων· μέγιστα δὲ δύναται ἡ εὐκαιρία. Ψυχαὶ γὰρ τῶν θεραπειῶν οἱ καιροί· καὶ ὡς Ἀριστοτέλης φησί· καιρός ἐστι χρόνος προςλαβὼν τὸ δέον [6]· καὶ χρόνος προςλαβὼν τὸ εὖ· καὶ ὅτι, καθάπερ ἑκάστῳ σώματι τόπον οἰκεῖον ὥρισεν ἡ φύσις, οὕτω καὶ ἑκάστῃ πράξει χρόνον, ὃς λέγεται καιρός· Ἔτι δὲ καὶ ὅτι δεῖ τὸ τελειωσόμενον οὕτως ἔχειν ἐπιτηδειότητος πρὸς τὸ τελειοῦν, ὡς παρόντος αὐτοῦ, εἰ καὶ μὴ πάρεστι· καὶ τὸ ἀνάπαλιν, οὕτως ἔχειν τὸ τελειοῦν πρὸς τὸ τελειωσόμενον, ὡς παρόντος αὐτοῦ, εἰ καὶ μὴ πάρεστι. Τοῦτο δὲ ἐπιτηδειότητός ἐστιν, οὐ καιροῦ, τουτέστιν εὐκαιρίας· Δεύτερον τὴν οὐσίαν αὐτοῦ θαυμάζει λέγων· τί βούλει; τὸ γὰρ βουλητὸν, ἀγαθόν· διὰ τούτου οὖν τὸ ἀγαθὸν τῆς οὐσίας αὐτοῦ τεθαύμακεν. Πάντες γὰρ τὰ ἀγαθὰ βουλόμεθα, εἰ δὲ καὶ τὰ κακὰ πράττομεν, ὡς [7] οὐχ ὡς βουλόμενοι, ἀλλ' ὡς δοκοῦντα ἡμῖν, ὡς φησὶν ἐν τῷ Γοργίᾳ [8]. Ἔνθα καὶ τὴν διαφορὰν βουλητῶν καὶ δοκούντων γνωσόμεθα σὺν θεῷ. Ἐπέξης [9] δὲ καὶ ἐπὶ λέξεως καλεῖ αὐτὸν ἀγαθόν. Τρίτον τὴν δύναμιν

(6) Procli commentarium ante oculos habet Olympiodorus. Vid. cap. 42 init. p. 120, ubi in annotatione indicavi Hippocrateos locos, quos uterque attigit. Aristoteles item *καιροῦ* saepius mentionem injicit; v. c. Ethic. Eudem. I. p. 86 Sylb. ut omittam Politicorum libros, in quibus *καιρῶν* frequens mentio. Olympiodorus autem respicit haec verba philosophi in Analyt. prior. I. 35 p. 142 Sylb.: *ὁμοίως δὲ κἂν τοῖς ἄλλοις, ἐν ὅσοις ἀναιρεῖται τὸ πρόβλημα, τῷ λέγεσθαί πως πρὸς αὐτὸ, τὸ γένος· πάλιν, ὅτι ὁ καιρὸς οὐκ ἔστι χρόνος δέων· θεῷ γὰρ καιρὸς μέν ἐστι· χρόνος δ' οὐκ ἔστι δέων, διὰ τὸ μηδὲν εἶναι θεῷ ὠφέλιμον· ὅρους μὲν γὰρ θετέον, καιρὸν, καὶ χρόνον δέοντα, καὶ θεόν. τὴν δὲ πρότασιν ληπτέον, καὶ τὴν τοῦ ὀνόματος πτῶσιν κτλ.* Nolo plura describere ex hoc loco de syllogismis; ex iis enim quae excerpsimus unicuique patet, vulgo ita definitum esse *τὸν καιρὸν*, ut diceretur *χρόνος δέων*, *tempus opportunum.*

(7) Prius illud *ὡς* delendum videtur. [Interest comparari Paul. Apost. Ep. ad Rom. VII, 19—25.] (8) Locus est in Plat. Gorg. p. 467. d. Bip. T. IV. — Bekk. II, 1. p. 43. (9) Scr. *ἐφεξῆς*.

θαυμάζει λέγων· ἐπιμελέστατα παρὼν, ὅπου ἂν ὦ. Τοῦτο δὲ δυνάμεώς ἐστιν ἀγρύπνου καὶ ἀτρύτου· ὅθεν καὶ Ἀτρυτώνη ἡ Ἀθηνᾶ [10]. Σημεῖον οὖν μεγίστης δυνάμεως τὸ πανταχοῦ ἀεὶ παρεῖναι. Τὴν δὲ ἐνέργειαν αὐτοῦ τέταρτον θαυμάζει, διὰ τοῦ ἐνοχλεῖς μοι [11]· τοῦτο δὲ ἀνεμποδίστου καὶ ἀπαύστου ἐνεργείας ἐστὶν, λέγω τὸ οὕτως ἐνοχλεῖν. Οὐ γὰρ ὅμοιον τὸ νῦν ἐνοχλεῖς τῷ ἄνω εἰρημένῳ δι' ὄχλου. Ἐκεῖ μὲν γὰρ ἐπὶ τῶν φορτικῶν ἐραστῶν εἰπὼν τὸ δι' ὄχλου, εἴ τινες ἁπτικῶς [12] εἰς αὐτὸν ἠβούλοντο ἐνεργεῖν. Νῦν δὲ τὸ ἐνοχλεῖς ἀντὶ τοῦ ἀπορεῖν με ποιεῖς εἴρηται· ἐκ μεταφορᾶς τῶν ἐν ὄχλῳ βαδιζόντων καὶ ἀπορούντων προβαίνειν, καὶ ὁιωνει [13] δεσμωτῶν ὄντων. Δεσμὸς γάρ τις τῆς ψυχῆς ἡ ἀπορία, διὸ καὶ ἡ ταύτης ἴασις, ὥςπερ καὶ ἡ τοῦ δεσμοῦ, ἐπίλυσις λέγεται. Φησὶ δὲ καὶ ἐν τῷ περὶ Ἑρμηνείας ὁ Ἀριστοτέλης· καὶ τοσαῦτα μὲν λέγεται πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις [14]· ἀντὶ τοῦ ἀπορίας, ἐκ μεταφορᾶς τοῦ ὄχλου, καὶ αὐτὸς ὄχλησιν εἶπε τὴν ἀπορίαν· ἐνοχλεῖς οὖν, ἀπορεῖν ποιεῖς.

Ταῦτα μὲν ὁ Ἀλκιβιάδης. Ἐπὶ τούτοις δὲ ὁ Σωκράτης τὸν κορυφαῖον μιμούμενος φιλόσοφον ἐλαχίστων λόγων δεόμενον, διὰ τὸ ἐξ ἀνυποθέτων ποιεῖσθαι τὰς ἀρχάς· ἀπὸ γὰρ τῶν κοινῶν ἐννοιῶν αἵτινες ὡμολόγηνται. Αἱ γὰρ ἄλλαι τέχναι, ὡς ἐξ ὑποθέσεως ἔχουσαι τὰς ἀρχὰς, πολλῶν δέονται κατασκευῶν· οἷον ἡ ἰατρικὴ ἐξ ὑποθέσεως ἄρχεται, ὅτι ἐκ τῶν δ' στοιχείων τὰ ἀνθρώπινα σώματα. Τοῦτο δὲ πρῶτον μὲν, ὅτι δ', εἶτα ὅτι ἐκ τούτων εἰσὶ τὰ σώματα ἡμῶν, τοῦ πρώτου φιλοσόφου

(10) V. c. Iliad. β,157. cf. Hesych. v. ἀτρυτώνη, cf. Apollonii Lex. Homer. p. 174 Toll. Nicet. epith. Deorr. p. 23 (in Meletemm. nostr.) Cornut. de Nat. Deor. c. XX. p. 186. ed. Gale. et Eudoc. Violar. p. 5.

(11) In Dialogo est ἐνοχλεῖς με.

(12) Accedat Lexicis hoc adverbium. (13) Scr. οἱονεί.

(14) Etiam h. l. Procli vestigia legit Olympiodorus. Vid. illum in Alcib. I. cap. 102; ubi consule annot. Ceterum quod Aristotel. de Interpr. I, 6. extr. scripsit: καὶ ὅσα ἄλλα τῶν τοιούτων προςδιοριζόμεθα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις, argumento est, Olympiodorum memoriter duntaxat laudasse verba philosophi.

ἐστὶ δεῖξαι [15] μιμούμενος οὖν ὁ Σωκράτης τὸν κορυφαῖον φιλόσοφον, ὡς εἴρηται, τὸν [16] ἐξ ἀνυποθέτων ποιούμενον [17] τὰς ἀρχὰς, ὀλίγα αἰτεῖ παρὰ τοῦ Ἀλκιβιάδου, καὶ ταῦτα εὐτελῆ. Πρῶτον μὲν ἀκροάσασθαι τῶν αὐτοῦ ῥημάτων· ἔπειτα ἀποκρίνασθαι πρὸς τὰ ἐρωτώμενα· εἶτα, κατανεύσαντος τοῦ νέου ποιήσειν ταῦτα, φησὶν ὁ Σωκράτης· ὅτι ἐὰν οὕτω ποιεῖς [18], δύναμαί σοι δύναμιν περιποιῆσαι, ἣν οἱ ἄλλοι ἐρασταὶ οὐκ ἐδυνήθησαν. Μετὰ ταῦτα δὲ δέον ἐπαγαγεῖν τὴν γ' αἰτίαν, δι' ἣν αὐτοῦ ἐρᾷ, ὡς ἐρωτικὸς ἐκκάει [19] τὸν ἔρωτα· καὶ ἀναβάλλεται πρὸς τοῦτο, ἵνα πλέον ἔχοι [20] τὸν νέον προςέχοντα τοῖς παρ' αὐτοῦ. Στοιχεῖα δὲ καὶ τεκμήρια ἐνθέου ἐραστοῦ λέγει δύο ταῦτα· ὅτι δεῖ τὸν ἔνθεον ἐραστὴν καὶ κρίσιν ἔχειν καὶ συμπάθειαν· εἰ γὰρ θ' ἄτερον [21] τούτων μὴ ἔχοι, οὐκ ἔσται τοιοῦτος. Εἴτε γὰρ κρίσιν ἔχοι, συμπάθειαν δὲ οὒ, ἐπιστήμων ἔσται καὶ οὐ σπουδαῖος ἐραστής. Εἴτε τὸ ἀνάπαλιν συμπάθειαν μὲν ἔχοι, κρίσιν δὲ οὒ, φορτικός ἐστι μόνον ἐραστής· ὥστε δεῖ ἄμφω παρεῖναι. Ποῦ δὲ ταῦτα παραδίδωσιν; ἐν οἷς φησὶν· ὅτι μὴ θαυμάσῃς, εἰ, καθάπερ μόγις ἠρξάμην, οὕτω καὶ μόγις παύσομαι. Τὸ μὲν γὰρ μόγις ἠρξάμην [22] σημεῖον κρίσεως· ᾔδει γὰρ τὸν Ἀλκιβιάδην ἀνεπιτήδειον ὄντα. Τὸ δὲ μόγις παύσασθαι συμπαθείας ἐστὶ καὶ ἐπὶ πλέον ἐφιεμένου τῶν παιδικῶν. Ἄλλως τε [23] δι' αὐτὸν μὲν τὸν Ἀλκιβιάδην μόγις ἤρξατο· ἐπειδὴ, ὡς εἴρηται, ἀνεπιτήδειος ἦν, δι' ἑαυτὸν δὲ ὁ Σωκράτης μόγις παύσεται. Ἐπεὶ γὰρ ὠφέλεια [24] τῶν νέων ὁ Σωκράτης ὢν, καὶ τοῦ εὐεργετεῖν ἀεὶ ὀρεγόμενος, οὐ παύσεται, πρὶν τελειῶσαι τὰ παιδικά· φησὶ δὲ τὸ χαλεπὸν τέθηκεν [25]· καὶ οὔτε

(15) Omnia quae inde ab *Αἰ γὰρ* usque ad *μιμούμενος* leguntur, in parenthesi includenda esse tironum gratiâ monitum volo.
(16) Sic ex corr. antea erat *τοῦ*.
(17) Sic ex corr. pro *ποιουμένου*. (18) Suprasc. *ποιῇς*.
(19) Ita est ex correctione; fuit enim *ἐκκαλεῖ*, et sequitur deinceps *ἐκκαύσας* eodem sensu accipiendum.
(20) Scr. *ἔχῃ*. [Nisi in posterioris aetatis scriptore talia non esse corrigenda censeas.] (21) Scrib. *θάτερον*. (22) In marg. *ἄρξασθαι*.
(23) *Praetereaque* Vid. supr. annot. 55 p. 37.
(24) Legendum *Ἐπὶ γὰρ ὠφελείᾳ*?
(25) Abundare videtur vox *τέθηκεν*. Sed tamen illud singulare etiam cod. Venetum huic loco Platonis (p. 104 e. p. 301. Bekker.)

εὔκολον εἶπεν οὔτε ἀδύνατον· εὔκολον μὲν γὰρ οὐκ ἦν, ἐπειδὴ δέος ἦν, μὴ, καθάπερ τοὺς ἄλλους ἐραστὰς ὑπερφρονεῖ, τὸν αὐτὸν τρόπον καὶ τὸν Σωκράτην ἀποτροφήσεται [26]. Οὐκ ἀδύνατον δὲ διὰ τὴν αὐτὴν αἰτίαν, ἐπειδὴ γὰρ τῶν ἄλλων κατεφρόνησεν, οὐκ ἀδύνατον ἦν τῷ Σωκράτει προςελθεῖν· ἀδύνατον γὰρ ἦν Σωκράτους ἀκοῦσαι, μὴ τῶν ἄλλων καταφρονήσαντα. Ταῦτα εἰπὼν, καὶ μέχρι τούτων ἐκκαύσας τὸν ἔρωτα, ἀποκαλύπτει τὴν τρίτην αἰτίαν, καὶ φησίν· ὅτι διὰ τὸ καταφρονεῖν τῶν ὑπαρχόντων σοι ἐρῶ σου, καὶ τοσοῦτον χρόνον οὐκ ἀπαλλάττομαι· οὐ γὰρ ἀληθῶς τούτων τῶν φαινομένων ἐπιθυμεῖς. Καὶ πάντες δὲ ἄνθρωποι οὐκ αὐτῶν τῶν παθῶν ὀρέγονται· οἷον ὁ φιλότιμος, ὁ φιλοχρήματος καὶ φιλόπλουτος, ὁ φιλήδονος· ἀλλ' ὁ μὲν φιλήδονος τῆς θείας ῥᾳστώνης. περὶ ἧς εἴρηται τὸ θεοὶ ῥεῖα ζώοντες [27] ἐφίεται, καὶ ταύτῃ ἔννοιαν ἔχει· μὴ δυνάμενος δὲ τυχεῖν περὶ τὸ εἴδωλον καὶ τὴν ἀπόπτωσιν ἐκείνης σκιομαχεῖ [28]. Καὶ ὁ φιλοχρήματος τοῦ τελείου καὶ τῆς αὐταρκείας ἐφίεται, αὐταρκεὶ γὰρ καὶ τέλειον τὸ θεῖον· τούτου οὖν ἐπιθυμεῖ· μὴ δυνάμενος δὲ τυχεῖν, ἐπεκτείνει τὸ φιλοχρήματον. Πάλιν δὲ ὁ φιλότιμος τοῦ ἱκανοῦ καὶ μεταδοτικοῦ τοῦ θεοῦ ἐφίεται, εἰ καὶ μὴ δύναται τυχεῖν. Οὐ ταὐτὸν δὲ τέλειον καὶ ἱκανόν· τέλειον μὲν γάρ ἐστι τὸ μὴ δεό-

unam vocem addere. Dat enim: χαλεπὸν μὲν οὖν τι λέγω πρὸς ἄνδρα κτλ. vid. Astii annot. p. 301.

(26) Vocabulum ἀποτροφεῖσθαι nihili videtur legendumque ἀποτροπήσηται (est apud Phocylidem ab eodem verbo v. 125. ἀποτροπάασθαι). Conjunctivum enim praestare existimo, secundum ea quae disputavit Hoogeveen. de Particul. p. 370 sq. ed. Schütz. alter. cf. Matth. Gr. gr. §. 519 not. 1. p. 736. In alia omnia abit Heindf. ad Platon. Euthydem. p. 288 b. p. 35; ubi tamen Bekkerus (p. 425) illa: Καὶ ἐγὼ φωβηθεὶς μὴ λοιδορία γένηται intactum reliquit.

(27) Vid. Iliad. ζ. 138.

(28) Supra p. 32 et infra p. 47 σκιαμαχεῖν legitur, quam formam antiquiores scriptores constantius tenuisse videntur; non aeque recentiores. Vid. Boisson. ad Phil. Heroic. p. 661 et Lobeck. ad Phrynich. p. 645 sq. Sic ut hoc unum adjiciam Theodoretus Vol. III. p. 1244: σκιαγραφήσας et IV. 179 σκιαγραφεῖ nec aliter V. 128; sed item tamen II. 753 σκιογραφῶν et I. 1424 σκιογραφοῦντες. Proverbialem locutionem σκιαμαχεῖν explicat doctum scholion ad Philostrati Heroic. p. 393 ed. Boisson. cf. Astium ad Platon. de Legg. VIII. 2. p. 397. Valckenarii Scholas ad N. T. Tom. II. p. 253. Adde locum Dionysii qui Areopagita vulgo fertur, de divinn. nomin. cap. 8 §. 6. ubi item recentior forma σκιομαχεῖν usurpatur.

μενον ἑτέρου μόνον· ἱκανὸν δὲ τὸ μὴ μόνον οὐ δεόμενον, ἀλλὰ καὶ ἑτέρας [29] μεταδιδόναι δυνάμενον. Τοιοῦτος δὲ ὁ φιλότιμος σπουδάζει φαίνεσθαι. Ὅτι δὲ καταφρονεῖ τῶν ὑπαρχόντων ἑαυτοῦ ὁ Ἀλκιβιάδης, κατασκευάζει ὁ Σωκράτης τὸν τρόπον τοῦτον. Εἰςάγει γὰρ θεὸν ἐρωτῶντα αὐτόν· πότερον βούλει, ὦ Ἀλκιβιάδη, διαπεσεῖν τῆς μεγαλουργοῦ ζωῆς, καὶ ἐφ' οἷς εἶ, μεῖναι, ἢ τεθνάναι; εἶτα ἑαυτον ὑπὲρ ἐκείνου ἀποκρινόμενον, ὅτι τεθνάναι μᾶλλον· Ἐπὶ τούτοις δὲ ἀνατέμνει τὴν Ἀλκιβιάδου ζωὴν ἅπασαν, καὶ φησὶν, ὅτι ἐλπίζεις ἐκτὸς [30] ὀλίγων ἡμερῶν παρελθεῖν ἐπὶ τὸν δῆμον καὶ συμβουλεύσειν Ἀθηναίοις; Οὗτος δὲ ἦν ὁ μέχρι τῆς ἐφηβείας καιρός· μετὰ δὲ κ' ἡμέρας [31], ὡς ἱστορεῖ ὁ Πρόκλος, ἔμελλεν ἐγγράφεσθαι εἰς ἐφήβους. Νόμος δὲ ἦν, πρὶν ἐγγράφεσθαι εἰς τούτους, μὴ συμβουλεύειν τινὰ Ἀθήνησιν. Μέλλεις οὖν, φησὶ, συμβουλεύειν κἀκ τούτου [32] εὐδοκιμήσειν, εἶτα τιμηθήσεσθαι ἐν τῇ πόλει; καὶ μὴ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν τῇ Ἀττικῇ καὶ ἐν τῇ Ἑλλάδι, εἶτα ἐν τοῖς Ἕλλησιν καὶ ἐν πάσῃ τῇ Εὐρώπῃ; οὐ μόνον δὲ ἐνταῦθα, ἀλλὰ καὶ ἐν τῇ Ἀσίᾳ καὶ ἐν πάσῃ τῇ γῇ; καὶ μηδένα ἄνθρωπον λόγον ἑτέρου ποιεῖσθαι καὶ θαυμάζειν πλέον σοῦ πλὴν Κύρου καὶ Ξέρξου [33];

Καὶ ταῦτα μὲν ὁ Σωκράτης. Φέρε δὲ [34] ἡμεῖς ἐρευτήσωμεν τὰς ἐρωτήσεις τοῦ θεοῦ, τὰς ἀποκρίσεις τοῦ φιλοσόφου πρὸς τὸν θεὸν ὑπὲρ τοῦ Ἀλκιβιάδου, τίνα ἔστιν ἑλεῖν δόγματα ἐκ τῶν τοῦ θεοῦ ἐρωτήσεων κἀκ τῶν τοῦ φιλοσόφου ἀποκρίσεων· Πρὸ πάντων δὲ τὴν αἰτίαν εἴπωμεν, δι' ἣν θεὸν πεποίηκεν ἐρωτῶντα τὸν Ἀλκιβιάδην, καὶ ἑαυτὸν ὑπὲρ ἐκείνου ἀποκρινόμενον. Θεὸν μὲν οὖν ἐπερωτῶντα πεποίηκε διὰ τρεῖς αἰτίας· ἢ ἵνα μὴ ἀργήσηται [35] ὁ νέος τοὺς οἰκείους λόγους. Πεπείσμεθα γὰρ πάντες καὶ τὴν τυχοῦσαν ἡμῶν κίνησιν εἰδέναι τὸ θεῖον, εἴγε καλῶς εἴρηται, πάντα θεοῦ πλήρη, πάντα δὲ νοιων εἰσὶν ἀκουαὶ, καὶ διὰ πετράων καὶ

(29) Supr. ἑτέροις. (30) Supr. ἐντὸς et ita legendum.
(31) In margine adscriptum est εἰκοστὸν ἔτος. Ad rem v. Schol. in Plat. p. 69. Ruhnk. (32) Sic ex corr.
(33) Haec omnia ex dialogo nostro depromta, mutatis verbis, ex p. 105. Bekk. p. 302.
(34) Scr. vid. δή. (35) Scrib. vid. ἀρνήσηται.

ἀνὰ χθόνα, καί τε δι' αὐτοῦ ἀνήρος ὅ,ττι κέκευθεν ἐνὶ στήθεσσι νόημα [36]. Δευτέρα αἰτία, ὅτι ζήλῳ τραγικῷ τοῦτο πεποίηκεν ὁ Σωκράτης· ζηλωτὴς γὰρ τούτων ἐστίν· ὥςπερ οὖν ἐκεῖνοι πολλάκις ἀπὸ μηχανῆς εἰςάγουσι θεὸν [37] ἐπὶ λύσει τῶν συμφορῶν, καθάπερ ἐν τῇ Ἀλκεστίδι τὸν Ἀπόλλω πεποίηκεν ἐν τῇ Ἀδμήτου οἰκίᾳ [38]: οὕτω κἀνταῦθα ὁ Σωκράτης θεὸν εἰςήγαγεν. Κατὰ τρίτην αἰτίαν, ὅτι ἐρωτικὸς ὢν ὁ Σωκράτης, καὶ κατὰ μὲν τὴν συμπάθειαν ἑνῶσαι ἑαυτὸν βούλεται τοῖς παιδικοῖς· καὶ τὸ θεῖον δὲ ἑνάς ἐστιν ὑπερούσιος· κατὰ δὲ τὴν κρίσιν τελειῶσαι βούλεται τὰ παιδικά· τελειωτικὸν δὲ καὶ τὸ θεῖον. Ἑαυτὸν δὲ ἐποίησεν ἀποκρινόμενον ὑπὲρ τοῦ Ἀλκιβιάδου, ἐπειδὴ πολὺ ἦν τὸ μέσον θεοῦ καὶ Ἀλκιβιάδου· καὶ ἔμελλε κενὸν εἶναι τὸ μέσον, εἰ μὴ οὕτως ἔταξεν ὁ Σωκράτης.

Ἴδωμεν δὲ λοιπόν, τίνα δόγματα ἀνακύπτει ἐκ τῶν ἐρωτήσεων τοῦ θεοῦ; προείρηνται γὰρ αἱ ἐρωτήσεις αὗται καὶ αἱ ἀποκρίσεις· ἐκ μὲν οὖν τῶν ἐρωτήσεων ἀνακύπτει, ὅτι καθ'

(36) In primo versu Moserus legendum suspicatur: πανθ' οἴων, in tertio ἄνερος. — Ceterum hic idem versiculus ad Homericorum modum effictum est. Vid. v. c. Odyss. γ. vs. 18 εἴδομεν, ἥντινα μῆτιν ἐνὶ στήθεσσι κέκευθεν. Dubitari autem nequit, quin hoc fragmentum ad Sibyllina oracula pertineat. Sic, ut hoc utar, illa libr. VIII. p. 737 ed. Gal. ita habent:

*Πάντα νοῶν καὶ πάντα βλέπων καὶ παντὸς ἀκούων* (*καὶ πάντ' ἐπακούων* edit. Mediol. Maji ad Calc. Sibyllae libr. XIV. p. 50.)
*Σπλάγχνα κατοπτεύσει καὶ γυμνώσει πρὸς ἔλεγχον.*
*Αὐτὸς γὰρ πάντων ἀκοή, καὶ νοῦς καὶ ὅρασις.*

Cf. etiam p. 749. ed. Gal. p. 53 vs. 126 sq. ed. Maji. Ad sententiam, quatenus Deus omnia pervadere dici queat, compara Origenem contra Celsum V. 7. p. 582 Ruaei et Aristobulum apud Eusebium in Praepar. evang. VIII. 10. p. 376 sq. ed. Colon. — Verum etiam in Orphicis quae feruntur similia reperias. V. c. in Fragm. VI. p. 457 sq. ubi vs. 20:

*πάντα γὰρ ἐν Ζηνὸς μεγάλῳ τάδε σώματι κεῖται*

et vs. 26 sq.:

*νοῦς δέ οἱ ἀψευδής, βασιλήϊος ἄφθιτος αἰθήρ·*
*ᾧ δὴ πάντα κλύει καὶ φράζεται, οὐδέ τίς ἐστιν*
*αὐδὴ οὔτ' ἐνοπή, οὔτ' αὖ κτύπος, οὐδὲ μὲν ὄσσα,*
*ἣ λήθει Διὸς οὖας ὑπερμενέος Κρονίωνος.*

Quem locum attigit Valckenarius de Aristobulo Judaeo §. XXVI. p. 80 sq.

(37) Vid. quae saepe laudavimus, Adagia Erasmi et all. p. 591. ubi plurimos in hanc rem veterum locos collectos reperies.

(38) Vid. Prologum Alcestidos Euripideae.

αἵρεσιν ὁ βίοι [39], καὶ οὐ κατηναγκασμένοι· φησὶ γάρ τί βούλει; οὕτω δὲ καὶ ἐν Τιμαίῳ αἰτία ἑλομένου θεὸς ἀναίτιος [40]· καὶ ἔτι ἐν Πολιτείᾳ· ὑμᾶς δαίμονα αἱρήσεσθαι, οὐχ ὑμᾶς δαίμων λήξεται [41]· ἐν ἡμῖν μὲν γάρ ἐστιν ἑλέσθαι τοιόνδε βίον· ἑλομένους δὲ πράττειν τὰ ἑπόμενα τῷ βίῳ οὐκ ἐν ἡμῖν, ἀλλ' ἀναγκαίως· ὥςπερ καὶ λίθον ῥίψαι μὲν ἐφ' ἡμῖν, Ὥστε δεῖ λέγειν τὸ ποιητικόν· ἐγὼ δὲ οὐκ αἴτιός εἰμι, ἀλλὰ καὶ Ζεὺς καὶ Μοῖρα καὶ ἱεροφοῖτις Ἐριννύς [42]. Ἐκ δὲ τῶν ἀποκρίσεων ἔστι δόγματα τοσαῦτα· ὅτι συμφέρει μὴ εἶναι, ἢ κακῶς εἶναι· φησὶ γάρ δοκεῖς ἄν μοι ἑλέσθαι τεθνάναι ἢ οὕτω ζῆν. Δεύτερον, ὅτι τὸ σῶμα ἐμπόδιον πρὸς ἀρετῆς κτῆσιν, ἐκ τοῦ αὐτοῦ· εἰ γὰρ τεθνάναι μᾶλλον αἱρεῖται, δῆλον ὅτι ὡς τοῦ σώματος ἐμποδίου ὄντος, ὧν ἐπιθυμεῖ, τοῦτο προαιρεῖται. Τρίτον δόγμα, ὅτι οὐ διὰ τιμὴν οἰκείαν δεῖ συμβουλεύειν, οἷς τις συμβουλεύει, ἀλλὰ δι' αὐτῶν τῶν ἀκροωμένων ὠφέλειαν· ὁ δὲ Ἀλκιβιάδης διὰ τιμὴν μᾶλλον ἐβούλετο παριέναι ἐπὶ τὸν δῆμον. Τέταρτον, ὅτι δεῖ τὸν φιλότιμον διακρίνειν ὑφ' οἵων τιμᾶται, καὶ μὴ ὑπὸ τῶν τυχόντων ἀξιοῦν θαυμάζεσθαι, καθάπερ ὁ Ἀλκιβιάδης ὑπὸ Ἑλλήνων καὶ βαρβάρων καὶ πάντων ἀνθρώπων βούλεται θαυμάζεσθαι. Πέμπτον, ὅτι καὶ ἀνόμοια τὰ παραδείγματα παρήνεγκε, Κῦρον καὶ Ξέρξην. Ὁ μὲν γὰρ Κῦρος, διὰ τὸ προςηνὲς τοῦ ἤθους καὶ τοῦ [43] πρὸς τοὺς ἀρχομένους ἐπιεικὲς, πατὴρ ὀνομάζετο [44]· ὁ δὲ Ξέρξης, διὰ τὸ λίαν ὀργίλον καὶ κατηναγκασμένον, δεσπότης [45]. Οὗτος γὰρ οὐ μόνον κατὰ ἀνθρώπων,

(39) Legendum *οἱ βίοι*.
(40) Ad sensum fere congruit Plat. Tim. p. 47. c. Bip. T. IX. Bekk. III, 2. p. 55.
(41) Supr. male *λέξ*. Est locus ex Plat. de Rep. L. X. p. 617. e. Bekk. III, 1. p. 509. ex quo corrigendus noster: *ὑμεῖς δαίμονα αἱρήσεσθε*. Platoni junge Plotinum p. 141 sqq. et Hermiam in Platonis Phaedr. p. 93 sq.
(42) Sunt versus Homerici Iliad. τ,86 sq. ita legendi:

— — — *ἐγὼ δ' οὐκ αἴτιός εἰμι,*
*ἀλλὰ Ζεὺς, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννύς.*

(43) Scr. *τό*. (44) Scr. *ὠνομ.*
(45) Eadem fere in hunc dialogum Proclus attigit. Vid. cap. 53. p. 150 sq. ibiq. annot.; cui tamen Xerxes, tanquam *δεσπότης* dictus, non memoratur; eâque appellatione Cambysem impertitum esse pro-

ἀλλὰ καὶ κατὰ τῆς φύσεως αὐτῆς καὶ τῶν στοιχείων ἐπῄρετο· καὶ ὥς φησιν ὁ Εὐριπίδης ὅτι θάλατταν μὲν ἐπέζευξε [46]· ζεύξας τὸν Ἑλλήσποντον γὰρ διέπλευσε, διορύξας τὸν Ἄθω, τὸν δὲ ἥλιον ἐκάλυπτεν, ἅτε, φησὶν, τοξεύειν κελεύοι· μέσος δὲ τούτων ἦν ὁ Δαρεῖος, ὃς κάπηλος ἐκλήθη [47] διὰ τὸ φιλοχρήματον, αὐτὸς γὰρ ἔταξε τοῖς Πέρσαις τοὺς φόρους, ὥς φησὶν ὁ Ἡρόδοτος. Ὃς καὶ νόμου ὄντος ἐν Πέρσαις, τοὺς παῖδας διαδέχεσθαι τὰς βασιλείας, αὐτὸς διὰ χρεμετισμοῦ τοῦ ἵππου ἐκτήσατο τὴν ἀρχήν [48]. Ἐν οἷς ἡ θεωρίᾳ.

Καὶ ἴσως γε, ὦ Σώκρατες, οὐκ οἶσθ', ὅτι σμικρόν με ἔφθης. Ἰδοὺ σύμφωνος ἡ λέξις τοῖς ἐν τῇ θεωρίᾳ. Τὴν γὰρ εὐκαίρειαν [49] τῶν Σωκράτους λόγων διὰ τούτων θαυμάζει ὁ Ἀλκιβιάδης, ἥτις μέγιστον ἐν πᾶσι δύναται, ὡς ἐδείχθη. Εἰ μὴ γὰρ διὰ τὰς προειρημένας αἰτίας, οὔτε τὸ σμικρὸν ἂν προέλαβεν ὁ Σωκράτης. — Τί ποτε βούλει; ἐνταῦθα τὴν οὐσίαν θαυμάζει ἀγαθὴν οὖσαν· τὸ γὰρ βουλητὸν ἀγαθόν. Εἰρήκαμεν δὲ καὶ, ὅτι οὐ ταὐτὸν βουλητὸν καὶ δοκητὸν, ὡς ἐν Γοργίᾳ λεχθήσεται [50]. Καὶ ἐς τίνα ἐλπίδα βλέπων ἐνοχλεῖς μοι; τὴν ἐνέργειαν διὰ τοῦ ἐνοχλεῖς ἐδήλωσεν. Οὐ ταὐτὸν δὲ τὸ νῦν ἐνοχλεῖς, καὶ τὸ πρώην δι' ὄχλου, ὡς μεμαθήκαμεν. Ἐφεξῆς δὲ καὶ τὴν δύναμιν αὐτοῦ θαυμάζει· ὅπου ἐὰν ᾧ [51] ἐπιμελέστατα παρών. Ἰδοὺ καὶ τὴν δύναμιν ἐνταῦθα παραδέδωκεν. Τὸ γὰρ πανταχοῦ παρεῖναι καὶ συμπαρομαρτεῖν δυνάμεως ἀγρύπνου καὶ ἀτρύτου. Καὶ ἥδιστ' ἂν πυθοίμην. Εἴρηται καὶ ἐν τῇ θεωρίᾳ, ὅτι καὶ ὁ φιλήδονος οὐ ταύτης τῆς φαινομένης

dit Herodotus III. 89. Ceterum de Cyro Olympiodorus in sequentibus aliis verbis eadem narrat.

(46) Ita est apud Aeschylum in Persis v. 73.

ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.

Ad rem consule Herodot. VII, 22 sqq. et quos laudant Wessel. et Valcken. In seqq. scribendum fortasse ὅτε pro ἅτε.

(47) De Darii avaritia vid. Herodotum I, 187. Locus, quem noster significat, est Herodot. III, 89.

(48) Vid. Herodot. III, 85 sqq. [Scr. θεωρία et mox προειρημ.]

(49) Scr. εὐκαιρίαν.

(50) Vid. Plat. Gorg. p. 466. c. d. Bip. T. IV. — Bekk II, 1. p. 42 sq. cf. Heindf. ad h. l. p. 67. ib. Schol.

(51) Scrib. ὦ absque ι subscr.

ἡδονῆς ὀρέγεται, ἀλλὰ τῆς ἀληθινῆς, οὐ δυνάμενος δὲ τυχεῖν περὶ τὸ φαινόμενον τοῦτο σκιαμαχεῖ [52]. Ἐκ δὲ τοῦ ἥδιστα εἰρῆσθαι, ἐπὶ τὴν ἐπίστασιν ἤλθομεν. Οἰκεία γὰρ ἡ λέξις τῶν φιληδόνων. Ἀκούσει μὲν ἄρα μου. Ἐνταῦθα, τὸν κορυφαῖον μιμούμενος φιλόσοφον, κατὰ ἀνυπόθετον φιλοσοφίαν ὀλίγα αἰτεῖ, καὶ νῦν μέν, ὥςτε ἀκοῦσαι τῶν αὐτοῦ ῥημάτων· μικρὸν δὲ ὕστερον καὶ ὥστε ἀποκρίνασθαι, ἔνθα φησίν· ὅτι τοιαύτην δύναμαί σοι περιποιῆσαι δύναμιν, ἣν οἱ ἄλλοι ἐρασταὶ οὐκ ἐδυνήθησαν [53]. Καὶ ὡς ἀκουσομένῳ καὶ περιμενοῦντι λέγω· κατ' ἐρώτησιν τοῦτο εἴρηται· καὶ οὕτως ἀναγνωστέον [54]. Δηλοῖ γὰρ ἡ πρὸς αὐτὸν ἀπόκρισις. ἐπάγει γάρ· πάνυ μὲν οὖν· ὡς ἐκείνου ἐρωτήσαντος· Ἄρα δὲ οὐ γάρ τὸ εἴη θαυμαστόν, εἰ ὥςπερ μόγις ἠρξάμην, οὕτω μόγις καὶ παυσαίμην [55]. Ἐνταῦθα δέον εἰπεῖν τὴν τρίτην αἰτίαν, τοῦτο μὲν οὐ πεποίηκεν, ἵνα ἔτι πλέον ἐκκαύσῃ τὸν ἔρωτα τὸν πρὸς τὸν νέον, στοιχεῖα δὲ παραδίδωσιν ἐνθέου ἐραστοῦ, οὐ φανερῶς, ἀλλ' ἐξ ὧν τοῖς παρ' αὐτοῦ λεγομένοις ἕπεται. Φησὶ γάρ, ὅτι ὥςπερ μόγις ἠρξάμην. Δηλοῦται δὲ ἐντεῦθεν ἡ κρίσις· κρίσεως γὰρ τὸ μὴ ὡς ἔτυχεν ἄρξασθαι. Εἶτα ἐπάγει· οὕτω καὶ μόγις παυσαίμην. Τοῦτο δὲ δηλοῖ τὴν συμπάθειαν· συμπαθείας γὰρ τὸ πολὺν χρόνον συμπαραμένειν τοῖς παιδικοῖς. Καὶ τὸ θεῖον δὲ τοιοῦτον· καὶ βραδέως ἄρχεται, καὶ βραδέως παύεται, χορηγοῦν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις πρὸς τὴν ἐπιτηδειότητα τῶν δεχομένων. Ὁρῶμεν γὰρ καὶ τοὺς εὐτυχόντας [56] μόγις μὲν ἀρχομένους τοῦ εὐτυχεῖν, ἐπιμένοντας δὲ τῇ εὐτυχίᾳ πολὺν χρόνον· ὡςαύτως δὲ καὶ ἐπὶ τῶν δυστυχούντων καὶ κολαζομένων. Ἰστέον γάρ, ὅτι ποιητικὸν ἀεὶ τὸ θεῖον ὑπάρχον τῶν ἀγαθῶν οὐ διαλιμπάνει, ἀλλὰ πηγὴ τούτων ἐστὶ διηνεκῶς, καὶ ἔστι τῶν ὑπ' αὐτοῦ γινομένων ἀγαθῶν αἵρεσις· ὅτι τὰ

(52) De hac forma vide quae supra p. 42. annotavimus. Ad vocem ἐπίστασις adhibe annot. ad Proclum cap. 95.

(53) Non verba reddit, sed sententiam, quae est p. 105. e. Bekk. p. 303.

(54) Editiones Dialogi h. l. interrogandi signum non habent.

(55) Legendum ex dialogo nostro: Ὅρα δή· οὐ γάρ τοι κτλ.

(56) Suprascr. εὐτυχοῦντας.

μέν ἐστι πρῶτα, τὰ δὲ δεύτερα. Πρῶτα μὲν οὖν εἰσὶν ἀγαθὰ, οἷα ἔχουσιν οἱ ἀληθῶς εὐτυχοῦντες, ἐν παισὶ φημὶ, καὶ λόγοις, καὶ πλούτῳ, καὶ ἁπλῶς ἅπασι τοῖς τοιούτοις. Δεύτερα δὲ ἀγαθὰ αἱ ἐπὶ τῶν ἁμαρτημάτων κολάσεις. Καὶ γὰρ καὶ αὗται ἀγαθαί· εἴγε οὐ δεῖ κακόν τι νομίζειν ποιεῖν τὸ θεῖον· ἐοίκασι τοίνυν οἱ ἐπὶ ταῖς τιμωρίαις ἀνιλλόμενοι [57] παισὶ φεύγουσι τὰς ἰατρικὰς τομάς. Τὸ μὲν οὖν θεῖον παρέχει ἀεὶ τὰ τὰ [58] ἀγαθά· ἡ δὲ ἐπιτηδειότης τῶν δεχομένων ἢ τῶν πρώτων ἀγαθῶν ἀπολαύει, ἢ τῶν δευτέρων. Καὶ βραδέως ἄρχονται, καὶ βραδέως παύονται. Ὦ ἀγαθὲ λέγε· ἀκούσομαι γάρ [59]. Ἰδοὺ καὶ ἐπὶ λέξεως ἀγαθὸν αὐτὸν καλεῖ· καὶ οὐ μόνον διὰ τοῦ βούλει τὴν οὐσίαν αὐτοῦ ὡς ἀγαθοειδῆ τεθαύμακεν. Χαλεπὸν μὲν οὖν πρὸς ἄνδρα οὐχ ἥττονα προείρηται, ὡς οὔτε τῷ ἀδυνάτῳ, οὔτε τῷ εὐκόλῳ ἐχρήσατο· καὶ ὡς εἰκότως τοῦτο ἐποίησε, διειλήφαμεν. Ὅμως δὲ τολμητέον· καλῶς τόλμαν καλεῖ τὴν ἐπὶ τὰ δεύτερα πρόοδον· οὕτω γὰρ καὶ οἱ Πυθάγοριοι [60] τὴν δυάδα τόλμαν ἐκάλεσαν, ὡς πρώτην τολμήσασαν ἀποσχίσαι ἑαυτὴν τῆς μονάδος [61]. Δεῖ δὲ τὴν ψυχὴν κατιοῦσαν εἰς γένεσιν, λαβύρινθον οὖσαν, καθάπερ μίτῳ κεχρῆσθαι τῇ μονάδι πρὸς τὴν ἐνταῦθα πλάνην, καθάπερ καὶ ὁ Θησεὺς τῷ τῆς Ἀριάδνης μίτῳ πρὸς τὸν Κρητικὸν λαβύρινθον [62].

Ἐγὼ γάρ, ὦ Ἀλκιβιάδη. Ἐντεῦθεν ἡ τρίτη αἰτία, διότι ἐρᾷ ὁ Σωκράτης· φησὶ γὰρ καταφρονεῖν αὐτὸν τῶν ὑπαρχόντων, καὶ μὴ ἀληθῶς ἀγαπᾷν, ἃ πρὸ μικροῦ διῆλθε, τέσσαρα ὄντα. Δειχθήσεται δὲ τοῦτο ἐκ τῶν ἐπαγομένων τοῦ θεοῦ ἐρωτήσεων, καὶ τῶν πρὸς αὐτὰς ἀποκρίσεων. Πάλαι ἂν ἀπηλλάγμην· Ἐνταῦθα γενόμενος ὁ Ἁρποκρατίων καὶ

(57) Id est: se cohibentes, se recipientes, atque adeo abhorrentes a poenis. Eandem verbi formam usurpat Porphyr. de vit. Plotini cap. XIV, vid. Ruhnken. ad Tim. Lex. p. 34. sq., et Plotinus ipse de pulcr. p. 51 F. ubi vid. annot. p. 193.

(58) Del. alterum.

(59) Scrib. ex dialogo nostro ὦ 'γαθέ. (60) Scr. Πυθαγόρειοι.

(61) Tu cf. Proclum in hanc dialog. cap. 46 ibiq. annot. p. 132.

(62) Hanc sententiam sub eâ fabulâ latitare suspicatus eram in Mythologia Vol. IV. p. 132. p. 117. ed. alter. [Supra scr. κεχρῆσθαι.]

καλῶς προςεσχηκὼς τῷ ῥητῷ, γραμμικαῖς ἀνάγκαις [63] ἔδειξε τὸν Σωκράτην ἔνθεον ἐραστὴν, εἰ φησὶν ἐνταῦθα, ὅτι πάλαι ἂν ἀπηλλάγμην· ὁ δὲ φορτικὸς ἐραστὴς οὐχ, ὅτε θέλει, ἀπαλλάττεται, ἅτε ἐκ πάθους τοιοῦτος ὤν, τῶν δὲ παθῶν οὐχ, ὅτε θέλομεν, ἀπαλλαττόμεθα, καθάπερ οὔτε ἀρχόμεθα, δῆλον ὅτι ἔνθεός ἐστιν ἐραστής· οὗτος γὰρ, ὅτε θέλει, ἄρχεται· θέλει δὲ, ὅτε ἀξιέραστα εἴη τὰ παιδικά· οὐκοῦν καὶ ὅτε θέλει παύεται. καθάπερ καὶ ἐνταῦθα φησίν· ὅτι εἰ ἑώρων σε ἀληθῶς τῶν φαινομένων ἀγαθῶν ἐφιέμενον, πάλαι ἂν ἀπηλλαττάμην τοῦ ἔρωτος. Νῦν δὲ ἕτερ' αὖ [64] κατηγορήσω διανοήματα σὰ πρὸς αὐτόν σε. Ἐπειδὴ, φησίν, οὐ τούτων ἀληθῶς ἐπιθυμεῖς, ἀλλ' ἑτέρων μειζόνων· ἀνοίᾳ δὲ περὶ ταῦτα σκιαμαχεῖς· ἐρῶ λογισμοὺς ἀφ' ὧν δείξω μὴ τούτων σε ἐφιέμενον. Τὸ δὲ σὰ πρὸς αὐτόν σε ἐπήγαγε δεικνὺς, ὅτι κρεῖττον οἶδεν αὐτὸς τὰ ἐκείνου, ἤπερ [65] ἐκεῖνος τὰ ἑαυτοῦ. Διὸ καὶ ἐπήνεγκεν· ὃ καὶ γνώσῃ [66] ὅτι προςέχων γέ σοι τὸν νοῦν διατετέληκα· δοκεῖς γάρ μοι, εἴ τις σοι εἴποι θεῶν· Ἐντεῦθεν αἱ ἐρωτήσεις τοῦ θεοῦ· Δι' ἣν δὲ αἰτίαν θεὸν εἰςήγαγεν ἐρωτῶντα τὸν Ἀλκιβιάδην, ἐν τῇ θεορίᾳ [67] προείρηται· Πότερον βούλει ζῆν ἔχων ἃ νῦν ἔχεις; Ἐντεῦθεν ἔστιν ἑλεῖν δόγμα, ὃ καὶ εἴπομεν, ὅτι καθ' αἵρεσιν οἱ βίοι, καὶ οὐ κατὰ ἀνάγκην. Δηλοῖ δὲ τοῦτο καὶ ἐν τῇ Πολιτείᾳ [68]. Δοκεῖς ἄν μοι ἑλέσθαι τεθνάναι. Αὕτη ἡ ἀπόκρισις τοῦ φιλοσόφου ὑπὲρ τοῦ νέου· καὶ ἰστέον, ὅτι ἐν ἑνὶ προςώπῳ διαλογικὸν σώζει χαρακτῆρα, ἐνταῦθα

(63) Proclus in Tim. p. 317: *μέχρι τῶν γραμμικῶν*. Inprimis vero huc facit Sextus Empir. advers. Math. I. 13. sect. 304. p. 284: *οὐ γραμματικοῦ τοῦτο νοῆσαι — ἀλλὰ μαθηματικοῦ, γραμμικῶς αὐτὸ ἀποδεικνύντος* — „*sed mathematici, qui hoc per* „*linearum ostendit descriptionem*; ubi vid. Fabricii annotationem, qua etiam Bastius est usus ad Gregor. Corinth. p. 283 sq. Haud dissimili locutione: *γεωμετρικαῖς ἀνάγκαις* utitur Plato in de Republ. libro V. 7. p. 458. p. 233. Bekker. — De Harpocratione hujus dialogi interprete supra monitum est in Prooem. ad Procl. §. 2. p. XIV.

(64) Scribitur in Edd. *ἕτερα αὖ*.

(65) Sic ex Corr. fuit enim *εἴπερ*.

(66) Scribendum ex Edd. *ᾧ καὶ γνώσει — διατετέλεκα*.

(67) Scr. *θεωρίᾳ*.

(68) Plat. de Rep. X, p. 617. e. Bekk. III, 1. p. 509.

αὐτὸς προάγων τὰς ἐρωτήσεις, ὡς ἀπὸ θεοῦ, καὶ τὰς ἀποκρίσεις, ὡς παρὰ τοῦ Ἀλκιβιάδου· Δύο δὲ δόγματα ἐκ τοῦ ῥητοῦ ἔστιν ἑλεῖν· ὅτι κρεῖττον μὴ εἶναι ἢ κακῶς εἶναι· καὶ ὅτι πρὸς ἀρετῆς κτῆσιν ἐμπόδιον τὸ σῶμα. Ἀλλὰ νῦν, ἐπὶ τίνι δήποτε ἐλπίδι ζῇς, ἐγὼ φράσω. Ἐντεῦθεν ἀνατομὴ τῆς Ἀλκιβιάδου ζωῆς· ἀναπτύσσει γὰρ ὁ Σωκράτης τὴν διάνοιαν αὐτοῦ πᾶσαν ἐν τοῖς ἐφεξῆς· Τοῦτο δὲ ἔσεσθαι μάλα ὀλίγων ἡμερῶν· ἱστορεῖ ὁ Πρόκλος, ὅτι μετὰ κʹ ἡμέρας ἔμελλεν εἰς τοὺς ἐφήβους ἐντάττεσθαι, εἶτα συμβουλεύειν Ἀθηναίοις. Ὅτι ἄξιος εἶ τιμᾶσθαι ὡς οὔτε Περικλῆς. Ἄλλο δόγμα ἐντεῦθεν ἀνακύπτει· ὅτι δεῖ μὴ τιμῆς χάριν ποιεῖσθαι τὴν συμβουλήν, ὥςπερ νῦν καὶ ὁ Ἀλκιβιάδης, ἀλλ' ὠφελείας τῶν ἀκροωμένων. Ἰστέον δὲ, ὅτι ἀφ' ἑστίας ἄρχεται τῆς ἁμίλλης καὶ τῶν οἰκείων, εἰπὼν ὡς οὔτε Περικλῆς. — Ἐὰν δὲ ἐνθάδε μέγιστον ᾖς, καὶ ἐν τοῖς ἄλλοις Ἕλλησι. Καὶ οὐ μόνον ἐν Ἕλλησιν. Κλιμακηδὸν ὁ λόγος αὐτῷ πρόεισιν· ἐπάγει γὰρ, ὅτι οὐ μόνον ἐν Ἕλλησιν, ἀλλὰ καὶ ἐν τῇ Εὐρώπῃ, καὶ τοῖς βαρβάροις, καὶ ἁπλῶς ἁπάσῃ τῇ γῇ ἐπιθυμεῖς εὐδοκιμεῖν· Καὶ μηδένα ἡγεῖσθαι λόγον [69] ἄξιον πλὴν Κύρου καὶ Ξέρξου. Ἐγὼ δὲ φημὶ, ὅτι οὔτε ἐνταῦθα στήσεται τῆς φιλοτιμίας, ἀλλ' ἔτι μειζόνων ἐπιθυμήσει, καὶ κατὰ τὸν κωμικόν· κἂν ταῦτα ἀνύσῃ, τετταράκοντα βούλεται [70]. Ὡς γὰρ εἴρηται, πάντες ἄνθρωποι οὐκ αὐτῶν τῶν παθῶν ὀρέγονται, ἄπειρα γὰρ ταῦτα, ἀλλ' ἑτέρων τινῶν ἔχοντες ἔννοιαν, καὶ οὐ δυνάμενοι τούτων τυχεῖν, ἐφίενται τῶν πλειόνων. Ζητητέον δὲ, διὰ τί τὸ φιλότιμον πάθος πλέον πάντων ἐστὶ δυςέκριπτον [71]. Οὕτω γάρ ἐστιν, ὅτι

(69) Scr. *λόγου.*

(70) Est versus Aristophanis ex Pluto 196 ita legendus:

*κἂν ταῦτ' ἀνύσηται, τετταράκοντα βούλεται.*

Hemsterhusius edidit *ἀνύσῃ*, ut noster metro adversante. Cf. Dawesii Miscell. crit. p. 205 sq. p. 373 ed. Kidd. et Beckii Commentar. ad h. l. p. 115.

(71) Lege *δυςέκνιπτον.* Plato de Republ. II. 17. pag. 378. p. 97 Bekker. *ἀλλ' ἃ ἂν τηλικοῦτος ὢν λάβῃ ἐν ταῖς δόξαις, δυςέκνιπτά τε καὶ ἀμετάστατα φιλεῖ γίγνεσθαι* i. e., *quae non facile elui possunt*, i. q. *δυςέκπλυτα*, sive *δευσοποιά*, vid. Astii Commentar. p. 432 et Ruhnken. ad Tim. Lex. Platon. p. 75 sqq. ibiq. Synesii locum epist. 44 ubi junguntur *δευσοποιὰ* et *ἀναπόνιπτα.* Adde

καὶ οἱ μὴ βουλόμενοι φιλότιμοι εἶναι, διὰ φιλοτιμίαν ποιοῦσιν αὐτὸ, ὥςτε δοκεῖν, ὅτι οὐκ εἰσι φιλότιμοι. Φαμὲν οὖν, ὅτι διὰ τοῦτο δυςαπόλυτον πάθος τὸ φιλότιμον, ὅτι μᾶλλον τῶν ἄλλων πλησιάζει τῷ λόγῳ, καὶ συγγενές ἐστι τούτῳ. Ὁ δὲ λόγος ἀναπόβλητός ἐστιν ἡμῶν· οὐκοῦν καὶ τὰ πλησιάζοντα αὐτῷ δυςαπόβλητα [72]. Ἢ δι' ἑτέραν· ὅτι κατιοῦσα ἡ ψυχὴ ἐνταῦθα καὶ φεύγουσα τοῦ [73] δουλεύειν τοῖς κρείττοσιν, ἐπιθυμοῦσα δὲ τοῦ ἄρχειν τῶν χειρόνων, πρῶτον τῶν παθῶν ἐνδύεται τὸ φιλότιμον· ἐν τῇ ἀποβολῇ τούτων τελευταῖαν ἀποδύεται ἐξ ἀνάγκης. Ὅτε [74] καὶ ἔστι λέγειν ἐπ' αὐτῇ· αὐτὰρ ὁ γυμνώθη ῥακέων [75]. Ἰστέον δὲ, ὅτι τὸ φιλότιμον πάθος ἐν ταῖς ζωτικαῖς ε' ἡμῶν δυνάμεσιν ἐστὶ δυςαπόβλητον, ἡ δὲ φαντασία ἐν ταῖς γνωστικαῖς· πάρεστι γὰρ ἄει τῇ ἡμετέρᾳ ψυχῇ ἡ φαντασία, τύπους ἀναπλάττουσα ὧν ἀγνοεῖ ἡ ψυχὴ, καὶ τοῖς ἀσωμάτοις σχήματα καὶ μεγέθη καὶ σώματα περιτιθεῖσα, καὶ τόπῳ περιορίζουσα τὸν θεόν.

Ὁ αὐτὸς θεός. Καλῶς ἐπὶ μὲν τοῦ θεοῦ τὸ αὐτὸς ἔταξεν. Ἑνὰς γὰρ ὁ θεὸς καὶ ἑνοειδής. Ἐπὶ δὲ τῶν πραγμάτων, ὧν ὁ Ἀλκιβιάδης ἐφίεται, πληθυντικῶς εἶπεν. Πολλὰ γὰρ τὰ μετὰ τὸ θεῖον καὶ τὴν μονάδα, τὰ ἐξ αὐτῆς παραγόμενα, ὧν πάντες ἐφιέμεθα. Ὅτι γὰρ πληθυντικῶς ἐπὶ τούτων εἶπε, δῆλον κἀκ τοῦ ἐπαγαγεῖν. Ἐπιθέσθαι τοῖς ἐκεῖ πράγμασιν. Ἁρμόττουσα καὶ ἡ λέξις, τὸ ἐπιθέσθαι, τῷ Ἀλκιβιάδῃ. Πλὴν Κύρου καὶ Ξέρξου. Εἴρηται, ὅτι ἀνομοίῳ ἐχρήσατο τῷ παραδείγματι. Οὐ γὰρ τὰ αὐτὰ οὗτοι προείλοντο· εἴγε ὁ μὲν πατὴρ, ὁ δὲ δεσπότης προηγορεύετο [76].

Etymolog. Gud. p. 193. 40: *καὶ Πλάτων. καὶ δόξαν δευσοποιὸν εἴρηκε τὴν ἔμμονον καὶ δευσοποιὸν πονηρίαν, ἀντὶ τοῦ ἔμμονον καὶ δυςέκπλυτον.* Platonem imitatus est Theodoretus in haerett. fabb. comp. I. 26 Tom. IV. p. 321 Schulz.: *ταύτῃ τοι καὶ δυςέκνιπτος αὐτῶν* (sectatorum Manetis) *ἡ διδασκαλία, καὶ τὸν τῶν μυσαρῶν ὀργίων μετειληχότα λίαν ἐστὶ δυςχερὲς μετατιθέναι τῆς τῶν ψυχοφθόρων ἐνεργείας δαιμόνων.* In nostro loco respondet ei quod proxime sequitur *δυςαπόλυτον.*

(72) *Δυςαπόβλητος* accedat Lexicis. (73) Scrib. vid. *τὸ.*

(74) An scribendum *ὅθεν*?

(75) Est locus Homeri Odyss. *χ*,1. Eodem loco Noster supra erat usus in consimili sententiâ *πραξ. ά.*

(76) Scrib. *προςηγορ.*

*Εὖ οἶδα καὶ οὐκ εἰκάζω*· καλῶς μετὰ τὰς ἀποδείξεις τὸ εὖ οἶδα τέταχεν, ὥςπερ καὶ ἐν ἀρχῇ πεποίηκεν. Ἔοικε δὲ τὸ ὁμηρικὸν λέγειν, ὥςπερ καὶ ὁ Διομήδης πρὸς τὴν Ἀθηνᾶν· *οὐδέ σε λήθω κινούμενος* [77]· ὁ δὲ Σωκράτης ἐκ τοῦ ἐναντίου, *οὐδέ με λήθεις*. Εἴγε φησίν. *Ὅτι μὲν οὖν ἔχεις ταύτην ἐλπίδα, εὖ οἶδα καὶ οὐκ εἰκάζω*.

## Πρᾶξις σὺν θεῷ ς′.

*Τί δ᾽ οὖν, ὦ Σώκρατες, τοῦτ᾽ ἐστί σοι πρὸς λόγον, ὃν ἔφησθα ἐρεῖν, διὸ ἐμοῦ οὐκ ἀπαλλάττῃ* [1]; Δύο τινῶν εἰρημένων ἐν τῷ προοιμίῳ, πρῶτον μὲν τοῦ ἐρᾷν Σωκράτην, τουτέστιν ἀπαρουσιάστως [2] ἐρᾷν. Καὶ τοῦ μὲν δευτέρου τῆς αἰτίας ἀνατεθείσης εἰς δαιμόνιον ἢ θεῖον, τοῦ δὲ πρώτου τριῶν εἰρημένων αἰτίαν [3] τοῦ ὑπερφρονεῖν τὸν Ἀλκιβιάδην τῶν ἄλλων ἐραστῶν, τοῦ ἀνάλωτον αὐτὸν εἶναι τῷ φιλοχρηματῳ, καὶ τοῦ καταφρονεῖν τῶν ὑπαρχόντων αὐτῷ νῦν. Ἐπειδὴ οὐ μόνον τὰ δύο ταῦτα περιεῖχε τὸ προοίμιον, ἀλλὰ καὶ τρίτον, τὸ, τῶν ἄλλων ἐραστῶν πεπαυμένων, τὸν Σωκράτην μὴ ἀπαλλάττεσθαι· τούτου τὴν αἰτίαν πάρεστι παραδώσων ὁ Σωκράτης. Φησὶν οὖν, ὅτι *διὰ τοῦτο οὐκ ἀπαλλάττομαι, ἐπειδὴ μόνος δύναμαι περιποιῆσαί σοι δύναμιν, ἣν οἱ ἄλλοι ἐρασταὶ πάντες οὐκ ἐδυνήθησαν*. Καὶ ἀποροῦμεν· πρῶτον μὲν, πῶς ὁ Σωκράτης ἐνταῦθα μεγαλορημονεῖ [4], ὁ πανταχοῦ εἴρων, περὶ οὗ εἴρηται, *αὕτη δέ σοι ἡ εἰωθεῖσα* [5] *εἰρωνεία, ὦ Σώκρατες*· ὁ λέγων ἀεὶ μηδὲν

(77) Est locus Iliad. κ,279 sq. Sed legendum *κινύμενος*. Indidem tamen patet Olympiodorum plerumque memoriter veterum libros laudare. Hoc loco memoriae lapsu, cum precum Diomedis et Ulyssis sese excipientium apud Homerum recordaretur, Diomedem, qui post Ulyssem Minervam alloquitur, pro Ulysse posuit, cujus haec, quae laudat, verba sunt. Quod hoc magis mirandum, quo saepius hic versus apud veteres memoratur atque apud ipsum Proclum in eundem dialogum vid. cap. 68.

(1) Scrib. ex Edd.: *Τί δὴ οὖν — ἐστι ἀπαλλάττει.*

(2) De hoc adverbio supra monui ad sect. 3.

(3) Fort. *αἰτιῶν*.

(4) Scrib. et h. l. et aliquoties paulo inferius *μεγαλοῤῥημονεῖ*.

(5) Scrib. *εἰωθυῖα*.

εἰδέναι, μηδένα διδάσκειν· διὸ καὶ ὁ θεὸς ὁ ἐν Δελφοῖς ἔφη περὶ αὐτοῦ, ὅτι ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος [6]. Ὅτι οὐ πληγῇ μόνον ἀέρος ταῦτα ἔλεγε καὶ φωνῇ, ἀλλὰ ζωτικῶς καὶ ἐνθέως. Ζητητέον οὖν, πῶς τοιοῦτος ὢν ἐνταῦθα τοιαῦτα φρονεῖν μόνον ἐπαγγελλόμενος δύνασθαι [7] περιποιεῖν τῷ νέῳ δύναμιν; Ἢ λέγομεν, ὅτι πρῶτον μὲν ἐν καιρῷ μεγαλορημονεῖ ὁ φιλόσοφος; Δέος γὰρ ἦν, μὴ καθάπερ τῶν ἄλλων ἐραστῶν κατεφρόνησεν ὁ Ἀλκιβιάδης, οὕτω καὶ αὐτοῦ. Οἶδεν ὁ Σωκράτης ἐν καιρῷ μεγαλορημονεῖν· καὶ γὰρ πολλαχοῦ τοῦτο πεποίηκεν· οἷον ἐν Θεαιτήτῳ κριτὴν τάξας ἑαυτὸν τῶν γονίμων καὶ ἀνεμιαίων λόγων, φησίν· ὅτι θεὸς γὰρ δύςνους οὐδεὶς ἀνθρώπῳ, οὐδὲ ἐγὼ δυςνοίᾳ τοῦτο δρῶ, ἀλλά μοι ψεῦδός τε συγχωρῆσαι, καὶ ἀληθὲς ἀφανίσαι, οὐδαμῶς θεμιτόν. [8] Ἰδοὺ γὰρ ἐνταῦθα τῷ θεῷ συνέταξεν ἑαυτὸν, εἰπών· θεὸς γὰρ δύςνους οὐδεὶς ἀνθρώπῳ, οὐδὲ ἐγὼ δυςνοίᾳ οὐδεμίᾳ τοῦτο δρῶ· καὶ πάλιν ἐν τῇ Ἀπολογίᾳ μεγαλορημονεῖ, λέγων· κρείσσονι δὲ ἀνδρὶ οὐ θεμιτὸν ὑπὸ χείρονος ἄρχεσθαι· καὶ αὖθις ἐκεῖ ὅτι Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μέν με δύνανται, βλάψαι δὲ οὐδαμῶς [9]. Τοῦ μὲν προτέρου μὲ [10] κοινότερον ἐπὶ τοῦ συναμφοτέρου εἰρημένου· τοῦ δὲ δευτέρου κυρίως ἐπὶ τῆς ψυχῆς μόνης. Καὶ αὕτη μὲν μία λύσις, ὅτι ἐν καιρῷ οἶδε μεγαλορημονεῖν. Δευτέρα δὲ, ὅτι οὔτε [11] μεγαλορημονεῖ, φαύλων καὶ ὑγελέων [12]

(6) Notissimi sunt iambici trimetri, quos servavit Schol. ad Aristoph. Nub. 145.

*Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης·*
*ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.*

(7) Scribendum videtur vel *φρονεῖ* vel *δύναται*. Illud maluerim.

(8) Est locus Platonis ex Theaeteto p. 151. c. d. — Bekk. II, 1. p. 194 sq., ubi paulo aliter scriptum: *ὅτι οὐδεὶς θεὸς δύςνους ἀνθρώποις, οὐδ' ἐγὼ δυςνοίᾳ τοιοῦτον οὐδὲν δρῶ — ξυγχωρῆσαι — οὐδαμῶς θέμις.*

(9) Uterque locus, ab Olympiodoro aliquantum immutatus, est in Plat. Apol. Socr. p. 30. c. d. Bip. T. I. — Bekk. I, 2. p. 117.

(10) Delendus videtur hic numerus, ortus sine dubio ex perperam repetito *μέν*. [nisi, quod sensus postulat, sit pronomen *τὸ μέ*. cf. p. 57.] (11) Scr. vid. *οὐδὲ*, ne-quidem.

(12) Scribendum *ἀγελαίων*. Cf. Harpocration. in *ἀγελαίων* et Coraium ad Isocrat. Panath. p. 179. Eadem sententia Proclus in hunc dialog. cap. 82 p. 245 — *τὸ πλῆθος τῶν ἀνθρώπων τῶν ἀγεληδὸν ἰόντων.* ubi vid. annot.

ἀνδρῶν προκρίνων ἑαυτόν. Οὐδὲ [13] γὰρ μέγα, εἰ, ἅπερ εὐτελεῖς οὐκ ἐδυνήθησαν ποιῆσαι, ταῦτα πράξει ὁ φιλόσοφος. Τρίτον, ὅτι, ἐάν τις ἀκριβῶς ἐννοήσῃ τὰ ῥηθέντα, οὔτε [14] φαίνεται μεγαλορημονῶν ὁ Σωκράτης. Φησὶ γάρ· ὅτι μετὰ τοῦ θεοῦ μέντοι καὶ ἄνευ ἐμοῦ τῶν διανοημάτων τέλος ἐπιτιθῆναι [15] ἀδύνατον. Τὸ δὲ ἄνευ ὑλικόν ἐστι πρόςρημα καὶ ὕλῃ πρέπον, ἐπειδὴ ἄνευ τῆς ὕλης οὐδὲν ἔστιν ἐπινοῆσαι ἐνταῦθα ὄν. Δεύτερον· ἀποροῦμεν, διὰ τί τοιαύταις ἐλπίσιν ὑποτύφεσθαι ποιεῖ τὸν νέον ὁ Σωκράτης, δύναμιν ἐπαγγελλόμενος αὐτῷ περιποιῆσαι. Ἢ λέγομεν, ὅτι καθάπερ οἱ ἰατροὶ οὐκ ἐπιτίθενται τοῖς νοσοποιοῖς αἰτίοις, πρὶν αὐτὰ τιθασσεύσουσιν. Διὸ καλῶς εἴρηται τῷ Ἱπποκράτει· πέπονα φαρμακεύειν καὶ κινεῖν, μὴ ὠμά, μὴ δὲ ἐν ἀρχῇσιν [16]. Οὕτω καὶ ὁ Σωκράτης πρότερον τιθασσεύει τὰ πάθη, εἶθ' οὕτως ἐκκόπτει αὐτὰ πυρὶ καὶ σιδήρῳ [17], τὸ δὴ λεγόμενον. Ἰστέον γάρ, ὅτι, καθάπερ καὶ ἐν ἀρχῇ εἴρηται, τρεῖς εἰσι τρόποι καθάρσεως, Πυθαγορικός, Σωκρατικός, Περιπατητικός, ἤτοι Στωϊκός· καὶ ὁ μὲν Στωϊκὸς διὰ τῶν ἐναντίων τὰ ἐναντία ἰᾶται, τῷ μὲν θυμῷ τὴν ἐπιθυμίαν ἐπάγων, καὶ οὕτω μαλλάσσων αὐτὴν [18], τὴν δὲ ἐπιθυμίαν τῷ θυμῷ, καὶ οὕτω ῥωννύων αὐτὴν καὶ ἀνάγων πρὸς τὸ [19] ἀνδρικώτερον, δίκην τῶν κεκαμμένων ῥάβδων, ἃς οἱ θέλοντες εὐθῦναι πρὸς τὸ ἐναντίον περιλυγίζουσιν, [20] ἵνα ἐκ τῆς εἰς τὸ ἐναντίον περιφορᾶς τὸ σύμμετρον ἀναφανῇ. Οὕτω καὶ ἐπὶ ψυχῆς ἐκ τοῦ τοιούτου

(13) Scr. fort. *οὐδέν.*
(14) Scrib. ut supra *οὐδὲ.* (15) Scr. *ἐπιτιθέναι.*
(16) Id est: „Maturis duntaxat purgantia medicamina adhibere; „non crudis, neque initio." De usu verbi *φαρμακεύειν* Hippocrateo vid. Gorraei Definitt. med. p. 488 et praecipue Foësium in Oeconom. Hippocrateâ p. 391, qui etiam Hippocratis Galenique locos citavit. De *ὠμός* vid. Gorr. p. 520 sq. et Foës. p. 416 sq.
(17) De hoc proverbio vide Erasmi et all. Adagia p. 503.
(18) An scr. *αὐτόν?* (19) Suprascr. *τί.*
(20) Vocem *περιλυγίζω* non habent Lexica. Simplex consimili sententiâ usurpatur. Geoponic. X. 65. 5. p. 740 Niclas. *ἕτεροι δὲ πρὸ ἐνιαυτοῦ ἐκλεξάμενοι κλάδον ἀπὸ καρύας, ὅθεν βούλονται ἐγκεντρίσαι, στρέφουσι τοῦτον καὶ λυγίζουσι* „ramum obvertunt et intorquent" cf. ibid. VII. 18. 1. X. 29. 2 Hinc locus noster, accipiendus est ita, ut bacillos cogites incurvatos, qui viminibus circumligati in contrariam partem intorquentur. [Mox scr. vid. *ἐπετήδευεν.*]

τρόπου ἁρμονίαν ἐμποιεῖν ἐπετήδευον. Ὁ δὲ Πυθαγορικός ἐστιν ὁ μικρὸν κελεύων ἐνδιδόναι τοῖς πάθεσι, καὶ ὥςπερ ἄκρῳ δακτύλῳ αὐτῶν ἀπογεύεσθαι· ὃ φασὶν οἱ ἰατροὶ, σμικρῷ ἔλαττον. Ἔλεγον γὰρ, ὅτι οἱ φλεγμαίνοντες πάθει τινὶ, εἰ μὴ κατ' αὐτὸ ἐνεργήσωσιν, οὐ πρότερον αὐτοῦ ἀφίστασθαι [21]· οὕτω γὰρ ἐπὶ τοῦ Πανδάρου πεποίηκεν ἡ Ἀθηνᾶ, θέλοντος ἐπιορκῆσαι, ἐνδέδωκεν αὐτῷ [22]. Διὸ καὶ τελευταῖον τῇ γλώσσῃ πεποίηται κολαζόμενος, εἰς τὴν γενομένην ὄργανον αὐτῷ τῆς ἐπιορκίας [23]. Ὁ δὲ Σωκρατικὸς τρόπος τῆς καθάρσεως ἀπὸ τῶν ὁμοίων ἐπὶ τὰ ὅμοια μετάγει· εἰ μέν τίς ἐστι φιλοχρήματος λέγων, μάθε, τίς ἡ ὄντως αὐτάρκεια· εἰ δὲ φιλήδονος, τίς ἡ θεία ῥαστώνη, καὶ ἁπλῶς ὅσα προείρηται. Κρείττων δὲ ὁ τοιοῦτος τρόπος τῶν ἄλλων. Ὁ μὲν γὰρ κακῷ τὸ κακὸν ἰᾶται, εἴγε πάθος πάθει· ὁ δὲ οὐκ ἐᾷ τὴν ψυχὴν ἀκηλίδωτον [24] διὰ τῆς ἐπαφῆς τῶν παθῶν. Τρίτον ἀποροῦμεν· πῶς φησὶν ὁ Σωκράτης δύνασθαι περιποιεῖν δύναμιν τῷ Ἀλκιβιάδῃ; Πρὸς οὓς τοῦτο ῥητέον, ὅτι τὴν ἐπιστήμην αὐτῷ περιποιήσειν φησίν. Δύναμις δέ τις ἡ ἐπιστήμη· εἴγε ἀλλαχοῦ λέγει· ἀποδείξεως δ' οὔσης ἐν ψυχῇ δυνατώτερον οὐδέν· ἐπιστήμης δὲ ἡ ἀπόδειξις· καὶ ὅτι ἀνάλωτός ἐστι τυράννῳ ἡ ἐπιστήμη· ἢ ὅτι σπουδαῖος ὢν ὁ Σωκράτης αὐτάρκης ἐστὶ καὶ τῇ τοῦ θεοῦ αὐταρκείᾳ συγγενής. Ἐντεῦθεν ὡς ἐρωτικὸς οὖν σπουδάζει τῆς τοιαύτης αὐταρκείας μεταδοῦναι τοῖς παιδικοῖς, καὶ πρὸς τὴν τοῦ θεοῦ αὐτάρκειαν τελειώσας ἀναγαγεῖν.

Τρίτον, ὅτι κατὰ τὴν τῶν Στωϊκῶν μεγαλορημοσύνην ὁ ἀρχικὸς, τουτέστιν ὁ εἰδὼς ἄρχειν, μόνος ἄρχων ἐστὶν, εἰ καὶ μὴ ἔχῃ [25] τὰ ὄργανα

(21) Vel leg. *ἀφίστανται*, vel add. *δύνανται*.
(22) Vid. Homeri Il. *δ*,88—104. (23) Vid. Iliad. *ε*,290—292.
(24) Animam *immaculatam*. Usum verbi proprium monstrat Philo p. 95. cum dicit: *ἀκηλιδώτους ἐσθῆτας*. Geminas voces una cum hac ipsâ explicuit Valckenar. in Scholl. N. T. Vol. II p. 335. Fontes metaphorae reclusit Wyttenbach. ad Plutarch. de S. N. V. p. 110 sqq. adde Matthaei ad haec Ioan. Chrysostom. Homil. IV. p. 107 (ad Evang. Matth. V. 28): *πῶς μετὰ τὸ θεωρῆσαι δυνήσῃ μένειν ἀκηλίδωτος*; Usurpat etiam Platonicorum imitator Dionysius Areopagita in eccles. Hierarch. cap. III part. 3. §. 4 et de divinn. nominib. cap. IV. §. 22.
(25) De hoc conjunctivi usu post *εἰ καὶ* supra est monitum p. 6.

τῆς ἀρχικῆς ἐπιστήμης· καὶ ὁ τιμόθεος [26] ὁ σοφὸς πλούσιος [27]· τουτέστιν ὁ εἰδὼς χρήσασθαι παρόντι τῷ πλούτῳ, εἰ καὶ μη πάρεστιν. Τὴν τοιαύτην οὖν δύναμιν ὁ Σωκράτης ἐπαγγέλλεται τῷ νέῳ πρὸς τὸ πολιτικὸν αὐτὸν εἶναι. Μόνος γὰρ ἀληθῶς ταύτην παρέχειν ἐδύνατο, καὶ οὐδεὶς τῶν ἄλλων· πρὸς δὲ τῷ τέλει τοῦ προοιμίου τὸ ἕτερον, ὧν προειρήκαμεν, αἰτεῖ αὐτόν· λέγω δὲ τὸ ἀποκρίνασθαι πρὸς τὰ ἐρωτώμενα. Καὶ ζητοῦμεν ἐνταῦθα πάλιν, τί δή ποτε ὁ φιλόσοφος τοῦτο τὸν Ἀλκιβιάδην αἰτεῖ; Πρὸς ὃ φαμὲν, ὅτι ὁ Σωκράτης οὐ νεκροὺς καὶ ἀπεψυγμένους ἐβούλετο προάγειν τοὺς λόγους αὐτοῦ, ἀλλ' ἐνεργοὺς καὶ ζωὰς [28], ὡς εἰπεῖν, καὶ πρέποντας τοῖς προδιαλεγομένοις. Τοῦτο δὲ θηρᾶται ἐκ τῶν ἀποκρίσεων. Ἢ ὅτι ἐρωτικὸς ὢν ὁ Σωκράτης βούλεται περιπλακῆναι τοῖς παιδικοῖς. Ἔοικε δὲ περιπλοκῇ τὸ διαλογικὸν σχῆμα, καὶ ἡ κατὰ βραχὺ τῶν λόγων διαπλοκὴ κατὰ πεῦσιν γινομένη καὶ ἀπόκρισιν. Ἢ ὡς φησὶν ἐν τῷ Φαίδρῳ [29]· Δεῖ τὸν λόγον ἐοικέναι ζώῳ. Τὸν οὖν ἄριστα κατεσκευασμένον λόγον δεῖ τῷ ἀρίστῳ τῶν ζώων ἐοικέναι· ἄριστον δὲ ζῶον ὁ κόσμος· ὥςπερ οὖν οὗτος λειμών ἐστι ποικίλων ζώων, οὕτω δεῖ καὶ τὸν λόγον εἶναι πλήρη παντοδαπῶν προςώπων. Καὶ ἄλλως· ὅτι καθάπερ ἐν τούτῳ πάντα φθέγγεται καὶ ἐνεργεῖ· (αἱ γὰρ τῶν πραγμάτων ἐνέργειαι οἱονεὶ φωναὶ αὐτῶν εἰσιν)· οὕτω δὲ κἂν τῷ λόγῳ προςήκει πάντα λαλεῖν τὰ ἐν αὐτῷ πρόςωπα, καὶ ὥςπερ πάντας ἐνεργεῖν.

Τέταρτον· ὅτι τὸ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν σχῆμα διεγερτικόν ἐστι καὶ ἐπιστρεπτικόν. Τοιγαροῦν καὶ οἱ ῥήτορες, ὅτε βούλονται διεγεῖραι τὸν ἀκροατὴν ἢ ἐπιστρέψαι τὸν λόγον, αὐτῷ κέχρηνται· οἷον· ἀλλά μοι ἀπόκρινον [30], πρὸς θεῶν. Ὁ δὲ κατὰ [31] ἀποτάδην λόγος καθεύδειν ποιεῖ τοὺς

(26) In marg. recte ὅτι μόνος.
(27) Vid. Ciceron. Parad. VI. Reliquos locos indicavimus in annot. ad Proclum in Alcib. I. p. 164.
(28) Fort. ζῶντας.
(29) Est locus Platonis in Phaedro p. 264. c. Bip. T. X. — Bekk. I, 1. p. 76.
(30) Scrib. ἀποκρίνου.
(31) Fortasse delendum κατά. In seqq. verbis ὄναρ κτλ. men-

ἀκροατάς. Ὡς γάρ φησιν ὁ Αἰσχίνης, ὄναρ δ' ἑορτῶν τῆς δίκης λεγομένης. Βουλόμενος οὖν ἐπιστρέψαι τὸν Ἀλκιβιάδην, αἰτεῖ αὐτὸν ἀποκρίνεσθαι πρὸς τὰ ἐρωτώμενα.

Ἐν οἷς ἡ θεωρία, καὶ τὸ προοίμιον τοῦ διαλόγου. Ἄρχεται γαρ ἐντεῦθεν λόποὺν [32] τὸ πρῶτον μέρος, τουτέστι τὸ ἐλεγκτικόν. Τί δὴ οὖν, ὦ Σώκρατες, τοῦτό σοι πρὸς λόγον, ὃν ἔφησθα ἐρεῖν, διὸ ἐμοῦ οὐκ ἀπαλλάττῃ [33]. Ἰδοὺ καὶ ὁ Ἀλκιβιάδης αὐτὸς αἰτίαν ἀπαιτεῖ τὸν Σωκράτην τοῦ τρίτου λεχθέντος ἐν τῷ προοιμίῳ, τουτέστι διότι τῶν ἄλλων πεπαυμένων μόνος οὐκ ἀπαλλάττεται. Ἐν μικρὸν ὕστερον καὶ ὁ Σωκράτης ἀποδώσει· ἐγὼ δὲ σοίγε ἐρῶ, ὦ φίλε παῖ Κλεινίου καὶ Δεινομάχης. Οὐκ ἄκαιρος οὐδὲ περιττὴ, ὡς ἄν τις οἰηθείη, κεῖται νῦν ἡ πατρὸς καὶ μητρὸς κλῆσις, ἀλλ' ἐπειδὴ εὐγενὴς ὁ νέος ἐξ ἀμφοτέρων ἐστὶν, ἔοικεν ἐν τούτοις τοῖς [34] λέγειν· ὅτι οὔτε οἱ πρὸς μητρὸς συγγενεῖς, οὔτε οἱ πρὸς πατρὸς δύνανται περιποιῆσαί σοι δύναμιν, ἥνπερ ἐγὼ δύναμαι. Τούτων γάρ σοι ἁπάντων τῶν διανοημάτων τέλος ἐπιτεθῆναι ἄνευ ἐμοῦ ἀδύνατόν ἐστιν· αὕτη, φησὶν, αἰτία τοῦ μὴ ἀπαλλάττεσθαί με· ὅτι, ὧν ἐλπίζεις χωρὶς ἐμοῦ οὐ δύνασαι τυχεῖν. Διανοημάτων δὲ λέγει, ὧν ἀνωτέρω ἀπηριθμήσατο λέγων· ὅτι ἡ γῆ [35] θᾶττον παρελθεῖν εἰς τοὺς Ἀθηναίους, καὶ δεῖξαι, ὅτι ἄξιος· εἶ τιμῆς καὶ Περικλέους πλέον, καὶ ἔνδοξος φανῆναι ἐν Ἕλλησι καὶ βαρβάροις· καὶ ἁπλῶς ὅσα ἐκεῖ εἰρήκαμεν. Τὸ δὲ ἄνευ ἐμοῦ ὕλης ὂν πρόσρημα, δείκνυσιν, ὅτι οὐ μεγαλορημονεῖ ὁ φιλόσοφος, ὡς ἐν τῇ θεωρίᾳ προείρηται. εἰς τὰ σὰ πράγματα καὶ εἰς σέ· Εἰς τὰ σὰ πράγματα φησὶν ἀντὶ τοῦ εἰς τὰς σὰς ἐνεργείας· εἰς σὲ δὲ αὐτὸν, ἀντὶ τοῦ εἰς τὴν σὴν ψυχήν. Ὥςπερ καὶ τὸ ἐμὲ ἐπὶ τῆς ψυχῆς κυρίως εἶπεν ἐν τῇ Ἀπολογίᾳ λέγων· βλάψαι δέ με οὐ δύνανται [36]. Διὸ δὴ καὶ πάλαι οἶ-

dum inesse videtur. An legendum *δ' ἑώρων*? Moser. De illo *κατὰ* cf. annot. 37 ad *εἰς μάτην*.

(32) Leg. *λοιπὸν*?

(33) Scrib. ex Edd. *τοῦτ' ἔστι σοι — ἀπαλλάττει.*

(34) Vid. del. *τοῖς*.

(35) Scr. conjunctim *ἡγῇ*. (36) Locum supra laudavimus p. 53.

μαί με τὸν θεὸν οὐκ ἐᾷν διαλέγεσθαί σοι· ἀντὶ τοῦ· εἰ πρότερον ὁ θεὸς διὰ τοῦτο ἀπέτρεπεν, ἵνα μὴ εἰς μάτην [37] οἱ λόγοι γίνοιντο, νῦν ἐπειδὴ οὐκ ἀποτρέπει, πάντως περιποιήσω σοι τὴν δύναμιν, ἣ [38] ἐπιθυμεῖς· οὐ γὰρ μάτην ὁ θεὸς νῦν οὐκ ἀποτρέπει, εἴγε τότε, ὅτε προςῆκεν, ἀπέτρεπεν. Εἰ γὰρ ὁ σπουδαῖος οὐδὲν μάτην ποιεῖ, οὐδὲ ἡ φύσις, πολλῷ μᾶλλον ὁ θεός. Ὥςπερ γὰρ σὺ ἐλπίδα [39] ἔχεις ἐν τῇ πόλει. Ἀναλογίαν τινά φησιν ἐνταῦθα ὁ Σωκράτης· ἣν γὰρ τάξιν ἔχεις σύ, ὦ Ἀλκιβιάδη, πρὸς τοὺς πολίτας, κρείττων ὢν αὐτῶν, ὡς σύμβουλος συμβουλευομένων (δεῖ γὰρ τοιοῦτον εἶναι τὸν σύμβουλον)· ταύτην καὶ ἐγὼ πρὸς σέ, καὶ ὁ θεὸς πρὸς ἐμέ. Ἐνδειξάμενος, ὅτι παντὸς ἄξιός εἰμι. Ἰστέον, ὅτι τὸ ἐνδειξάμενος ὁ φιλόσοφος ἐπὶ τοῦ διαλογικοῦ σχήματος ἀεὶ τάττει· τὸ δὲ ἐπιδειξάμενος ἐπὶ τοῦ ἀποτάδην. Διὸ καὶ ἀντιδιαιρεῖ αὐτὰ ἀλλήλοις πανταχοῦ. Οὕτως οὖν καὶ ἐνταῦθα τούτῳ κέχρηται, ὅτι ἐρωτῶν καὶ ἀποκρινόμενος δείξω, πόση δύναμις ἔσται σοι δι' ἐμοῦ· μέτα τοῦ θεοῦ μέντοι. Ἰδοὺ πάλιν σημεῖον τοῦ μὴ τὸν Σωκράτην μεγαλορημονεῖν. Οὐ γὰρ ἁπλῶς ἑαυτὸν ἔφη δύνασθαι, ἀλλὰ μετὰ τοῦ θεοῦ. Νεωτέρῳ μὲν οὖν ὄντι σοι. Τὰ αὐτὰ τοῖς ἀνωτέρω καὶ ἐνταῦθα φησίν· ἔλεγε γάρ· διὸ δὴ καὶ

(37) Simillimus locus est Aristidis *πρὸς τοὺς αἰτιωμ.* Tom. II. p. 716. p. 417 Jebb. *ὥςτε συμβαίνει ἅμα μὲν σχεδὸν ὥςπερ ἂν εἰς μάτην γίνεσθαι τοὺς λόγους*, ut omittam quod ex Luciani Tragodop. (vs. 28 p. 3 Bip.) *εἰς μάτην* annotavit in Lex. Schneiderus h. voc. Formulae originem a vetere vocabulo *μάτα* explicuerunt viri docti: Valcken. Scholl. N. T. Tom. I. p. 513 Tittmann. ad Zonar. Lex. Gr. p. 1338; cujus observationem Photii Lexico adhibuit Schleusner. in Curis noviss. p. 220. Etymologus vero Gudianus p. 74 comparat inter se haec adverbia *χήδην, μάτην, ἄρδην.* Sed Heliodorus IX. p. 350 dixit etiam *ἐς ἄρδην.* Vid. Lobeck. ad Phrynichi Eclog. p. 48, qui etiam Aristidis locum l. citavit. Nimirum illud quaeritur, an fortasse ex Olympiodoro in Platonis Alcib. I. p. 105. e. reponendum sit: *ἵνα μὴ εἰς* s. *ἐς μάτην διαλεγοίμην.* Ego invitis codicibus, qui praepositionem non agnoscunt (vid. supra Proclum in Alcib. I. p. 161) non audeam, praesertim cum Olympiodorus in antecedentibus, siquidem sanus est locus, itidem dixerit: *κατ' ἀποτάδην*, et cadenti Graecitati fortasse adtribuendae sint hae binae redundantiae. Vim adverbii: *frustra*, quae in loco Platonis Aristidisque et nostro inest, explicuerunt Graevius et Hemsterhusius ad Luciani Diall. Mort. Vol. II. p. 517 Bip.

(38) Scrib. *ἧς.* (39) Edd. *ἐλπίδας.*

*πάλαι οἶμαί με τὸν θεὸν οὐκ ἐᾷν διαλέγεσθαί σοι.* Τοῦτο οὖν καὶ νῦν λέγει. Εἰς τοῦτο δὲ ἠνίττετο τὸ ῥητὸν ἐν ἀρχῇ, ὡς ἐπεσημηνάμεθα, ἡνίκα ἔλεγεν· *οὗ σὺ τὴν δύναμιν καὶ ὕστερον πεύσῃ·* ὧδε οὖν ἡ ἐκείνου ἀπόδοσις· ὅτι διὰ τὸ μὴ μάτην διαλέγεσθαί σοι ἐκώλυε, διὸ ἐπήγαγε· *νῦν δὲ ἐφῆκε· νῦν γὰρ ἄν μου ἀκούσεις* [40]. Ἔτι πλέον προτρέπων αὐτὸν διὰ τούτων πείθεσθαι αὐτῷ, εἴγε καὶ ὁ θεὸς ὡς πεισομένῳ αὐτῷ ἐφῆκε διαλέγεσθαι, διὰ τοῦ μὴ ἀποτρέψαι. *Νῦν ἀτοπώτερος αὖ φαίνῃ* [41]· παραδοξότερος καὶ θαυμαστώτερος. Εἰκότως δὲ νῦν, ἐπειδὴ διηλέχθη [42] ὁ Σωκράτης θαυμασιώτερος τῷ Ἀλκιβιάδῃ δοκεῖ, ἤπερ σιωπῶν. Καὶ γὰρ καὶ ἡμεῖς τὸ θεῖον τότε μᾶλλον τεθήπαμεν, ὅτε αἰσθητῶς ἐλλαμπόμεθα [43] καὶ ἐνθουσιῶμεν, ἤπερ ὅτε μή. *Εἰ μὲν οὖν ἐγὼ ταῦτα διανοοῦμαι, ἢ μή, ὡς ἔοικε, διέγνωκας.* Ὡς εὐφυὴς ὢν ὁ Ἀλκιβιάδης οὔτε παντελῶς ἀρνεῖται, ὅτι οὐ ταῦτα φρονεῖ, ἅπερ εἶπεν ὁ Σωκράτης, οὔτε συντίθεται, ἀλλὰ τὴν μέσην χωρεῖ διὰ τοῦ ὑποθετικοῦ σχήματος· καὶ οὐ συντίθεται μέν, ἐπειδὴ νόμος ἦν ὁ κελεύων μὴ εἶναι σπονδαρχίδην ἐν δημοκρατίᾳ [44], καὶ ἐντεῦθεν ἐδεδοίκει. Οὐκ ἀρκεῖται [45] δέ, ἐπειδὴ ἐβούλετο, πολιτικὸς ἐπιθυμῶν γίνεσθαι, ἀκοῦσαι παρὰ τοῦ Σωκράτους, κατὰ ποίους λόγους τοιοῦτος γενήσεται, καὶ τοῦ δήμου προστήσεται. Φησὶν οὖν, ὅτι, εἰ καί, ὥςπερ λέγεις, ταῦτα φρονῶν [46], πῶς ταῦτά μοι περιποιήσεις· πῶς διὰ σοῦ μοι ἔσται; Ἐνταῦθα γενόμενος ὁ φιλόσοφος Ἰάμβλιχος ἠπόρησεν, ὅτι φαίνεται ὁ Ἀλκιβιάδης τελειότερος ὢν τοῦ Σωκράτους· οὕτως [47] μὲν γὰρ εἶπεν· *ὁ διὰ σοῦ*

(40) Suprascr. ut est in Edd. *αις*. (41) Scr. *φαίνει*. [et *θαυμαστότερος*, ni malis *θαυμασιώτερος*, et supra *μετὰ*, infra *τελειότεραι*, qualia tironibus facile corrigenda.] (42) Scr. *διελέχθη*.

(43) De hoc usu verbi *ἐλλάμπομαι* dicendi otium facit mihi Budaeus in Commentar. Ling. gr. p. 879 sqq. p. 1097 sqq. Adde Corderii annot. ad Dionys. Areopag. de caelest. hierarch. cap. 1. init.

(44) Leg. *σπουδαρχίδην*. Est versus Aristoph. Acharn. 595.

*Ὅςτις, πολίτης χρηστὸς οὐ σπουδαρχίδης.*

v. Suid. h. v. Moser. Adde Phrynichi Excerpt. p. 63 in Bekkeri Anecdott. gr. Vol. I. Phot. L. Gr. in *σπουδαρχιάσας* cum Schleusneri Cur. noviss. p. 414. et Lobeck. annot. ad Phrynich. Eclog. p. 81. Sturz. Lex. Xenoph. in *σπουδάρχαι*.

(45) Scr. *ἀρνεῖται*. (46) Scr. *φρονῶ*.

(47) *Οὗτος* [ita scrib.] ad remotius videtur referendum, ut sae-

πρόῤῥημα ὀργανικῆς αἰτίας, ἐκεῖνος δὲ ὅτι μετὰ τοῦ θεοῦ πρόῤῥημα ποιητικῆς αἰτίας, καὶ συνέταξεν αὐτὸν τῷ θεῷ τοῦ Σωκράτους, εἶπεν διὰ σοῦ. Ἔλυσε δὲ αὐτὸς παγκάλως λέγων, ὅτι ἐν ἑτέροις φησὶν ὁ Πλάτων, ὅτι αἱ μὲν τελειότεραι ψυχαὶ συνεπιτροπεύουσι τὰ τῇδε τῷ θεῷ καὶ συνδιοικοῦσιν· αἱ δὲ ἀτελέστεραι ὡς ὄργανον εἰσί· καὶ οὕτως χρῆται αὐταῖς ὁ θεὸς πρὸς τὰ ἐνταῦθα. Οὐ μόνον δὲ ταῖς ἀτελεστέραις, ἀλλ' ἔστιν ὅτε καὶ ταῖς κακαῖς, οἷον φονεῦσι πρὸς τὸ δίκην ἀξίαν δοῦναι τοὺς ὀφείλοντας. Ὁ μὲν οὖν Σωκράτης πρὸς τὰς τελειοτέρας αὐτοῦ δυνάμεις ἀποβλέψας, εἶπε μετὰ τοῦ θεοῦ. Ὁ δὲ Ἀλκιβιάδης πρὸς τὰς ἀτελεστέρας, διὸ διὰ σοῦ εἶπε καὶ ἐπήγαγε πάλιν· καὶ ἄνευ σοῦ, πρόῤῥημα ὕλης.

Ἆρα ἐρωτᾷς, εἴ τιν' ἔχω εἰπεῖν λόγον μακρόν, οἵους δὴ ἀκούειν ἤθισαι [48]. Βούλεται διὰ τούτων ὁ Σωκράτης παρασκευάσαι τὸν Ἀλκιβιάδην, ὥστε μὴ διαλείσθαιτο [49] ὡς ἀποτάδην αὐτοῦ ποιησομένου τοὺς λόγους. Ἠπίστατο γὰρ, ὅτι ῥητορικὸς ὢν ὁ Ἀλκιβιάδης οὕτως αὐτὸν ἡγήσηται [50] διαλέγεσθαι. Διὸ φησίν· οἵους δὴ ἤθισαι [51] ἀκούειν. Ἐντίθησι δὲ αὐτῷ ἔννοιαν, ὅτι διαλογικῶς αὐτὸς διαλέξεται· ἐπάγει γάρ· οὐ γάρ ἐστι τοιοῦτον τὸ ἐμόν· ἀλλ' ἐνδειξάσθαι μέν σοι. Ἀντὶ τοῦ· κατὰ πεῦσιν καὶ ἀπόκρισιν προςδιαλεχθῆναι. Ἐὰν ἓν μόνον ἐθέλῃς βραχὺ ὑπηρετῆσαι. Ἐνταῦθα τὸ ἕτερον αἰτεῖ τὸν Ἀλκιβιάδην ὁ Σωκράτης, τουτέστι, τὸ ἀποκρίνασθαι. Βραχὺ δὲ εἶπεν, ὡς τὴν ἀνυπόθετον ἀσκῶν φιλοσοφίαν καὶ μὴ δεόμενος πολ-

pius, nimirum ad ὁ Ἀλκιβιάδης, ἐκεῖνος ad τοῦ Σωκράτους. Proxime autem legendum — εἶπεν· ὅτι διὰ σοῦ, pro ὁ διὰ σοῦ. Deinde post συνέταξεν αὐτὸν excidisse videtur ὁ Ἀλκιβιάδης. Denique post Σωκράτους pro εἶπεν legendum esse εἰπὼν in schedis monuerat Moserus. Quod sequitur ἔλυσε αὐτὸς ad Jamblichum refer. In sequentibus porro corrigendum videtur: πρὸς τὰς τελειοτέρας αὐτοῦ sive ἑαυτοῦ δυνάμεις. Ceterum de Jamblichi in hunc dialogum Commentario, unde h. l. flosculum legimus, supra est monitum in Prooem. ad Proclum §. 2. p. XIV. (48) Scrib. ex Edd. εἴθισαι.

(49) Corruptum manifesto est vocabulum, scrib. διολισθαίνοι aut διαλινήσαιτο. [ὥςτε c. optat. quanquam hoc quidem sensu inusitatissimum; invenitur tamen Xenoph. Anab. III. 5, 11: ὥςτε μὴ ὀλισθάνοι (ita enim Sturzio auctore Lex. Xen. IV, p. 623. in duobus Codd. legitur, cum vulg. ὀλισθανεῖν et ὀλισθᾶναι in Par. et Eton. nihili sit. Secus quadrat Xen. Oecon. I. 13.]

(50) Scrib. vid. ἡγήσεται. (51) Scr. εἴθισαι.

λῶν λόγων. Δι' ἃς δὲ αἰτίας αἰτεῖ αὐτὸν ἀποκρίνασθαι, εἰρήκαμεν καὶ ἐν τῇ θεωρίᾳ, καὶ νῦν δὲ ῥητέον, ὅτι διὰ τὸ αὐτοκινήτως ἐνεργεῖν ὑφ' ἑαυτοῦ ἐλεγχόμενος, διὰ τῶν ἀποκρίσεων δόξῃ [52] διορθοῦσθαι. Ἰστέον γὰρ, ὅτι πρὸς ἑαυτοὺς ἐπιστρέφοντες αὐτοκινήτως ἐνεργοῦμεν, μὴ δεόμενοί τινος ἔξωθεν πρὸς ἐπιδιόρθωσιν καὶ ἀπαλλαγὴν τῶν ἐν ἡμῖν παθῶν. Ὅτε [53] δὲ διὰ τοῦ ἑτέρους ἐλέγχεσθαι καταπαύσωμεν τὰ πάθη, τότε ἑτεροκινήτως. Καθάπερ ἐν Γοργίᾳ· καὶ γὰρ ἐκεῖ διὰ τοῦ Θρασυμάχου τὸν θυμὸν ἐλέγχοντος τοῦ Σωκράτους, ἡμεῖς ἐννοοῦμεν καταπαῦσαι τὸν ἐν ἡμῖν Θρασύμαχον. Καὶ πάλιν, διὰ μὲν τοῦ Καλλικλέους τὸ φιλήδονον· διὰ δὲ τοῦ πόλον [54] τὸ φιλότιμον· ὁμοίως δὲ καὶ διὰ τοῦ Προταγόρου [55] τὴν φαντασίαν. Σοφιστὴς γὰρ ὁ Προταγόρας. Ἔοικε δὲ καὶ ἡ φαντασία σοφιστῇ, τὰ μὴ ὄντα σοφιζομένη καὶ ἀναπλάττουσα [56]. Τὸν οὖν Ἀλκιβιάδην, ἐνταῦθα αὐτοκινήτως βουλόμενος ἐνεργεῖν, παρασκευάζει πρὸς αὐτὸν ὁ Σωκράτης ἀποκρίνασθαι, καὶ τοῦτο φησὶν ὑπηρετῆσαι, ἵνα ὁ πάντων ἄρχειν ἐπιθυμῶν τῷ Σωκράτει φανείη νῦν ὑπηρετῶν. Ἀλλ' εἴγε δὴ μὴ χαλεπόν τι λέγεις τὸ ὑπηρέτημα. Εἰκότως πρὸς τὴν ἐπαγγελίαν τοῦ Σωκράτους ὁ νέος τοιαύτην οὖσαν, ὅτι δύναμιν αὐτῷ περιποιήσει, ἣν οἱ ἄλλοι οὐκ ἐδυνήθησαν, καὶ τὴν αἴτησιν μεγάλην ἐνόμισεν. Διὸ φησίν· εἰ μὴ χαλεπόν τι λέγεις. Ἐνόμιζε γὰρ ἀκόλουθον εἶναι κατὰ τὸ μέγεθος τοῖς ἐπηγγελμένοις τὴν αἴτησιν. Ἰδοὺ δὲ καὶ αὐτὸς ὁμολογεῖ τῷ Σωκράτει ὑπηρετεῖν, εἰ μὴ εἴη τοῦτο βαρύ. Ὁ δὲ ἀποκρίνεται, εἰ χαλεπὸν δοκεῖ τὸ ἀποκρίνεσθαι· ἵνα ἢ ἐκεῖνος ὁμολογῶν ὅτι οὐ χαλεπόν [57]· ἑτοίμως ἀποκρίνεται, τοι-

(52) Scrib. vid. *δόξει*.

(53) Scribendum videtur *ὅταν*, cujus usum sequente *τότε* vide apud Vigerum p. 436.

(54) Scribendum *Πώλου*, est enim persona dialogi Gorgiae, ut Callicles. Thrasimachus autem in libris de Republica loquens inducitur. (55) Scrib. h. l. et inferius *Πρωταγ.*

(56) Vid. Budaei Comm. L. Gr. p. 959 ubi *φαντάζεσθαι* et *ἀναπλάττεσθαι* tanquam Synonyma exhibentur. Luciani locus ibi laudatus est in Somnio §. 2 p. 5 Bip.

(57) Fortasse legendum *ὅτι οὐ χαλεπὸν καὶ ἑτοίμως ἀποκρίνηται. Τοιγαροῦν φησὶν ὁ νέος.* Illud *καὶ* in locum alienum migravit, ante *μόνην*. Vid. seqq.

γαροῦν, φησὶν ὁ νέος, *οὐ χαλεπόν*. Τοῦτο δὲ εὐλόγως. Εἰ μὲν γὰρ Ἀριστοτέλης ἦν ὁ ἐρωτῶν, ἤ τις ἄλλος ἐριστικὸς, πρὸς νίκην καὶ [58] μόνην ὁρῶν, καὶ διὰ τοῦτο ἀγαπῶν τὰ τοῦ προςδιαλεγομένου πταίσματα, δυσχερὲς ἦν καὶ χαλεπὸν τὸ ἀποκρίνεσθαι· ἐπειδὴ δὲ Σωκράτης ἐστὶν ὁ μαιευτικὸς, καὶ πρὸς ὠφέλειαν καὶ διόρθωσιν τῶν νέων σκοπῶν, εἰκότως οὐ χαλεπόν· τοὐναντίον δὲ μᾶλλον, τὸ ἐρωτᾷν, χαλεπὸν, καθάπερ καὶ ἐν ὁδῷ τὸ ἡγεῖσθαι τοῦ ἕπεσθαι. *Οὐκοῦν ὡς διανοουμένου σου ταῦτα ἐρωτῶ* [59]. Κατ' ἐρώτησιν ἀναγνωστέον τοῦτο· πάλιν γὰρ ἐκ τῆς ἀποκρίσεως σαφὲς τὸ τοιοῦτον ὄν· ἀποκρίνεται γάρ· *ἔστω*. Καὶ ἰστέον, ὅτι καὶ ἐν τῇ παρούσῃ ἀποκρίσει ὁ Ἀλκιβιάδης ὑποθετικῶς αὖθις ἀποκρίνεται ῥητορικῇ δεινότητι· ἐπεπαίδευτο γὰρ ταύτην ἱκανῶς παρὰ τῷ Περικλεῖ [60], δεινῷ ὄντι καὶ ἐπιτρόπῳ αὐτοῦ. Φησὶν οὖν· *ἔστω, εἰ βούλοι, οὕτως, ἵνα* [61] *εἰδῶ, ὅ,τι ἐρεῖς*. ὑποθετικὸν γὰρ τὸ *εἰ βούλει*. Καὶ τὰ λοιπὰ δὲ ἠθικῶς εἴρηται, καὶ οὐ χαλεπῶς συγκατανεύοντος. Ἐν τούτοις πεπλήρωται τὸ προοίμιον τοῦ διαλόγου καὶ ἀρχὴ λοιπὸν τοῦ ἐλεγκτικοῦ.

## Ἀρχὴ τοῦ πρώτου τμήματος [1].

## Πρᾶξις σὺν θεῷ ζ΄.

„*Φέρε δή· διανοῇ γάρ, ὡς ἐγώ φημι, παριέναι* „*συμβουλεύσων Ἀθηναίοις.*" Τριῶν ὄντων τούτων στοιχείων ἀγαθοῦ συμβούλου, προαιρέσεως ἀγαθῆς, γνώσεως ἀκριβοῦς, δυνάμεως ἀπαγγελτικῆς [2]· δεῖ γὰρ εὔνουν εἶναι τοῖς

(58) Vid. h. l. del. *καί*.

(59) Interrogandi signum, post Etwallum ab editionibus deletum, Bekkerus restituit.

(60) De Periclis eloquentia vid. versus Eupolidis comici apud Scholiastam Aristophanis Acharn. v. 529. de quibus disputat Wyttenbachius ad Plutarch: de S. N. V. p. 7. Fortasse post *δεινῷ ὄντι* excidit *ῥήτορι* aut *τὴν ῥητορικήν*. (61) Edd. *καὶ εἰδῶ*.

(1) Schol. Ruhnk. p. 70. ita: *φέρε δή*] *ἐντεῦθεν τὸ πρῶτον τοῦ διαλόγου κεφάλαιον, τὸ ἀπαλλάττον τῆς διπλῆς τὸν νεανίσκον ἀγνοίας· ἔστι δὲ ἐλεγκτικόν*.

(2) Arrian. in Dissertt. Epictt. II. 23. in capite *περὶ τῆς τοῦ λέγειν δυνάμεως* p. 320 Schwgh.: *Οὐκ ἄρα τοῦτο ῥητέον, ὡς οὐδεμία δύναμίς ἐστι ἀπαγγελτική* i. e. elocutionis vis atque facultas:

ἀκροωμένοις τὸν σύμβουλον· εἰ δὲ μὴ, οὐκ ἀγαθός· ἀλλὰ μὲν καὶ εἰδέναι ἀκριβῶς, περὶ ὧν μέλλει ἐρεῖν· οὐ γὰρ ἀγνοῶν συμβουλεύσει· ἔτι δὲ καὶ δύνασθαι ταῦτα προάγειν καὶ φράζειν, ἃ ἐνεθυμήθη· ἐπεὶ [3] ἀνωφελῆ τὰ πρότερα δύο· τούτων οὖν ὄντων δείκνυσιν ὁ Σωκράτης ἀπὸ τῆς ἀκριβοῦς γνώσεως μὴ ὄντα σύμβουλον ἀγαθὸν τὸν Ἀλκιβιάδην. Καὶ πρῶτον μὲν χρῆται συλλογισμῷ τοιούτῳ. Ὁ ἀγαθὸς σύμβουλος οἶδε περὶ ὧν μέλλει συμβουλεύειν, καὶ μᾶλλον ἢ οἷς συμβουλεύει. Οὔτε γὰρ ἐπ' ἴσης· μάταιον γὰρ τὰ αὐτὰ διδάσκειν τοὺς γινώσκοντας· οὔτε ἐπ' ἔλαττον· μανικὸν γὰρ τὸν μὴ γιγνώσκοντα τοῖς ἐπιστήμοσιν εἰςηγεῖσθαί τι. Οὐκοῦν ἐξ ἀνάγκης ὁ ἀγαθὸς σύμβουλος μᾶλλον τῶν ἀκροωμένων οἶδε περὶ ὧν συμβουλεύει· ὁ μᾶλλον εἰδὼς ἢ ἔμαθεν ἢ εὗρεν· διττὴ γὰρ ἡ γνῶσις, εἰς μάθησιν διαιρουμένη καὶ εὕρησιν [4]· ἑτεροκινήτως μὲν γὰρ μανθάνομεν, αὐτοκινήτως δὲ εὑρίσκομεν. Οὕτω δὲ καὶ οἱ ποιηταὶ τὸν Ἑρμῆν γνώσεως ἔφορον ὄντα, καὶ ἄγγελον μυθεύουσιν εἶναι, καὶ Μαίας υἱόν [5]. Ἄγγελον μὲν, ὡς μανθάνοντα· ἃ γὰρ μανθάνει, παρ' ἑτέρων ὁ ἄγγελος ἀπαγγέλλει. Μαίας δὲ υἱὸν, ὡς εὑρίσκοντα· ἡ γὰρ μαῖα οὐκ αὐτὴ ταῖς τικτούσαις ἐντίθησι τὰ βρέφη, ἀλλ' ὄντα φωσφορεῖ. Οὕτως οὖν καὶ ὁ εὑρίσκων τοὺς ἐνόντας αὐτῷ λόγους ἀποτίκτει. Εἰ δέ ποτε τὸ μανθάνειν κρεῖσσόν ἐστι τοῦ εὑρίσκειν, (ὡς ἡνίκα [6] παρὰ θεοῦ δι' ὀνείρων μανθάνομεν)· ἰστέον; ὅτι τότε καὶ τὸ ἑτεροκινήτως ἐνεργεῖν τοῦ αὐτοκινήτως αἱρετώτερον· συμφέρει γὰρ ὑπὸ θεοῦ μᾶλλον, ἢ ὑπ' αὐτοῦ ἄγεσθαι. Εἶτα ὁ μαθὼν

De *ἀπαγγελίᾳ* dicendi otium faciunt Toup. ad Longin. p. 472 ed. Weisk. Wyttenb. ad Plutarch. Animadverss. p. 365 sq. et p. 389 sq. et Jos. Bekkerus meus in Specimine Philostrat. p. 15.

(3) *Alioquin enim.* Sed fortassis excidit *ἂν* ante *ἀνωφελῆ*. Vid. Hermann. ad Viger. p. 785 sq. et praecipue p. 929. Pro eo Hellenistae *ἐπεὶ ἄρα* frequentant, docente Valckenar. ad 1 Corinth. VII. 14 in Scholl. N. T. II. p. 209.

(4) In scriptione *εὕρησις* et *εὕρεσις* variatur per hos libros. Illud recentioris Graecitatis est. Contra *εὕρεμα* item *κοινῆς*. Vid. Sturz. de dialect. Aegypt. p. 119 et praecipue Lobeck. ad Phrynich. Eclog p. 445 sq.

(5) Vid. supra Procli cap. 62 sq. et quae ibi annotavimus. Nam ejus vestigia h. l. legit Noster.

(6) Hinc illa *θεόπεμπτα ὀνείρατα*. Vid. modo Artemidori Oneirocrit. Lib. I. p. 20 ed. Reiff. et Lib. IV. cap. 3 p. 320.

ἢ εὑρών, ἢ ἐζήτησεν ἢ ἐδιδάχθη. Τὰ μὲν γὰρ τέλη, τὸ μαθεῖν καὶ εὑρεῖν· ταῦτα δὲ ὁδοὶ, τὸ ζητῆσαι καὶ διδαχθῆναι. ὁ ζητήσας ἢ διδαχθεὶς ἔχει χρόνον εἰπεῖν, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι, ἵνα [7] ἢ φοιτῆσαι εἰς διδασκάλους, ἢ ἐνταλαιπορῆσαι [8] ταῖς ζητήσεσιν. Ὁ ἀγαθὸς ἄρα σύμβουλος ἔχει χρόνον εἰπεῖν, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι. Ἀλλὰ μὲν ὁ Ἀλκιβιάδης τοῦτο οὐκ ἔχει λέγειν· νέος γὰρ ὢν κομιδῆ, καὶ τοῖς ἡλικιώταις συναστραγαλίζων, ὤμνυεν ὑπ' αὐτῶν ἀδικεῖσθαι, ὡς δὴ ἠκριβωμένος τὸ δίκαιον [9].

Καὶ οὕτω μὲν συνθετικῶς προῆλθεν ὁ συλλογισμός. Ἔστι δὲ καὶ ἀναλυτικῶς αὐτὸν προαγαγεῖν, οὕτως. Ὁ ἀγαθὸς σύμβουλος ἔχει χρόνον εἰπεῖν, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι· ὁ τοιοῦτος ἢ ἐζήτησεν, ἢ ἐδιδάχθη· ὁ τοιοῦτος ἢ ἔμαθεν, ἢ εὗρεν· ὁ τοιοῦτος μᾶλλον οἶδε περὶ ὧν συμβουλεύει, ἢ οἷς συμβουλεύει· ὁ ἄρα ἀγαθὸς σύμβουλος μᾶλλον τῶν ἀκροωμένων οἶδε, περὶ ὧν συμβουλεύει. Ἔοικε δὲ ὁ μὲν πρῶτος συλλογισμὸς καθόδῳ ψυχῆς, ἀεὶ προςλαμβανούσῃ καὶ ἐνδυομένῃ τὰ πάθη· ὁ δὲ δεύτερος ἀνόδῳ, ἀεὶ ἀποβαλλούσῃ τὰ πάθη. Ὅτε [10] καὶ λέγοι ἄν τις περὶ αὐτῆς τὸ ποιητικόν· αὐτὰρ ὁ γυμνώθη ῥακέων [11]. Ἐλέγχει δὲ ὁ Σωκράτης τὸν Ἀλκιβιάδην οὐ μόνον διὰ τοῦ εἰρημένου συλλογισμοῦ, ἀλλὰ καὶ δι' ἑτέρου τρόπου τοιούτου, λέγων· ἆρα περί τινων [12] ἂν συμβουλεύσοις Ἀθηναίοις; ἆρα περὶ ὧν γινώσκεις καὶ οἴει εἰδέναι; οἷον περὶ τοῦ παλαίειν, καὶ κιθαρίζειν, καὶ περὶ γραμμάτων· ταῦτα γὰρ ἔμαθες. Ἀλλ' οὐ περὶ τούτων ἐκκλησιάζουσιν, οὐδὲ βουλεύονται· ἀλλ' εἰ ὅλως οὐ περὶ τούτων ἐκκλησιάζουσιν, οὐδὲ βουλεύονται· ἀλλ' εἰ ὅλως οὐ περὶ τοῦ πῶς δεῖ κιθαρίζειν ἢ παλαίειν, ἀλλ' εἰ δεῖ γυμναστὰς ἢ κιθαριστὰς ἢ γραμματιστὰς ἐν τῇ οἰκείᾳ πόλει παραλαμβάνειν. Οὕτω γοῦν καὶ ὁ παρ'

(7) Videtur vitiosum. An leg. ὥςτε? [an φοιτήσαι — ἐνταλαιπωρῆσαι?]

(8) Addatur Lexicis verbum compositum ἐνταλαιπωρεῖν. Colorem autem duxisse videtur de classico loco Thucydidis I. 20 οὕτως ἀταλαίπωρος ἡ ζήτησις τῆς ἀληθείας.

(9) Alcib. I. p. 110. A. Bip. T. V. Bekk. II, 3. p. 318.

(10) Vid. scr. ὅθεν.

(11) Vid. Odyss. χ, 1. Locus jam in antecedentibus a Nostro citatus. (12) Scr. περὶ τίνων.

Ομήρῳ Ἀχιλλεὺς, πολιτικὸς ὢν, οὐκ αὐτος ἐμαντεύσατο τοῖς Ἕλλησιν, ἀλλὰ συνεβούλευσε μάντει χρῆσθαι [13]. Καὶ πάλιν ὁ Θεμιστοκλῆς οὐκ αὐτὸς ἐναυπήγησε τὰς τριήρεις, ἀλλ' εἰςηγήσατο κατασκευάζειν ναυτικὸν, λύσας τὸν χρησμόν· τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ [14]. Εἰκότως δὲ τοῦτο. Αἱ γὰρ ἐπαναβεβηκυῖαι τέχναι οὐ φθείρουσι τὰς ὑπ' αὐτὰς, προλαμβάνουσαι τὰ ἐκείνων, ἀλλὰ τοὐναντίον καὶ συνιστῶσιν [15]· ἵνα οὕτως ἡ φιλοσοφία μείνῃ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, σωζομένων τῶν τεχνῶν μετ' αὐτὴν καὶ οὕτως αὐταῖς παρέχουσα τὰς ἀρχάς. — Οὐκοῦν οὐ περὶ ὧν γινώσκεις καὶ οἴει εἰδέναι συμβουλεύσειας· οὐ γὰρ περὶ τούτων, ὡς εἴρηται, βουλεύονται· ἀλλ' οὐδὲ περὶ ὧν ἀγνοεῖς καὶ νομίζεις μὴ εἰδέναι· ἡ γὰρ ἁπλῆ ἄγνοια οὐκ ἔστιν ἁμαρτάδος [16] αἰτία· ἀλλὰ μὴν οὐδὲ περὶ ὧν ἀγνοεῖς καὶ νομίζεις εἰδέναι· τοῦτο γὰρ διπλῆς ἀμαθίας· εἰδότος δὲ περὶ ἑκάστου ἡ συμβουλὴ, καὶ οὐ πλουτοῦντος. Τὸ δὲ ἕτερον σκέλος ἀσύστατόν ἐστι· φημὶ δὲ τὸ εἰδέναι μὲν, οἴεσθαι δὲ μὴ εἰδέναι, ἤτοι ἀγνοεῖν ὅτι οἶδεν. Ἡ γὰρ ἐπιστήμη, φῶς οὖσα, οὐ λανθάνει τὸν ἔχοντα. Καὶ αὕτη μὲν ἡ διαίρεσις, δι' ἧς πάλιν ὁ Ἀλκιβιάδης ἐλέγχεται, μὴ ὢν ἀγαθὸς σύμβουλος κατὰ γνῶσιν. Τρία δὲ ταῦτα ἐπαιδεύοντο ἐν Ἀθήνησι, γράμματα, κιθαρίζειν, παλαίειν, διὰ τὸ ἐπικοσμεῖν, ὡς ἐν ἀρχῇ προείρηται [17], τὴν τριμέρειαν τῆς ψυ-

(13) Vid. Iliad. α,62—64.

(14) Integrum Oraculum est apud Herodotum VII, 141. cujus hi versus huc pertinent:

*Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς*
*Μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ' ὀνήσει.*

(15) An *συνιστᾶσιν*? [proxime *ἐκείνων, ἀρχάς* etc. levia, et fort. *τὰ ὑπ' αὐτάς*.]

(16) Ionicam dicunt terminationem. Vid. Herodot. I. 167. Neque tamen enotata est in Porti Lexico. At vero ex Procopio Suidas I. p. 133 citat: *αἱ τῶν γυναικῶν ἁμαρτάδες*. Adde Zonar. L. Gr. p. 146.

(17) Nimirum in Prooemio de vita Platonis p. 3 sq. ed. Etwall. p. 2. sq. stereotyp. Lips. ubi haec leguntur: *τρία δὲ καὶ ταῦτα ἐπαιδεύοντο οἱ Ἀθήνησι παῖδες· φημὶ δὲ γράμματα, μουσικὴν, παλαίειν· οὐχ ἁπλῶς· ἀλλὰ γράμματα μὲν, διὰ τὸ κοσμεῖν τὸν λόγον, τὸν ἐν αὐτοῖς· μουσικὴν δὲ, διὰ τὸ τιθασσεύειν τὸν θυμὸν, παλαίειν δὲ, καὶ γυμνάζεσθαι, διὰ τὸ ἀναῤῥωννύναι τὸ τῆς ἐπιθυμίας χαλαρόν.* Unde nostro loco medicina petenda est. De varietate: *ἐν Ἀθήνησι* et *Ἀθήνησι* non est quod dicamus post Schaeferum ad Lamb. Bos. de Elips. p. 699 sq.

χῆς· διὰ μὲν τῶν γραμμάτων τὸν λόγον, διὰ δὲ τῆς κιθάρας τὸν θυμὸν τιθασσεύοντες, διὰ δὲ τοῦ παλαίειν ῥωννῦντες τὴν ἐπιθυμίαν καὶ ἀμάλθακτον αὐτὴν ποιοῦντες [18]. Ἐπάγει δὲ, ὅτι αὐλεῖν δέ γε οὐκ ἤθελες [19]. Διὰ πολλὰς δὲ αἰτίας οὐκ ἐπετήδευου [20] τὸν αὐλόν· πρῶτον μὲν, ὅτι ἐκστατικὸς οὗτος καὶ μᾶλλον ἐνθουσιαστικὸς, καὶ οὐ παιδευτικός. Ἐν μὲν γὰρ τῷ κιθαρίζειν δύνατον καὶ λόγῳ χρῆσθαι, ἐν δὲ τῷ αὐλεῖν οὐδαμῶς· οὐ μόνον δὲ αὐτὸς οὐ δύναται λόγῳ χρῆσθαι, ἢ ᾄδειν, ἀλλ' οὐδὲ ἄλλου ᾄδοντος ἀκούειν· θορυβώδης γὰρ οὗτος. Διὸ κιθαρῳδία μὲν εἴρηται, αὐλῳδία δὲ οὔ. Καὶ ἡ Ἀθηνᾶ δὲ διὰ τοῦτο τὸν αὐλὸν ἀπέῤῥιψεν ὡς ἐμπόδιον ὄντα τῷ λόγῳ [21]. (ἔφορος δὲ σοφίας ἡ θεός)· ὡς δὲ φασὶν οἱ ποιηταί· διότι τὸ πρόσωπον ἀπρεπὲς ἑώρα. Ἢ καὶ τοῦτο νοητέον οὕτως· ὅτι πρόσωπον τῆς ἀπηχήσεως ὁ λόγος, ὁ δὲ αὐλὸς τῷ λόγῳ πολέμιος. Καὶ ὁ ποιητὴς [22] δὲ τοῖς Ἕλλησιν ἀποδίδωσι πανταχοῦ τὸ κιθαρίζειν· οὐδαμοῦ δὲ αὐτοὺς εἰςήγαγεν αὐλοῦντας· ἀλλὰ τοῖς Τρωσὶ, βαρβάροις οὖσιν, ἀπένειμεν τὸν αὐλόν [23]· περὶ ὧν καὶ τό. Τρῶες μὲν κλαγγῇ ἐνοπῇ τ' ἴσαν, ὄρνιθες ὥς, εἴρηκεν [24]. Καλῶς δὲ τούτοις τὸν αὐλὸν ἀποδέδωκεν, ὡς Φρυξίν· ἐν Φρυγίᾳ γὰρ λέγεται εὑρε-

Deinde illud ἐπικοσμεῖν displicet, etiam Accusativi caussâ cum Dativum semper fere adjunctum habeat. Utut est: post τὸν λόγον inserendum est *κοσμοῦντες*. Formam ἀμάλθακτον agnoscunt Suidas I. p. 132 et Zonar. p. 141 explicantes ἀνένδοτον, i. e. quod cedere nescit, non remittit. cf. Paul. Silent. in Anthol. gr. T. III. p. 81. IV. p. 51 Jacobs: ἀμαλθάκτοισιν ἐνὶ φρεσίν.

(18) De tribus hisce animi partibus: λόγῳ, θυμῷ et ἐπιθυμίᾳ, vide Platonis Phaedrum; Galenum de Hippocrat. et Platon. Placitt. VI. 2 p. 182 Chart. et quos plures laudavi ad Plotin. de pulcrit. p. 159; adde Wyttenbachii Disput. de Vett. Philosophorum sentent. de vita et statu animorum post mortem corp. pag. LVI. Laudat Rigaltius in notis ad Onosandri strateg. p. 9. Olympiodori locum de λόγῳ, θυμῷ et ἐπιθυμίᾳ, quem vid. supra p. 33: ὁ θυμὸς ἐπιθυμίας κτλ.

(19) Laudat haec Platonis Noster etiam in Prooem. I. l.

(20) Scrib. fort. ἐπετήδευε.

(21) Vid. instar omnium Hygin. Fab. CLXV. p. 278 sq. ed. Straveren, et ibid. interpp.

(22) I. e. Homerus, vid. v. c. Iliad. σ,570.

(23) Vid. Iliad. κ,13.

(24) Vid. Il. γ,2. [ubi: κλαγγῇ τ'.]

θῆναι ὁ αὐλὸς περὶ τὰ μυστήρια καὶ τοὺς ἐνθουσιασμούς· ἔνθα καὶ ὁ Μαρσύας ἦν, ὃς ἀγωνισάμενος περὶ μουσικῆς πρὸς Ἀπόλλωνα ἡττήθη χρώμενος αὐλῷ, ἐκείνου δὲ κιθάραν ἔχοντος [25]. Καὶ αὐτὸς δὲ ὁ Ἀλκιβιάδης περὶ τῶν Θηβαίων ἔφη· αὐλείτωσαν Θηβαίων παῖδες, διαλέγεσθαι γὰρ οὐκ ἴσασιν [26]. Ἐν οἷς ἡ θεωρία.

Φέρε δή, διανοῇ [27] γάρ, ὡς ἐγώ φημι. Ζητητέον, διὰ τί ἀπὸ τῆς γνώσεως μόνης ἐλέγχει τὸν νέον ὁ Σωκράτης, οὐχὶ δὲ καὶ ἀπὸ τῶν ἄλλων. Ἔφαμεν, ὅτι ἀπὸ τῆς ἀπαγγελτικῆς δυνάμεως οὐκ ἐδύνατο· ᾔδει γὰρ αὐτὸν ταύτην ἔχοντα διὰ Περικλέους, ᾧ συνέτριψε πρότερον· ἐκ τούτου οὖν ῥητορικὸς ἦν τὴν φύσιν, ἀλλ' οὐδὲ ἀπὸ τῆς προαιρέσεως· καὶ γὰρ ἀγαθὸς ἦν ἐκ τοῦ ἀνάλωτον εἶναι τῷ φιλοχρηματῳ πάθει, καὶ μεγαλοφρονεῖν ἐπὶ τοῖς ὑπάρχουσι, καὶ ὑπερφρονεῖν τῶν ἄλλων ἐραστῶν. — Εἰ οὖν μέλλοντός σου ἰέναι ἐπὶ τὸ βῆμα· ὡς πρὸς ῥητορικὸν διαλεγόμενος, πανταχοῦ προσφόροις ὀνόμασι κέχρηται, ὥςπερ καὶ νῦν. Ἀκροατὰς γὰρ αὐτῷ καὶ θέατρον ἀποδίδωσι· τίθησι δὲ καὶ βῆμα, κἀκεῖνον ἄττοντα τοῦ νέου πάθη χαλιναγωγήσῃ [28] καὶ τὴν πρὸς τὸ συμβουλεύειν ὁρμήν. Φησὶν οὖν, λαβόμενος ἐροίμην. — Ἆρ' ἐπειδὴ περὶ ὧν σὺ ἐπίστασαι βέλτιον, ἢ οὗτοι; Ἰδοὺ πρώτη πρότασις, ὅτι ἀγαθὸς σύμβουλος μᾶλλον οἶδε περὶ ὧν μέλλει συμβουλεύειν, ἤπερ οἷς συμβουλεύει. Οὔτε γὰρ ἐπ' ἔλαττον, μανικὸν γὰρ οὔτε ἐπ' ἴσης, καὶ γὰρ μάταιον. Οὐκοῦν ταῦτα μόνον οἶσθα, ἃ παρ' ἄλλων ἔμαθες, ἢ αὐτὸς ἐξεῦρες. Ἡ δευτέρα πρότασις, ὅτι ὁ μᾶλλον εἰδὼς ἢ ἔμαθεν, ἢ ἐξεῦρεν· διττὴ γὰρ ἡ γνῶσις, ὡς μεμαθήκαμεν. Τί δέ; ἠθέλησας ἂν ζητῆσαι, ἢ μαθεῖν. Ἡ τρίτη πρότασις· ὅτι ὁ μαθὼν ἢ εὑρών, ἢ ἐζήτησεν ἢ ἐδιδάχθη· τὰ μὲν γὰρ ὁδοί, ταῦτα δὲ τέλη· τὸ δὲ μαθεῖν ἀντὶ τοῦ διδαχθῆναι ἀκουστέον. Ἦν χρόνος ὅτε οὐχ ἡγοῦ εἰδέναι. Ἡ

(25) Vide quae in hanc rem congessit Bœttigerus in libro, qui inscribitur Attisches Museum I, 2. p. 279—358 et quae plura laudavimus ad Procli in Alcib. caput. 67.

(26) Vid. Plutarch. Alcib. c. 2. (27) Scr. διανοεῖ.

(28) Mendum inesse videtur huic loco. An legendum — βῆμα, ἵνα ἐκείνῳ ἄττοντα κτλ.? Nihil decerno. Moser.

τετάρτη πρότασις καὶ τελευταῖα· ὅτι ὁ ζητήσας ἢ διδαχθεὶς ἔχει χρόνον εἰπεῖν, ὅτε οὐκ ᾤετο εἰδέναι. Ἰστέον δὲ, ὅτι ὁ μὲν προσυλλογισμὸς ἐν πρώτῳ σχήματι ἐστὶν, ὁ δὲ συλλογισμὸς ἐν δευτέρῳ. Ἔστι γὰρ ὁ μὲν προσυλλογισμὸς οὗτος· ὁ ἀγαθὸς σύμβουλος μᾶλλον οἶδε, περὶ ὧν συμβουλεύει, ἢ οἱ συμβουλευόμενοι, ὁ τοιοῦτος ἢ ἔμαθεν ἢ εὗρεν· ὁ τοιοῦτος ἢ ἐζήτησεν ἢ ἐδιδάχθη· ὁ τοιοῦτος ἔχει χρόνον εἰπεῖν, ὅτε οὐκ ᾤετο εἰδέναι· ὁ ἀγαθὸς ἄρα σύμβουλος ἔχει χρόνον, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι· Ὁ δὲ συλλογισμὸς λαμβάνων τὴν τελευταίαν ἀποδειχθεῖσαν πρότασιν ἐν τῷ προσυλλογισμῷ προέρχεται ἐν δευτέρῳ σχήματι οὕτως. Ὁ ἀγαθὸς σύμβουλος ἔχει χρόνον εἰπεῖν, ὅτε οὐκ ᾤετο εἰδέναι· ὁ Ἀλκιβιάδης οὐκ ἔχει χρόνον εἰπεῖν, ὅτε οὐκ ᾤετο εἰδέναι· ὁ Ἀλκιβιάδης ἄρα οὐκ ἀγαθὸς σύμβουλος. Ἰστέον δὲ, ὅτι αὐτὸς μὲν πλατύτερον ἐξήπλωσε τὸν συλλογισμὸν, ἡμεῖς δὲ τάξιν ἀπενείμαμεν αὐτῷ συλλογισμοῦ. Ἀλλὰ μὴν ἅ γε μεμάθηκας, σχεδόν τι καὶ ἐγὼ οἶδα. Καλῶς τὸ σχεδὸν πρόςκειται· εἰκὸς γὰρ τὸν Ἀλκιβιάδην εἰδέναι σκευάριον, ὃ ἐν τῷ αὐτῷ οἴκῳ ἔκειτο, ὅπερ ὁ Σωκράτης οὐκ ἐγίνωσκεν. Αὐλεῖν δέ γε οὐκ ἤθελες. Ἀληθές· αὐτοῦ γάρ ἐστι περὶ Θηβαίων εἰπόντος· αὐλείτωσαν Θηβαίων παῖδες, διαλέγεσθαι γὰρ οὐκ ἴσασιν. — Οἶμαι δὲ [29] οὔτε νύκτωρ, οὔτε μεθ᾽ ἡμέραν ἐξιὼν ἔνδοθεν. Τουτέστιν· οὐ μεμάθηκας ἄλλοτι, πλὴν τούτων, εἴγε οὐδέποτε λέληθάς με. Καθάπερ ὁ Διομήδης τὴν Ἀθηνᾶν, πρὸς ἣν φησὶν οὐ νύ σε λήθω κινούμενος [30]. δίκην γὰρ συνειδότος ἑκάστῳ [31] τῶν πράξεων ἐμῶν παρακολουθοῦντος. Οὕτω καὶ ὁ Σωκράτης συνῆν ἀεὶ τῷ Ἀλκιβιάδῃ. Πότερον οὖν, ὅτ᾽ ἂν περὶ γραμμάτων Ἀθηναῖοι βουλεύονται [32]. Ἐνταῦθα ὁ δεύτερος ἔλεγχος, ὃν ἡμεῖς ὑπὸ διαίρεσιν ἀνηγάγομεν· ὅτι ἡ συμβουλὴ ἢ περὶ ὧν οἶδε καὶ νομίζει εἰδέναι, ἢ περὶ ὧν οὐκ οἶδε μὲν, νομίζει δὲ εἰδέναι, ἢ περὶ ὧν οὔτε οἶδεν, οὔτε νομίζει εἰδέναι. Καὶ τὸ τέταρτον σκέλος καὶ ἀσύστατον

(29) In Edd. est: *οἶμαι δέ γε.* [supra scr. *τελευταία*].
(30) Vid. Iliad. *κ*,279. ubi est *κινύμενος*. Ulyssis haec verba esse, neque vero Diomedis, supra ad finem Sect. *ε*. monuimus.
(31) Leg. *ἑκάστῃ*. (32) Edd. *ὅταν — βουλεύωνται*.

ἔφαμεν εἶναι τὸ εἰδέναι μὲν, νομίζειν δὲ μὴ εἰδέναι [33]. Κατὰ πάντα οὖν ταῦτα διδάχαμεν [34] μὴ δυνάμενον ἀγαθὸν σύμβολον [35] γενέσθαι. Ἡ δὲ λέξις δύο [36] μόνον μέμνηται, τοῦ εἰδέναι καὶ νομίζειν εἰδέναι. Περὶ τούτων δὲ οὐδέποτε Ἀθηναῖοι ἐκκλησιάζουσιν· εἴγε κιθαρίζειν καὶ παλαίειν καὶ γράμματα μόνον ἔμαθον. Καὶ περὶ ὧν οὐκ οἶδε μὲν, γινώσκει δὲ, ὅτι οὐκ οἶδεν. Ἐπάγει γὰρ, ὅτι οὔτε περὶ οἰκοδομίας αὐτοῖς συμβουλεύσεις. Ταύτην δὲ μὴ εἰδὼς ὁ Ἀλκιβιάδης ᾔδει, ὅτι οὐκ οἶδεν. Οὐ γάρ που ὅτ' ἂν δὲ [37] περὶ οἰκοδομίας. Ἰστέον, ὅτι οὐχ ὡς εὐτελοῦς ὄντος τοῦ περὶ οἰκοδομίας συμβουλεύειν εἶπεν ὁ Σωκράτης, ὅτι οὐ τότε συμβουλεύσεις, ὅτε περὶ οἰκοδομίας βουλεύονται [38], ἀλλ' ὡς ἀγνοοῦντος τοῦ Ἀλκιβιάδου τὴν οἰκοδομίαν· ἐπήγαγε γάρ· ὅτι ὁ οἰκοδόμος ταῦτά γε σοῦ βέλτιον βουλεύσει [39]. Ἀντὶ τοῦ ἀκριβῶς τὰ περὶ τῆς οἰκοδομίας· φυλαττόμενος γὰρ τοῦτο καὶ παράδειγμα ἀπὸ τιμιωτέρας τέχνης [40]. ἐπήγαγεν εἰπών· οὐδὲ μὴν ὅτ' ἂν περὶ μαντικῆς· ἵνα δείξῃ, ὅτι οὐ τὸ τίμιον ἢ ἄτιμον τοῦ ὑποκειμένου παρασκευάζει συμβουλεύειν, ἢ μὴ, ἀλλ' ἡ περὶ τῶν προκειμένων ἀκριβὴς γνῶσις· ὡς γὰρ καὶ ἐφεξῆς εὐθέως φησίν· εἰδότος γὰρ, οἶμαι, περὶ ἑκάστου ἡ συμβουλὴ, καὶ οὐ πλουτοῦντος. — Οὐδὲ μὴν, ὅταν περὶ μαντικῆς. Διττή ἐστιν ἡ μαντικὴ παρὰ Πλάτωνι· ἡ μὲν μαντική τις οὖσα ὡς ἐν Φαίδρῳ φησὶν [41], ἥτις ἐνθουσιαστική ἐστι καὶ

(33) Gemina fere *de duplici inscientia*, quam Platonici dicunt, in Sententiis suis produnt Persarum Philosophi: in eâ tamen ratione, quam et supra et hoc loco Olympiodorus tuetur, discrepant. Argumento est *Γνώμη* Persica, quam nuper in: Fundgruben des Orients primum edidit vir elegantissimus Josephus de Hammer VI. 3. p. 351. ubi versiculus tertius ita habet: „*Qui scit et se scire nescit*, is asino suo aegre parabit stabulum." Sive Plauti vestigia pressius legere malueris: „is ipse asinus aegre habebit stabile stabulum" i. e. is utcunque tantum proficiet in melius.

(34) Scrib. *δεδιδάχαμεν*. (35) Scr. *σύμβουλον*.

(36) Possis: *δυοῖν* vel *δυεῖν*. Sed tamen Olympiodorus, utpote Herodoti Thucydidisque lector, pro Indeclinabili videtur usurpare.

(37) Scrib. ex Edd. *ὅταν γε*.

(38) Scr. vid. *ὅταν — βουλεύωνται*. (39) Edd. *συμβουλεύσει*.

(40) *Τιμ. τεχν.* Tu vero legito Vitruvii de Architectura cap. I. p. 4 sq. ed. Schneider.

(41) Vid. Platon. Phaedr. p. 244. a. b. c. Bip. T. X. — Bekk. I, 1. p. 35 sq. Pro *μαντική τις* videtur legendum *μανική τις*. Ad-

θεία· ἡ δὲ οἷον μαντευτικὴ καὶ ζητητικὴ, ἥτις καὶ τέχνη ἐστὶ, περὶ ἧς νῦν διαλέγεται, ὅτι περὶ ταύτης ἄμεινον ὁ μάντις συμβουλεύσει ἢ σύ· περὶ γὰρ τῆς προτέρας, ὡς μήτε διδακτῆς οὔσης, οὔτε [42] συμβουλεύσει τίς ∴

## Πρᾶξις σὺν θεῷ η'.

Ὅτ' ἂν οὖν περὶ τίνος σκοπῶνται [1], τότε σὺ ἀνιστάμενος ὁ συμβουλεύσων ὀρθῶς ἀναστήσῃ [2]; Πάλιν, ὡς εὐφυὴς ὁ Ἀλκιβιάδης καὶ ῥητορικὸς, ἀποφεύγει τὰς Σωκρατικὰς ἐρωτήσεις. Δειχθεὶς γὰρ μὴ ἀξιόχρεως ὢν σύμβουλος, μήτε περὶ ὧν οἶδε καὶ οἴεται εἰδέναι, οἷον γραμμάτων, κιθαρῳδίας, πάλης· (οὐ γὰρ περὶ τούτων Ἀθηναῖοι συμβουλεύονται, πῶς δεῖ αὐτοῖς χρῆσθαι, ἀλλ' εἰ ὅλως δεῖ γραμματιστὴν ἢ ἀθλητὴν ἢ κιθαριστὴν ἐν τῇ οἰκείᾳ πόλει παραλαμβάνειν;) ἀλλὰ μὴν οὔτε περὶ ὧν οὐκ οἶδεν οὔτε οἴεται εἰδέναι· ἡ γὰρ ἁπλὴ [3] ἄγνοια οὐχ ἁμαρτημάτων αἰτία· ἔτι δὲ οὔτε περὶ ὧν οὐκ οἶδε μὲν, οἴεται δὲ εἰδέναι· εἰδότος γὰρ περὶ ἑκάστου ἡ συμβουλὴ, καὶ οὐ πλουτοῦντος. Τὸ δὲ ἕτερον σκέλος ἀσύστατον ἐδείχθη, τὸ εἰδέναι μὲν, οἴεσθαι δὲ μὴ εἰδέναι. Φῶς γὰρ οὖσα ἡ ἐπιστήμη, οὐ λανθάνει τὸν ἔχοντα· δειχθεὶς οὖν ἐν τούτοις μὴ ἀξιόχρεως ὢν σύμβουλος, καὶ ἐρωτηθεὶς ὑπὸ τοῦ Σωκράτους, ὅτε οὖν περὶ τίνος βουλεύονται [4]; Ἀθηναῖοι, συμβουλεύσεις αὐτοῖς; εἰδὼς τὴν διαίρεσιν ἄφυκτον οὖσαν, ἐᾷ μὲν αὐτὸν, ἔξωθεν δὲ ἀποκρίνεται λέγων· ὅταν περὶ τῶν ἑαυτῶν πραγμάτων. Καὶ εἰ μὲν κατὰ φιλοσόφους ὑποθήκας ἑαυτοὺς μὲν ἐκάλει τὰς ψυχὰς καὶ τὰς κυρίως οὐσίας, πράγματα δὲ τὰς ἐνεργείας, καλῶς ἂν αὐτῷ εἶχεν ἡ ἀπόκρισις, εἰ καὶ μὴ ἐδύνατο περὶ τούτων συμβουλεύειν· ἐπειδὴ δὲ οὐχ οὕτως, ἀλλ' ἀδιορίστως ἀπεκρίνατο, ἐρωτᾷ πάλιν αὐτὸν ὁ Σωκράτης· ποίων πραγμάτων ἄρα, ὅτε [5] περὶ ναυπηγίας; καὶ καλῶς ἐχρήσατο

hibe his Ammonium in *μανία* et *μαντική* p. 92 et Valckenarii Animadvv. p. 148 sq.

(42) Scrib. vid. *οὐδὲ*.

(1) Ex correct. (2) Edd. recc. *ἀναστήσει*. (3) Scr. *ἁπλῆ*.
(4) Scrib. *ὅταν* — *βουλεύωνται*. (5) Scr. *ὅταν*.

τῷ παραδείγματι· εἰ γὰρ μὴ οἰκεῖον πολιτικοῦ [6] τὸ ναυπηγεῖν, ἀλλ' οὖν [7] τὸ περὶ ναυπηγίας συμβουλεύειν· οἷον ποίας δεῖ εἶναι τὰς ναῦς, ἄρα στενὰς καὶ μακράς, οἷ' [8] εἰσὶν αἱ τριήρεις· ἢ στρογγύλας καὶ πλατείας, οἷαι αἱ ἐμπορικαί [9]. Τοιοῦτο γὰρ καὶ ὁ Θεμιστοκλῆς, μὴ ναυπηγῶν αὐτός, περὶ ναυτικοῦ συνεβούλευεν λύσας τὸν χρησμόν. Ἀποκλίνεται δὲ ὁ Ἀλκιβιάδης, ὅταν περὶ πολέμου καὶ εἰρήνης βουλεύονται [10]. Καὶ ἰστέον, ὅτι πέντε ὄντων εἰδῶν, περὶ ὧν ἐστὶν ἡ συμβουλὴ καὶ γίνεται, ὡς Ἀριστοτέλης ἡμᾶς ἐν ῥητορικαῖς τέχναις ἐδίδαξε [11], κατὰ συζυγίαν προερχομένων, ἢ γὰρ περὶ νόμων εἰςηγήσεως καὶ ἀρχόντων καταστάσεως· (καὶ γὰρ καὶ ὁ νόμος οἷον ἄρχων τις ἐστὶν ἄψυχος, ὥςπερ καὶ τὸ ἀνάπαλιν, ὁ ἄρχων νόμος ἔμψυχος·) ἢ περὶ πόρου καὶ ἀναλωμάτων ἢ περὶ εἰσαγωγίμων καὶ ἐξαγωγίμων· ἢ περὶ φυλακῆς πόλεως καὶ χώρας· ἢ περὶ πολέμου καὶ εἰρήνης· αὐτὸς ἐάσας τὰ ἄλλα φησίν, ὅταν περὶ πολέμου καὶ εἴρηνης. Τοῦτο δὲ διὰ τρεῖς αἰτίας πεποίηκεν· ἢ γὰρ ὡς φιλόνεικος ὤν, καὶ κατὰ τὸ φιλόνεικον εἶδος τῆς ζωῆς ζῶν, περὶ πολέμου καὶ εἰρήνης φησίν. Εἰ μὲν γὰρ ἀριστοκρατικὸς ἦν, περὶ νόμων εἰσηγήσεως ἂν εἶπε

(6) Sic ex corr. (7) Add. vid. *οὐδὲ*. (8) Scr. *οἷαι*. [et *ἆρα* oblique, ut Plat. Phaedon. p. 70 E.]

(9) Ulpianus in Demosth. Leptin. p. 599. E. p. 138 ed. F. A. Wolf. *Πλοίῳ στρογγύλῳ. — φορτηγῷ δηλονότι. Μακρὰ γὰρ τὰ πολεμικὰ ὀνομάζουσιν.* cf. Scheffer. de varietat. navium init. et quos plures laudat Olearius ad Philostrat. Vit. Apollon. III. 35 p. 126. ubi *μακρῷ μὲν πλοίῳ μὴ ἐςπλεῖν ἐς* (cod. Schellershem. omittit praepositionem). *αὐτὴν Αἰγυπτίους*. Heroïcâ tamen aetate et aliquanto post Graecorum naves longas commerciis inserviisse intelligitur ex uno Herodoto. Cf. Larcher. ad I. 2. p. 180 et ad III. 163 p. 460 sq.

(10) Leg. *βουλεύωνται*.

(11) Vid. Aristot. Rhetoric. I, 4. p. 16 Sylb. ubi hoc ordine recensentur: *Σχεδὸν γάρ, περὶ ὧν βουλεύονται πάντες, καὶ περὶ ἃ ἀγορεύουσιν οἱ συμβουλεύοντες, τὰ μέγιστα τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα· ταῦτα δ' ἐστὶ, περί τε πόρων, καὶ πολέμου καὶ εἰρήνης· ἔτι δὲ, περὶ φυλακῆς τῆς χώρας, καὶ τῶν εἰςαγομένων καὶ ἐξαγομένων, καὶ περὶ νομοθεσίας.* In Rhetorica vero ad Alex. c. III. p. 231. p. 164 Sylb. septem enumerat res, de quibus consultandum sit: *ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν εἰσιν ἑπτὰ τὸν ἀριθμὸν προθέσεις, περὶ ὧν δημηγορήσομεν· ἀνάγκη γάρ ἐστι καὶ βουλεύεσθαι καὶ λέγειν ἡμᾶς ἐν βουλῇ καὶ δήμῳ ἢ περὶ ἱερῶν ἢ περὶ νόμων, ἢ περὶ τῆς πολιτικῆς κατασκευῆς, ἢ περὶ τῶν πρὸς ἄλλας πόλεις συμμαχιῶν καὶ συμβολαίων, ἢ περὶ πολέμων, ἢ περὶ εἰρήνης, ἢ περὶ πόρου χρημάτων.*

καὶ ἀρχόντων καταστάσεως. Εἰ δὲ ὀλιγαρχικὸς ἦν, περὶ πόρου καὶ ἀναλωμάτων, καὶ εἰσαγωγίμων καὶ ἐξαγωγίμων· τούτων γὰρ μάλιστα οἱ ὀλιγάρχικοὶ φροντίζουσιν. Εἰ δὲ δημοκρατικὸς ἦν, περὶ τοῦ τετάρτου ἄρ' ἔλεγε, τουτέστι περὶ φυλακῆς πόλεως καὶ χώρας· ἀντιποιοῦνται γὰρ ταύτην [12] διὰ τὴν ἰσηγορίαν καὶ τὸ πάντας ἴσον δύνασθαι. Νῦν δὲ, ὡς φιλόνεικος, περὶ πολέμου καὶ εἰρήνης εἶπεν. Ἢ οὖν διὰ τοῦτο, ἢ ὅτι στρατηγικὸς ὢν, περὶ τῶν οἰκείων ἑαυτῷ ἐφρόντιζεν· οἰκεῖον γὰρ στρατηγοῦ πόλεμος καὶ εἰρήνη [13]. Ἢ διὰ τρίτην αἰτίαν, ὅτι ἑώρα τοὺς Ἀθηναίους θαμὰ περὶ τοῦ πολεμεῖν βουλευομένους ἐν τῷ καιρῷ τούτῳ, ποτὲ μὲν πρὸς Μεγαρέας, ποτὲ δὲ πρὸς Αἰγινήτας καὶ ἄλλους πολλούς. Τριχῶς δὲ ἁμαρτάνει κατὰ τὴν ἀπόκρισιν ὁ Ἀλκιβιάδης. Πρῶτον μὲν, ὅτι οὐ πρὸς ὀλιγώτερον [14] μέρος τοῦ συμβούλου, ἤτοι τοῦ πολιτικοῦ, ἀπέβλεψε, κοινὸν ὑπάρχον τῶν ε̄ προειρημένων εἰδῶν, τουτέστι τὸ συμφέρον, ἀλλὰ πρὸς τὸ δίκαιον· εἴγε, ὡς δείξομεν, ὁ πόλεμος ἀεὶ διὰ τὸ δίκαιον γίνεται. Δεύτερον, ὅτι καὶ πρὸς μερικὸν ἀπιδὼν, οὐ προηγούμενον εἶπε τοῦτο, ἀλλὰ περιστατικόν· ἐκ περιστάσεως γὰρ ἐρχόμεθα πρὸν το πολεμεῖν. Τρίτον, ὅτι καὶ περιστατικὸν εἰπὼν, οὐκ ἀπὸ τοῦ κρείττονος καὶ κατὰ φύσιν ὄντος ἤρξατο, τῆς εἰρήνης, φημὶ, ἀλλ' ἀπὸ τοῦ πολέμου, χείρονος ὄντος καὶ παρὰ φύσιν· διὸ καὶ ὁ Σωκράτης ἐπανορθούμενος αὐτὸν λέγει ἐφεξῆς ἀπὸ τοῦ κρείττονος ἀρξάμενος, περὶ εἰρήνης φὴς καὶ πολέμου. Ὅτι γὰρ παρὰ φύσιν ὁ πόλεμος δῆλον κἀκ τῶν ἡμετέρων σωμάτων. Ἡνίκα μὲν γὰρ ἠρεμεῖ τὰ στοιχεῖα, ἐν τῷ κατὰ φύσιν ἐσμέν· ἡνίκα δὲ μάχεται ἀλλήλοις, πλεονάζοντος ἑκάστου, τότε ἐν τῷ παρὰ φύσιν. Ὅτε [15] μὲν τριχῶς ὁ Ἀλκιβιάδης ἁμαρτάνει· δεικτέον δὲ καὶ, ὅτι τὸ τέλος τοῦ πολέμου τὸ δίκαιον, καὶ ὅτι τούτου ἐφιέμενοι πολεμοῦσιν οἱ ἄνθρωποι. Δείκνυμεν δὲ τοῦτο διὰ δ' ἐπιχειρημάτων. Πρῶτον μὲν, εἰ οἱ μέγιστοι

(12) Leg. ταύτης.
(13) Laudavit hunc Olympiodori locum Rigaltius ad Onosandri Strategetic. p. 3.
(14) An fort. legendum ὀλιγαρχικώτερον?
(15) Vid. scr. ὥστε v. ὅθεν.

πόλεμοι διὰ τὸ δίκαιον ὁμολογοῦνται γενέσθαι· οἷον ὁ Τρωϊκὸς [16], καὶ ὁ Περσικός. Δεύτερον, εἰ καὶ ὁ φυσικὸς πόλεμος διὰ τὸ δίκαιον γίνεται, ὅτε τὰ ἐναντία μάχεται ἀλλήλοις περὶ τοῦ ὑποκειμένου τόπου, λάφυρον ἔχειν τοῦτο βουλομένου ἑκάστου. Τρίτον· ὅτι νεκροὺς καὶ ἀνουσίους ἑαυτοὺς ἡγοῦνται οἱ ἄνθρωποι, ἡνίκα ἀδικοῦνται, διὸ κινοῦσι τὸν πόλεμον. Οὐ γὰρ, ὥςπερ τῶν ἄλλων ἀρετῶν ἑκάστη, δι' ἑνὸς μορίου μόνον πεφοίτηκε τῆς ψυχῆς· οἷον ἡ μὲν σωφροσύνη διὰ τοῦ ἐπιθυμητικοῦ, ἡ δὲ φρόνησις διὰ τοῦ λογικοῦ, ἡ δὲ ἀνδρεία διὰ τοῦ θυμικοῦ· οὕτω καὶ ἡ δικαιοσύνη· οὐκ ἔστι γάρ. Ἀλλὰ διὰ πάσης τῆς τριμερίας [17] ἐχώρησε τῆς ψυχῆς· διὸ καὶ ὁμοτίμως ἕκαστον μόριον ἀντιποιούμενον τῆς δικαιοσύνης, αἶρεται [18] τὸν πόλεμον ὑπὲρ αὐτῆς. Τέταρτον, ὅτι ἄλλο μὲν τέλος στρατιώτου, ἄλλο δὲ ῥήτορος, ἄλλο δὲ στρατηγοῦ· οὕτω καὶ ἄλλο τέλος πολιτικοῦ. Τῷ μὲν στρατιώτῃ τέλος, τὸ πλουσίῳ [19] γενέσθαι ἀπὸ τῶν λαφύρων· τῷ δὲ ῥήτορι, τὸ διὰ τῶν λόγων πεῖσαι πρὸ τῶν ὅπλων, ἵνα εἰ μὴ πείσοι τότε παρασκευάσῃ τὸν στρατηγὸν διὰ τῶν ὅπλων βιάσασθαι τοὺς ἐναντιουμένους, ὥστε τὸ δίκαιον ποιῆσαι. Οὕτω γὰρ καὶ οἱ παρ' Ὁμήρῳ ῥήτορες, Ὀδυσσεὺς καὶ Μενέλαος, πρὸ τῆς μάχης πεποίηνται πρεσβευόμενοι πρὸς τοὺς Τρῶας [20]. Στρατηγοῦ δὲ τέλος ἡ νίκη καὶ τὸ τῶν πολεμίων κρατῆσαι· καὶ οὐχ ἁπλῶς ἑνὸς ἑκάστου τὸ τῆς νίκης ἐστίν· εἰ γὰρ τοῦ κοινοῦ παντὸς ἡ νίκη, ἡγεμὼν δὲ τοῦ κοινοῦ ὁ στρατηγὸς, δῆλον ὅτι καὶ τὸ τοῦ κοινοῦ κατόρθωμα εἰς τοῦτον ὁρᾷ, τουτέστιν ἡ νίκη. Διὸ καλῶς εἴρηται· ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται [21]· τοῦ δὲ πολιτικοῦ τέλος τὸ ἀγαθοὺς καὶ χρηστοὺς

(16) Vid. Herodot. I. 1—5.

(17) Cf. Proclum in hunc dialog. p. 216; ubi tamen, sicut in antecedentibus Olympiodori libri paginis, *τριμέρεια* codices offeruut.

(18) Scrib. *αἱρεῖται*.

(19) *Στρατιώτῃ — πλουσίῳ γενέσθαι*. Hunc locum Olympiodori ex Cod. MS. laudat Rigaltius ad Onosandri Strategic. p. 15. in notis, ubi plane scriptum est, ut in nostro libro, nisi quod paulo inferius perperam omittitur *πρὸς* ante *τοὺς Τρῶας*.

(20) Vid. Iliad. *γ*,205 sq. ib. Schol. Il. *λ*,139 sq. cf. *ὑποθεσ.* ad Iliad. *α*, et Tzetzae Antehomeric. v. 154 sqq. ib. Jacobs.

(21) Ex Euripidis Andromachâ vs. 697. Hoc integro Pelei carmine adversus Alexandrum usus erat Clitus, uti produnt Plutarchus in Alex. cap. 51 p. 240 Coray et Curtius VIII. 1.

ποιῆσαι τοὺς πολίτας αὐτούς, οὐ γὰρ τὸ νικῆσαι· (πολλαὶ γάρ εἰσι Καδμεῖαι νίκαι [22], πολλοῖς ἧτται συνήνεγκαν·) ποιεῖν οὖν αὐτοὺς ἀγαθούς, διὰ τὸ τοὺς πολεμίους ἀδικοῦντας ἀπείργειν καὶ ἀποδιδόναι τοῖς μὲν νικήσασι τὸ δίκαιον, καὶ τὸ μὴ ἀποστερηθῆναι τῶν οἰκείων, τοῖς δὲ ἡττηθεῖσι, τὸ μὴ τῶν ἀλλοτρίων κρατεῖν. Δίκαιον γὰρ καὶ τοῦτο· ὥστε δέδεικται τέλος ὂν τοῦ πολέμου τὸ δίκαιον.

Καὶ ταῦτα μὲν ἔξωθεν. Ὁ δὲ Σωκράτης δείκνυσι τὸν νέον μηδὲ περὶ τούτων ἀξιόχρεων ὄντα σύμβουλον, διὰ τῶν αὐτῶν λόγων, ὧν καὶ πρότερον· οὐ γὰρ δέος, μὴ κατατριβῶσιν οἱ λόγοι δίκην τῶν παλαιῶν σκευαρίων τῶν ἐν πολλῇ χρήσει παραλαμβανομένων· δείκνυται δὲ μήτε [23] περὶ πολέμου καὶ εἰρήνης ἀγαθὸς ὢν σύμβουλος ὁ Ἀλκιβιάδης, ἐπειδὴ οὔτε ἔμαθεν, οὔτε εὗρεν, οὔτε ἐζήτησε τὸ δίκαιον, ὅπερ τέλος τοῦ πολέμου· πρὸς δὲ τοῦτο παραλαμβάνει ὁ Σωκράτης δύο παραδείγματα, τὸ τῆς γυμναστικῆς, καὶ τὸ τῆς μουσικῆς, οἰκεῖα ὄντα καὶ σαφῆ. Δεῖ γὰρ τὰ παραδείγματα καὶ σαφέστατα [24] εἶναι ὧν εἰσὶ παραδείγματα, καὶ οἰκεῖα τούτοις· οἷάπερ εἰσὶ τὰ παρόντα· σαφῆ μέν, ἐπειδὴ ταῦτα προεπεπαίδευτο ὁ Ἀλκιβιάδης, οἰκεῖα δέ, ἐπειδὴ καὶ ἡ πάλη μικρός τις ἐστὶ πόλεμος· ἡ δὲ μουσικὴ καὶ αὕτη οἰκεία τῇ εἰρήνῃ διὰ τὸ ἐν ἀμφοτέραις θυμηδίαν [25] εἶναι. Ἐν δὲ τούτοις οὔτε ἄμφω διδάσκει ὁ Σωκράτης· οὐ γὰρ ἐβούλετο διδάσκαλος μόνον εἶναι, ἀλλὰ καὶ μαιευτής· οὔτε ἄμφω ἐρωτᾷ, ἄγονος γὰρ ἔμελλεν εἶναι ἡ μαιεία, μηδὲν προδιδαχθέντος τοῦ νέου· τὰ μὲν οὖν διδάσκει, τὰ δὲ ἐρωτᾷ, καὶ προτάττει τὴν διδασκαλείαν τῆς ἐρωτήσεως, οὐχ

(22) De hoc proverbio vide supra ad Proclum cap. 75. p. 221. [scr. νῖκαι.] (23) Scr. vid. μηδὲ.

(24) Aut legendum σαφέστερα, aut tenendus Superlativi usus pro Comparativo; de quo optime nuper praecepit Hermannus ad Viger. p. 718 sq.

(25) Alciphron. Epist. I. 12. p. 68 sq. Ἐγένετο οὖν μοι μουσικῆς ἡ ἄκατος πλέα, καὶ ἦν ᾠδικὸν τὸ πέλαγος, καὶ πᾶν θυμηδίας ἀνάμεστον. Ita Wagnerus suadente Dorvillio ad Charit. p. 434 Lips. Sed Cod. noster Palatinus in vulgatâ perseverat: θυμιθίας (leg. θυμηδίας) ἀνάπλεων· De voce vid. Bergler. et Wagner. ibid. p. 75. Adde Suid. II. p. 211. Zonar. p. 1062 ibique Tittmann. De constructione verbi θυμηδέω adde Corajum ad Heliodor. Aethiop. X. 38. in Σημειωσ. p. 367.

ἁπλῶς, ἀλλ' ἵνα γόνιμος ἐντεῦθεν ἔσεται [26] ἡ μαιεία. Καὶ διδάσκει μὲν ἕν, ἐρωτᾷ δὲ δύο· ἐπάγει γὰρ τρία, καὶ τί τέλος τοῦ πολιτικοῦ. Οὐ μάτην δὲ δύο ἐρωτᾷ, ἀλλ' ἵνα πλουσιωτέρα τῆς διδασκαλίας ἡ μαιεία γένηται. Διδάσκει οὖν τὸ πρῶτον λέγων· ὅτι καθάπερ ἐγὼ τὸ κατὰ τὴν γυμναστικὴν ὀρθῶς ἔχον, ἤτοι τὸ τέλος τῆς γυμναστικῆς, λέγω εἶναι τὸ γυμναστικῶς· οὕτω καὶ σὺ λέγε μοι τί τὸ τέλος τῆς μουσικῆς· καὶ μετὰ πολλὰ ἀποκρίνεται ὁ νέος, ὅτι τὸ μουσικῶς. Ἰστέον δὲ, ὅτι τριττόν ἐστι τὸ μουσικῶς· ἢ γὰρ ἐν ᾠδῇ, ἢ ἐν ῥυθμῷ, ἢ ἐν μέλει. Θεωρεῖται δὲ ἡ μὲν ᾠδὴ ἐν μέτρῳ· οὐδὲν γάρ ἐστιν ᾠδὴ, ἢ λόγος ἔμμετρος, καὶ τέλος αὐτῆς, ἢ τὸ ᾠδικῶς ἢ τὸ ἐμμέτρως. Πάλιν δὲ ὁ ῥυθμὸς θεωρεῖται ἐν ἄρσει καὶ θέσει, καὶ τέλος αὐτοῦ τὸ ἐνρύθμως [27]· τὸ δὲ μέλος ἔστιν ἐν ἁρμονίᾳ· τέλος δὲ αὐτοῦ ἢ τὸ ἐμμελῶς, ἢ τὸ ἁρμονικῶς. Πάλιν δὲ ἐρωτᾷ, τί τέλος τοῦ πολιτικοῦ, καὶ ὁμοίως μετὰ πολλὰ ἀποκρίνεται, ὅτι τὸ δίκαιον· καὶ ἀπορεῖ ὁ φιλόσοφος Πρόκλος ἐνταῦθα, πῶς ἐπὶ μὲν τῶν ἄλλων παρωνύμως ἔλεγε τὰ τέλη· ἀπὸ μὲν τῆς γυμναστικῆς τὸ γυμναστικῶς, ἀπὸ δὲ τῆς μουσικῆς τὸ μουσικῶς, ἐπὶ δὲ τοῦ πολιτικοῦ οὐχ οὕτως πεποίηκεν· οὐ γὰρ εἶπε τέλος αὐτοῦ τὸ πολιτικῶς. Καὶ λύει τοῦτο ὁ αὐτὸς παγκάλως, λέγων, ὅτι καὶ ἐνταῦθα παρωνύμως εἶπε· τάχα δὲ οὐ παρωνύμως, ἀλλ' ὡς ἀφ' ἑνός· ἐν δὲ τοῖς ἀφ' ἑνὸς οὐ χρεία κοινωνίας ὀνομάτων καὶ διαφορᾶς, ἀλλὰ μόνον πράγματος καὶ διαφορᾶς. Οὐ διαφέρει δὲ δικαιοσύνη πολιτείᾳ [28], ἢ τῷ μικρῷ καὶ μεγάλῳ. Ὃ γὰρ δικαιοσύνη ἐν ψυχῇ, τοῦτο πολιτεία ἐν πόλει. Διὸ καὶ ὁ Πλάτων τὴν Πολιτείαν ἐπέγραψε· πολιτεία ἢ περὶ δικαίου [29]· ταῦτα ἔχει ἡ θεωρία·

(26) De constructione ἵνα — ἔσεται vide Viger. de Idiot. p. 557. a. b. (lit. f.) p. 851. et Valckenar. ad 1 Corinth. IV. 6. in Scholl. N. T. II. p. 163.

(27) Infra hoc vocabulum aliquoties scribitur ἔῤῥυθμος et utrumvis recte habet. cf. modo Ast. ad Platon. Legg. II. 1. p. 94.

(28) Scr. πολιτείας.

(29) De Dialogorum Platonicorum inscriptionibus, ab argumento sumtis, vide quae supra citavimus in Prooemio ad Proclum §. 1. not. 1.

Ὅταν οὖν περί τινος [30] σκοπῶνται, καὶ τὰ ἑξῆς. Ἐπειδὴ διὰ τῶν φθασάντων ἐδείχθη ὁ νέος ἐν οὐδενὶ σκέλει τῆς εἰρημένης διαιρέσεως ἀξιόχρεως ὢν σύμβουλος, ἐρωτᾷ νῦν αὐτὸν ὁ Σωκράτης, ἐν ποίοις οὖν αὐτὸς ἀναστήσῃ συμβουλεύσων, εἴγε ἐν τοῖς προλαβοῦσιν οὐ φὴς συμβουλεύσειν; Ὁ δὲ, ὡς εὐφυὴς, οὔτε ἀπὸ τῆς διαιρέσεως ἀποκρίνεται, εἰδὼς αὐτὴν ἄφυκτον οὖσαν, οὔτε δὲ ἀπορεῖ ἀποκρίσεως, ἀλλὰ φησὶν ἔξωθεν ἀπροσδιορίστως· ὅταν περὶ τῶν ε̄ αὐτῶν [31] πραγμάτων. — τῶν περὶ ναυπηγίας λέγεις. Τοῦ νέου ἀπροσδιορίστως χρησαμένου τῇ ἀποκρίσει ὁ Σωκράτης ἐρωτᾷ ταῦτα· καὶ καλῶς ἐχρήσατο τῷ παραδείγματι· οὐ γὰρ ἀπρόσφορον· εἴγε δυνατὸν ἔστιν ὅτε τῷ πολιτικῷ περὶ νεῶν κατασκευῆς συμβουλεύειν, εἰ καὶ μὴ αὐτὸς ναυπηγεῖ. Ὁ δὲ Ἀλκιβιάδης ἀρνεῖται λέγων· οὐκ ἔγωγε, ὦ Σώκρατες. Καὶ ἰστέον ὅτι [32] διὰ τὸ εὐτελὲς τοῦ παραδείγματος φησὶ μὴ συμβουλεύσειν περὶ τούτων, ἀλλὰ διὰ τὸ ἀγνοεῖν· οἴδει [33] γὰρ ὠφέλη τὸ παρὰ τοῦ Σωκράτους, ὅτι εἰδότος περὶ ἕκαστον [34] ἡ συμβουλὴ, καὶ οὐ πλουτοῦντος· ὅτι δὲ τοῦτο αἴτιον, δῆλον καὶ ἐκ τῶν ἐπαγομένων. Τοῦ γὰρ Σωκράτους ἐρωτήσαντος, ἆρα ἐπειδὴ σὺ ναυπηγεῖν οὐκ ἐπίστασαι· ὁ νέος συνέθετο· ὅταν περὶ πολέμου, ὦ Σώκρατες, ἢ περὶ εἰρήνης, ἢ ἄλλου του τῶν τῆς πόλεως πραγμάτων. Ἰδοὺ ὁ Ἀλκιβιάδης οὐ μόνον περὶ πολέμου φησὶ συμβουλεύσειν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων δὲ [35] τεσσάρων συζυγιῶν· ταύτας γὰρ εἰςάγει, διὰ τοῦ εἰπεῖν· ἢ ἄλλου του. Καὶ ζητητέον· διὰ τί

(30) Scrib. *περὶ τίνος* ut est in Edd.
(31) Corr. ex Edd. *ἑαυτῶν*.
(32) Scribendum *ὅτι οὐ διὰ τὸ εὐτελὲς*. Ita enim noster supra circa finem sectionis ζ′: *ὅτι οὐχ ὡς εὐτελοῦς ὄντος κτλ.* Et vero ipsa sententia poscit negationem.
(33) Quod sibi velit *ὠφέλη* haud facile dixeris. Non satisfacit *ὀφέλη*. Fuit etiam, cum conjicerem: *ἤδη γὰρ ὠφέλετο* vel *ὠφείλετο* vel *ὠφέλλετο*, eo sensu, ut sit: jam enim a Socrate reprehensus (quasi mulctatus) fuerat, dicente etc. Optimum vero videtur scribere vel *ἤδη γὰρ ὠφελήθη*, vel, minore etiam mutatione, *ὠφέλητο*, edoctus erat eoque commodum perceperat, ut dicere solet. Moser. (34) Scr. *ἑκάστου*.
(35) Delendum videtur *δὲ* ortum procul dubio a numero δ′, quo id ipsum, quod sequitur, *τεσσάρων*, significatum erat. Potest etiam deleri *τεσσάρων* et servari δ′.

ἐπὶ μὲν τῶν ἄλλων ἀνωνύμως εἶπεν, ἐπὶ δὲ τοῦ πολέμου οὐ μόνον ὀνομαστὶ, ἀλλὰ καὶ ἐν ἀρχῇ εὐθέως τοῦ λόγου αὐτὸν ἔταξεν. Ἢ φαμέν· ὅτι καθ' ἣν ζωὴν ζῶμεν, κατὰ ταύτην καὶ τὰ πρῶτα ῥήματα φθεγγόμεθα. Δηλοῦται γὰρ διὰ τῶν πρώτων ἡμῶν φωνῶν, ποῖος ὁ βιὸς ἡμῶν, καὶ τίσιν ἡδόμεθα. Ἐπειδὴ οὖν στρατηγικὸς καὶ ἀήττητος ὡμολόγηται γενέσθαι, οὕτω προήγαγε τὸν λόγον. Ἱστορεῖται γὰρ, ὅτι ἔνθα ἂν ἔῤῥιψεν, ἐνίκα, καὶ πολλὴν ἐποίει ῥοπήν. Ὥστε εἰκότως περὶ τῶν οἰκειοτέρων αὐτῷ, καὶ ὅπου μάλιστα ἴσχυεν, ἀπεκρίνατο. Ἆρα λέγεις, ὅταν βουλεύωνται πρός τινας [36] χρὴ εἰρήνην ποιεῖσθαι, καὶ τίσι πολεμεῖν, καὶ τίνα τρόπον; Ἰστέον, ὅτι ἐπανορθούμενος τὸν νέον ὁ Σωκράτης, ὡς προείρηται, τὸ κατὰ φύσιν προέταξεν εἰπών· πρὸς τίνας χρὴ εἰρήνην ποιεῖσθαι; Παραλαμβάνει δὲ ἐνταῦθα πάντα τὰ περιστατικὰ, οἷον πρόσωπον, πρὸς τίνας δεῖ πολεμεῖν, ὁμόρους ἢ ξένους, τίνα τρόπον, ναυμαχοῦντας, ἢ πεζομαχοῦντας; ἐν ποίᾳ γῇ, τῇ ἡμετέρᾳ, ἢ τῶν πολεμίων; ἐν ποίῳ χρόνῳ, θέρους, χειμῶνος; καιρῷ, νύκτωρ, μεθ' ἡμέραν; Εἰ οὖν βουλεύοντο [37] Ἀθηναῖοι, τίσι χρὴ προςπαλαίειν, ἢ τίσιν ἀκροχειρίζεσθαι [38], ἐνταῦθα ἄρχεται τῶν παραδειγμάτων ὁ Σωκράτης καὶ παραλαμβάνει πάλιν καὶ ἐνταῦθα πάντα τὰ περιστατικά. Ἰστέον δὲ, ὅτι ἐοίκασι τὰ παραδείγματα τοῦ Σωκράτους σπινθῆρι· ὥςπερ γὰρ ὁ σπινθὴρ, ἐν θημονίᾳ ἀχύρων [39] ἐμπεσὼν μεγάλην ἐγείρει πυρκαϊὰν, οὕτω καὶ ἐκ τῶν παραδειγμάτων τοῦ Σωκράτους ἐκλάμπουσιν οἱ καθόλου λόγοι τῆς ψυχῆς. — Σὺ δ' ἐκεῖνο τί καλεῖς, οὐκ ἐννοῶ [40]. Διδάξας ὁ Σωκράτης, τί τέλος τῆς γυμναστικῆς, μαίευται [41] τὸν νέον εἰπεῖν, τί τέλος τῆς μουσικῆς. Ὁ δὲ φησὶν ἀπορεῖν, καὶ ζητητέον,

(36) Scrib. *πρὸς τίνας* ut in Edd.
(37) Scrib. ex Edd. *βουλεύοιντο*.
(38) Vid. Schol. in Plat. p. 70. Ruhnk. jam supra laudatum nobis ad Procl. p. 174.
(39) De hac formâ vid. Lobeck. ad Phrynich. Eclog. p. 166. Mitto etymologiam quam recoxit Etymol. Gud. p. 101. de voce breviter monui ad Nathanaelis Antirrhet. p. 426 sq. ad calc. Plotin. de pulcr.
(40) In Edd. est: *σὺ δέ γ' ἐκεῖνο τί καλεῖς; ΑΛΚ. οὐκ ἐννοῶ* Bekk. p. 309.
(41) Scrib. vid. *μαιεύεται*.

πῶς εὐφυὴς ὢν ὁ Ἀλκιβιάδης οὔτε μαιευόμενος λέγει τὸ ἐρωτώμενον. Πρὸς τοῦτο δὲ οἱ μὲν φασίν· ἐπειδὴ καὶ κοινὸν ἦν τέλος τῆς μουσικῆς τὸ μουσικῶς· ἦν δὲ καὶ τοῦ κατ' εἶδος· οἷον τῆς μὲν ᾠδῆς τὸ ᾠδικὸν τὸ ἔμετρον [42]· τὸ δὲ ῥυθμοῦ, τὸ ῥυθμικὸν ἢ τὸ ἁρμονικόν· τοῦ δὲ μέλους τὸ ἐμμελές· ἠπόρει, πότερον τὸ κοινὸν ἀπαιτεῖται τέλος, ἢ τὸ κατ' εἶδος ἕκαστον. Καὶ διὰ τοῦτο εἶπεν· οὐκ ἐννοῶ. Ἀλλ' αὕτη ἐξήγησις οὐ συνᾴδει τῷ ῥητῷ· μικρὸν γὰρ ὕστερον ἐπὶ λέξεως ἁπάσης τῆς μουσικῆς ἐρωτώμενος τὸ τέλος οὐδ' οὕτω λέγει. Ἔστιν οὖν ἡ ἀληθινὴ λῦσις· ὅτι ὁ μὲν Σωκράτης τὰ τρία εἴδη ὡς ἓν εἰδώς, ὡς ἓν καὶ ἐρώτησε τὸν νέον· ὁ δὲ τὰ τρία μαθὼν ὡς τρία, ἠπόρει ποῖον ἀποκρίνεται· ἄρα τὸ ᾠδικόν, ἢ τὸ ἐμμελές, ἢ τὸ ἔῤῥυθμον. Ὅτι γὰρ ὡς ἓν ὁ Σωκράτης ᾔδει τὰ τρία, δῆλον ἐντεῦθεν, ἐκ τοῦ πολιτικὸν αὐτὸν εἶναι· ὁ δὲ πολιτικός, βουλομένῳ τινὶ τυχὸν [43] ἀνδρεῖα ἤθη μαθεῖν, πρῶτον ἐντίθησιν αὐτῷ τοιαύτας ἐννοίας, εἶτα λέξεις αὐταῖς ἐπιτηδείας ἐφευρίσκει καὶ μέτρον· ἡ γὰρ ᾠδὴ λόγος ἔμμετρος. Τελευταῖον δὲ καὶ μέλη ἐπάγει τοιαῦτα, ἐξ ὧν ἁπάντων ἀνδρεῖα ἤθη παρασκευάζει. Ὀρθῶς δὲ δήπου ἔχει τὸ κατὰ τὴν τέχνην γινόμενον. Ἰστέον, ὅτι οὐ τὸ τίμιον ὑποκείμενον ὀρθῶς ἔχειν ποιεῖ· οὐ γὰρ ταὐτὸν κάλλιστον καὶ τὸ κατὰ τέχνην γινόμενον· κἂν γὰρ αἰσχρὸν ᾖ τὸ ὑποκείμενον, κατὰ δὲ τέχνην γίνεται [44], ὀρθῶς ἔχει. Οἷον οὐχ ὁ κάλλιστον γράφων Θερσίτην, οὗτος κατὰ τέχνην γράφει αὐτόν· οὐδ' ὁ τὸν ὀφθαλμὸν ἀπὸ τοῦ τιμιωτάτου τῶν χρωμάτων, οἷον τοῦ κυανοῦ. Ἀλλὰ τότε ἔστιν εἰπεῖν ταῦτα ὀρθῶς ἔχειν, ὅτε κατὰ τέχνην γράφει τις τὸν Θερσίτην, κἂν αἰσχρὸς ᾖ, καὶ ἐκ τῶν προσφόρων χρωμάτων τὸν ὀφθαλμόν, εἰ καὶ μὴ ἐκ τοῦ τιμίου. Ἴθι δὲ [45] καὶ σύ. Πολὺ τὸ ἴθι [46] ἔστιν εὑρεῖν παρὰ τῷ Πλάτωνι· οἰκεῖον δὲ τοῦτο ψυχῇ καταβατικῶς [47] νοούσῃ τὰ πράγ-

(42) Scrib. ἢ τὸ ἔμμετρον.

(43) I. e. forte. (44) Scr. vid. γίνηται. [Ad rem cf. Lessing. Laoc. c. XXIII.] (45) Scr. ex Edd. δή.

(46) Vid. Etymolog. m. p. 479. p. 435. cf. Etymol. Gud. p. 274. et p. 284 Fischer. ad Weller. II. p. 505 sq. Sturz. Lex. Xenoph. in ἰέναι nr. 8. p. 561. et Findeisen. ad Platon. Gorg. p. 381.

(47) *Καταβατικῶς* accedat Lexicis. Et tenendum est, h. l. ei opponi *ἀθρόως*. Est igitur: „animae, quae res intelligit deorsum

ματα, καὶ οὐκ ἀθρόως καθάπερ ὁ νοῦς, ἐπάγει δὲ τό· πρέποι γὰρ ἄν που καὶ σοὶ τὸ καλῶς διαλέγεσθαι. Τουτέστι, καλῷ ὄντι σοι πρέπει τὸ καλῶς περὶ τῶν πραγμάτων ἐρεῖν· τίς ἡ τέχνη, ἧς τὸ κιθαρίζενν καὶ τὸ ᾄδειν καὶ τὸ ἐμβαίνειν ὀρθῶς συνάπασα τίς[48] καλεῖται. Ἰδοὺ ἐνταῦθα κοινῶς τῶν τριῶν εἰδῶν ἐρωτώμενος εἰπεῖν τὸ τέλος οὐ λέγει. Τὸ μὲν οὖν κιθαρίζειν ἐπὶ τοῦ μέλους εἶπε, τὸ δὲ ᾄδειν ἐπὶ τῆς ᾠδῆς, τὸ δὲ ἐμβαίνειν ἐπὶ τοῦ ῥυθμοῦ· κοινὸν γὰρ ὄνομα ἡ βάσις, ἄρσεως καὶ θέσεως, ἅπερ εἰσὶ τοῦ ῥυθμοῦ· Πῶς οὖν οὔτε ὅλης τῆς μουσικῆς δύναται τὸ τέλος εἰπεῖν; Ἢ τοῦτο λυτέον κατὰ τὴν εἰρημένην δευτέραν ἐξήγησιν. Ἰστέον δὲ, ὅτι τὸ ὅλον παρὰ τῷ Πλάτωνι τριττόν ἐστιν· ἢ πρὸ τῶν μερῶν· ἢ ἐν τῷ μέρει· ἢ ἐν τοῖς μέρεσι. Καὶ πρὸ μὲν τῶν μερῶν ἐστι, τῷ λόγῳ· τὶς ἀποβαλὼν ὀδόντα πάλιν φύει ἕτερον, ὡς τῆς φύσεως ἐχούσης τοὺς λόγους τοῦ καθόλου· ἐν δὲ τῷ μέρει ἐστὶν, ὡς ὅταν τις ἀπὸ μέρους γνῷ τὸ ὅλον, ὥςπερ οἱ Πελοπίδαι, ἀπὸ τοῦ ὤμου ἐλεφαντίνου ὄντος[49]· καὶ τὸ ἐν τῇ παροιμίᾳ λεγόμενον· ἐξ ὄνυχος τὸν λέοντα[50]· ὡς τοῦ μέρους ἑκάστου τοὺς καθολικοὺς λόγους ἔχοντος. Ἐν δὲ τοῖς μέρεσίν ἐστι τὸ ἐν τῇ ἀθροίσει τῶν μερῶν καὶ τῇ συστάσει πάντων θεωρούμενον, ὅπερ οὐ συνίσταται μέρους ἀφαιρουμένου. Ἐνταῦθα οὖν ἐπὶ τῆς μουσικῆς τὸ πρὸ τῶν μερῶν λέγει, καὶ τὸ ἐν τῷ μέρει καθόλου, ἐν τῷ λέγειν τό· συνάπασα. Καὶ γὰρ καὶ χωρὶς ὄντος ἑνὸς τῶν εἰδῶν τὰ λοιπὰ μουσικὰ λέγεται· τίν' αἱ θεαὶ, ὧν ἡ τέχνη τὰς Μούσας, ὦ Σώκρατες[51]. — Τοῦ νέου ἐπὶ πολὺ ἀποροῦντος ὁ Σωκράτης μαιευόμενος τοῦτον, ὥστε ἀποτεκεῖν ἀφ' ἑαυτοῦ, τί τὸ τέλος τῆς μουσικῆς, εἰς μνήμην ἄγει τὰς Μούσας, καὶ διὰ αὐτῶν τὴν

„et quasi per gradus labendo ad inferiora neque vero simul omnes „et junctim."

(48) Aut delendum hoc alterum *τίς*, aut scribendum videtur *συνάπασά τις*. De hoc usu vid. Viger. de Idiot. p. 151 sq. et Weiskii libr. de Pleonasmm. graecc. p. 79 sq. Interprr. ad Gregor. Corinth. p. 8 ed. Schaefer. ibiq. laud. Boisson. ad Eunap. p. 127 sq.

(49) Vid. Pind. Olymp. I, 41 sq. ib. Schol. ad v. 58.

(50) Cf. Adagia Erasmi et all. p. 125.

(51) In Edd. est: *τίνες αἱ θεαὶ ὧν ἡ τέχνη; ΑΛ. τὰς Μούσας ὦ Σώκρατες, λέγεις*; Bekk. p. 310. (II, 3.)

μνημοσύνην [52], ἵνα ἐντεῦθεν ἀνακινήσῃ τὴν ἐν τῇ ψυχῇ μνήμην τοῦ νέου, καὶ διὰ τοῦ τῶν Μουσῶν ὀνόματος χειραγωγούμενος εἴπῃ τὸ τέλος τῆς μουσικῆς εἶναι τὸ μουσικῶς.

## Πρᾶξις σὺν θεῷ θ'.·.

Ἴθι δὲ [1] καὶ τὸ ἐν τῷ πολεμεῖν βέλτιον. Ἐρωτηθεὶς ὁ Ἀλκιβιάδης, τί τὸ τοῦ πολέμου τέλος, καὶ δέον αὐτὸν εἰπεῖν, ὅτι τὸ δίκαιον, διότι ἕνεκεν [2] τοῦ δικαίου ἐρχόμεθα ἐπὶ τὸ πολεμεῖν, καθάπερ καὶ οἱ ἰατροὶ ἐπὶ τὰς νόσους, ἕνεκεν τῆς ὑγιείας καὶ τοῦ εἰς κρᾶσιν ἀγαγεῖν τὰ στοιχεῖα καὶ συμφωνίαν· δίκαιον γάρ πως καὶ τοῦτο, ὥςτε μὴ πλεονάζειν ἕτερον ἑτέρου· ὁ δὲ οὐ τοῦτο ἀποκρίνεται, ἀλλά φησιν, ὅτι ἐρχόμεθα ἐπὶ τὸ πολεμεῖν ἢ ἀπατώμενοι, ἢ βιαζόμενοι, ἢ ἀποστερούμενοι. Τριχῶς δὲ ἐν τούτοις ἁμαρτάνει, πρῶτον μὲν ὅτι, ἓν ἐρωτηθεὶς, τρία ἀπεκρίνατο· δεύτερον, ὅτι οὐχ ἁπλᾶ ταῦτα, ἀλλ' ἐπαμφοτερίζοντα· δύναται γάρ τις τούτοις καὶ ἐπ' ἀγαθῷ χρήσασθαι· οἷον ἐάν τινος παρακαταθήκην δόντος ξίφος, εἶτα μανέντας, καὶ ἐν τῷ καιρῷ τῆς μανίας ἀπαιτοῦντι τοῦτο μὴ παράσχοιμεν, δι' ὅρκων αὐτὸν ἀπατήσαντες καὶ ψευσάμενοι· οὐ γὰρ ἀποδεκτέον νῦν τὸν ποιητὴν ἐν τῷ ψεῦδος δ' οὐκ ἐρεῖς [3]· ἀλλ' ἐν ἐκείνῳ μᾶλλον· ψευδόσυνος κέκαστο, θεὸς δ' ὡς τίετο δήμῳ. Ἔστι δὲ ὅτε οὔτε ψευδόμενοι, ὀμνῦντες μηδὲν εἰληφέναι παρ' αὐτοῦ· καὶ γὰρ ὅτε

(52) *Μνημοσύνη* Musarum mater. Hesiod. Theog. 54. Cic. de N. D. III, 21. p. 590—592. ed. nostrae ibiq. annot. (1) Edd. *δή*.

(2) Laudavit hunc Olympiodori locum Rigaltius ad Onosandri Strategic. p. 15. ubi omittitur *καὶ* post *καθάπερ*, pro *νόσους* in margine Cod. MS. esse dicitur *νήσους* et pro *πως* scribitur *πῶς*.

(3) Vid. Hom. Odyss. γ,20. ubi est *ψεῦδος δ' οὐκ ἐρέει*. Qui sequitur versus hexameter claudicans non est apud Homerum, quamquam plures sint, in quibus legitur: *θεὸς δ' ὡς τίετο δήμῳ*, v. c. Il. ε,78. κ,33. λ,58. Sed ad sensum cum nostro convenit Od. τ,395 sq. *ὃς ἀνθρώπους ἐκέκαστο Κλεπτοσύνῃ θ' ὅρκῳ τε· θεὸς δέ οἱ αὐτὸς ἔδωκεν.* — Voluit fortasse *ψευδοσύνῃ ἐκέκαστο*, ex memoria laudans locum Homericum, pro *κλεπτοσύνῃ* novo quodam, et ad analogiam efficto, vocabulo procusso, *ψευδοσύνη*, quod etiamnum in Lexicis non est receptum. Moser. Hoc etiam propterea probabile est, quoniam eundem Odysseae τ locum Proclus ad eundem dialogum adhibuit, cujus interpretis vestigia Noster saepenumero legere assolet.

δέδωκεν, ὑγιαίνων δέδωκε, νῦν δὲ ἀπαιτεῖ μαινόμενος· καὶ τότε μὲν ὡς παρακαταθήκην παρέσχεν, νῦν δὲ ὡς ὄργανον ἀπαιτεῖ· ὥστε οὔτε ὁ αὐτός ἐστιν ὁ δεδωκὼς οὔτε [4] ἄλλος, οὔτε τὸ αὐτὸ, ἀλλὰ ἄλλο. Καὶ βιαζόμενοι δὲ καὶ ἀποστεροῦντες τὸν τοιοῦτον ἐπ' ἀγαθῷ πράττομεν ταῦτα. Τρίτον ἁμαρτάνει, ὅτι αὐτὸς μὲν ὡς τρία προήγαγε τὸ ἀπατᾶσθαι ἢ βιάζεσθαι ἢ ἀποστερεῖσθαι. Κοινὸν δὲ ἔστιν εἰπεῖν ἐπ' αὐτῶν τὴν ἀδικίαν· καὶ γὰρ ἀπατώμενοι καὶ ἐρχόμενοι ἐπὶ τὸ πολεμεῖν, ὡς ἀδικούμενοι τοῦτο ποιοῦμεν, καὶ βιαζόμενοι ὁμοίως καὶ ἀποστερούμενοι. Ἔδει οὖν αὐτὸν, τὸ κοινὸν εἰπόντα, μὴ οὕτως ὡς τρία ταῦτα προαγαγεῖν· οὕτω μὲν τριχῶς ἁμαρτάνει. Διχῶς δὲ ἀποδεκτέον ἐν τούτοις τὸν νέον· πρῶτον μὲν, ὅτι διὰ πάσης τῆς τριμερείας τῆς ἡμῶν ψυχῆς διῆλθε κατὰ τὴν ἀπόκρισιν. Διὰ μὲν γὰρ τοῦ εἰπεῖν ἀ π α τ ώ μ ε ν ο ι, διὰ τοῦ λ ό γ ο υ· τούτου γὰρ ἡ γνῶσις. Διὰ δὲ τοῦ β ι α ζ ό μ ε ν ο ι, διὰ τοῦ θ υ μ ο ῦ· τούτου γὰρ καὶ τὸ κρατεῖν. Διὰ δὲ τοῦ ἀ π ο σ τ ε ρ ο ύ μ ε ν ο ι, διὰ τῆς ἐ π ι θ υ μ ί α ς· ταύτης γὰρ καὶ τὸ φιλοχρήματον. Δεύτερον δὲ κατορθοῖ ἐν τῇ ἀποκρίσει· ὅτι καὶ τὴν δέουσαν τάξιν ἐφύλαξεν ἐπὶ τῶν τριῶν. Ὥςπερ γὰρ ὁ λόγος θυμοῦ πρωτεύει, καὶ θυμὸς ἐπιθυμίας, οὕτω καὶ ὁ νέος πρότερον εἶπε τὸ μὲν ἀπατᾶσθαι τοῦ βιάσασθαι, τὸ δὲ βιάζεσθαι τοῦ ἀποστερεῖσθαι. Εἶτα ὁ Σωκράτης δείκνυσι τὸν νέον ἀγνοοῦντα τὸ δίκαιον διὰ τῶν αὐτῶν λόγων. Ὥςπερ γὰρ προείρηται, οὐκ ἔστι δέος, μὴ κατατριβῶσιν οἱ λόγοι, πολλάκις παραλαμβανόμενοι, δίκην τῶν παλαιῶν σκευαρίων· φησὶν οὖν. ὅτη ο ὔ τ ε ἔ μ α θ ε ς, ο ὔ τ ε ε ὗ ρ ε ς [5] καὶ τὰ ἑξῆς. Δύο γὰρ τρόποι γνώσεως, μάθησις καὶ εὕρεσις, καθὼς πολλάκις εἴρηται. Ὡς μὲν οὖν αὐτοκινήτως ἐνεργοῦντες εὑρίσκομεν, ὡς δὲ ἑτεροκινήτως μανθάνομεν. Ἰστέον γὰρ, ὅτι, καθάπερ ἡ ψύχη μεταδέδωκεν ἴχνος αὐτοκινησίας τῷ σώματι, οὕτω καὶ αὕτη μετέλαβε παρ' αὐτοῦ ἑτεροκινησίας ἴχνος· τοῦτο δὲ καὶ ἐφ' ἑτέρων ἔστιν ἰδεῖν, καὶ γὰρ καὶ ὁ χρόνος μεταδέδωκε μὲν τῇ κινήσει τοῦ μετρεῖσθαι, μετέλαβε δὲ παρ' αὐτῆς τοῦ διά-

(4) Scrib. vid. ἀλλά.
(5) Edd. εἰ δὲ μήθ' εὗρες, μήτε ἔμμαθες, Bekk. p. 314. [ infra ψυχή.]

στατος εἶναι· καὶ πάλιν τὸ εἶδος μεταδέδωκε μὲν τῆς μορφῆς τῇ ὕλῃ [6]· ἀμερὲς δὲ ὂν μετέλαβεν ἐξ αὐτῆς τοῦ διαστάτου. Διὸ πολλάκις φαμέν· ὡδὶ μὲν πόδας, ὡδὶ δὲ κεφαλήν. Αἱ δὲ εὐφυέστεραι τῶν ψυχῶν, ὡς αὐτοκίνητοι, μᾶλλον εὑρίσκουσι καὶ ἀποτίκτουσιν, εἴπερ [7] μανθάνουσιν. Ὥςπερ καὶ τὸ ἀνάπαλιν, αἱ ἀφυέστεραι, ὡς ἑτεροκίνητοι, μᾶλλον μανθάνουσιν, εἴπερ εὑρίσκουσιν. Ταῦτα δὲ δηλοῖ τὴν μεσότητα τῆς οὐσίας τῆς ἡμετέρας ψυχῆς. Οὔτε γὰρ ἀεὶ ἀτελής ἐστιν, ὡς εὑρίσκουσα, οὔτε ἀεὶ τελεία, ὡς μανθάνουσα. Ἐφ' οἷς ἀποροῦμεν δύο τινά. Πρῶτον μέν, πῶς ὁ Ἀλκιβιάδης, μὴ εἰδὼς τὸ δίκαιον, οἴεται εἰδέναι· καὶ δεύτερον, πῶς τοῦ Σωκράτους ἐρωτῶντος αὐτόν, εἰπεῖν χρόνον, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι τὸ δίκαιον, ἀπορεῖ τοῦτον λέγειν. Καὶ πρὸς μὲν τὸ πρῶτον φαμέν, ὅτι ᾤετο εἰδέναι τὸ δίκαιον, μὴ εἰδώς· ἐπειδὴ ὑπὸ τῶν καθόλου λόγων ἐπαίνετο [8] ἐμπεφυτευμένων τῇ ψυχῇ. Καὶ ἐῴκει τοῖς κατ' ὄναρ πλουτοῦσι [9], καὶ ἀνισταμένοις καὶ εὑρίσκουσι κενὰς τὰς χεῖρας. Πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι ἀπορεῖ, ἐπειδὴ ὁ μὲν Σωκράτης πρὸς τὴν κατ' ἐνέργειαν ἐπιστήμην ἀφορῶν ἐρώτα [10] λέγειν χρόνον, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι· ὁ δὲ πρὸς τὴν καθ' ἕξιν ἐπιστήμην ἀφορῶν ἠπόρει λέγειν, διότι ἐξ ἀϊδίου συνῆν αὐτῇ τῇ ψυχῇ καὶ διὰ τοῦτο οὐκ εἴχεν [11] εἰς χρόνον ἐνενεγκεῖν τὴν ἄγνοιαν. Ἐν οἷς ἡ θεωρία.

Ἴθι δὲ [12] καὶ τὸ ἐν τῷ πολεμεῖν βέλτιον· ὡς καὶ ἐν τοῖς φθάσασι προείρηται, κατακέχρηται ὁ Πλάτων τῷ ἴθι,

(6) De hac sententiâ vid. quae congessi ad Plotin. de pulcr. p. 195.
(7) Fort. h. l. et proxime: ἤπερ.
(8) Utrum ad leg. ἐπανίετο an ἐπανεῖτο, an ἐπήρετο?
(9) Vid. Lucian. Timon. 20. p. 131. T. I. Hemsth. Vol. I. p. 91 Bip. καὶ ὅμως πορφυροὶ καὶ χρυσόχειρες περιέρχονται, οὐδ' αὐτοὶ πιστεύοντες οἶμαι, ὅτι μὴ ὄναρ πλουτοῦσιν. Quae verba etiam eo consilio apposui, ut literarum studiosi Graecitatis diversitatem animadverterent. Jamblichus de mysteriis Aegyptt. III. 3. p. 63 Gal. Διονύσου κατ' ὄναρ ἐπιφανέντος. Et sic hoc genus scriptorum promiscue. Nam ipse Noster in vitâ Platonis p. 4 ed. stereotyp. Lips. ἡνίκα Σωκράτης ἤμελλε δέχεσθαι, ὄναρ εἶδεν, ὅτι κύκνος ἄπτερος ἐν τοῖς γόνασι αὐτοῦ καθῆστο. De qua diversitate dicendi facit nobis otium Lobeck. ad Phrynich. Eclog. p. 422 sq.
(10) Scrib. ἐρωτᾷ. [ni malis ἠρώτα.] (11) Scrib. εἶχεν.
(12) Edd. δή.

οἰκείῳ ὄντι ψυχῇ μεταβατικῶς νοούσῃ τὰ πράγματα καὶ οὐκ ἀθρόως, ὥςπερ ὁ νοῦς. Φησὶν οὖν ἐνταῦθα ὁ Σωκράτης, ὅτι καθάπερ ἐπὶ τὰ δύο τῶν προλαβόντων παραδειγμάτων εἴρηκας τὰ τέλη· εἰ καὶ τοῦ μὲν μαιευόμενος, τοῦ δὲ διδασκόμενος, οὕτω καὶ νῦν· εἰπὲ, τί τὸ τέλος τοῦ πολέμου, τοῦτο γάρ ἐστι τὸ βέλτιον νομίζεις [13]. Τὰ γὰρ τέλη τῶν πραγμάτων ἢ αἱρετά ἐστιν ἢ φευκτά· καὶ τούτων ἕνεκεν ποιοῦμεν αὐτά, ἢ οὔ· ὥςπερ ἐκεῖ ἐφ' ἑκάστῳ ἔλεγες· τὸ ἐφ' ἑκάστῳ ἀκουστέον ἐπὶ τῶν εἰδῶν τῆς μουσικῆς. Ἦσαν γὰρ τρία καὶ τέλη αὐτῶν· ὁμοίως τρία· ἢ τὸ ᾠδικῶς, ἢ τὸ ἐμμελῶς, ἢ τὸ ἐῤῥύθμως. Εἰ γὰρ καὶ ἓν εἶπε τέλος τῆς μουσικῆς τὸ μουσικῶς, ἀλλ' οὖν, ὡς ἐν κοινῷ καὶ γενικῷ, περιέχονται τούτῳ τὰ τρία. Ἐνταῦθα τὸ ἕκαστον ἐπ' αὐτῶν δεῖ λαμβάνειν, καὶ οὐ τῶν δύο παραδειγμάτων· εἴγε τὸ ἔλαττον ἐπὶ τριῶν λέγεται τὸ ἕκαστον· ὅτι γὰρ τὸ ἓν τῶν παραδειγμάτων τὸ τῆς μουσικῆς λαβὼν εἶπε περὶ τῶν εἰδῶν αὐτῆς τὸ ἕκαστον, δῆλον· εἴγε ἐπάγει περὶ τοῦ ἄλλου παραδείγματος, τουτέστι τῆς γυμναστικῆς· καὶ ἐπὶ τῷ ἑτέρῳ, ὅτι γυμναστικώτερος [14]. — Ἀλλ' οὐ πάνυ ἔχω. Τοῦτο ἐγκαταδυομένου ἐστὶ καὶ ἐρυθριῶντως, ἐφ' οἷς ἀπορεῖ, περὶ ὧν ἐπαγγέλλεται σύμβουλος εἶναι· τοῦτο γὰρ δηλοῖ τὸ οὐ πάνυ, εἰρημένον ὡς αἰσχυνομένου τοῦ νέου ἐπὶ τῇ ἀπορίᾳ. Ἀλλὰ μέντοι αἰσχόν τε εἰ μέν τίς γε λέγοντα [15]· μέλλων ὁ Σωκράτης ἐπιτιμᾷν τῷ νέῳ, ἐφ' οἷς ἀγνοεῖ, τί τὸ τέλος τοῦ πολέμου, καὶ δεδειὼς [16] τὴν ἀπὸ τοῦ ἐλέγχου δυσμένειαν, οὐχ ἁπλῶς οὐδὲ ἀπαρακαλύπτως ἐπὶ τὴν ἐπιτίμησιν ἔρχεται, ἀλλ' ἐκ παραθέσεως γνώσεων ἑτέρας τοῦ νέου, ταύτῃ παραμυθούμενος τὴν ἀπὸ τοῦ ἐλέγχου δριμύτητα. Φησὶ γοῦν, ὅτι αἰσχρόν ἐστι περὶ μὲν ἰατρικῶν τινων εἰδέναι σε συμβουλεύειν ὧν οὐ προςποιῇ σύμβουλος εἶναι, οὐδὲ σπουδάζεις περὶ αὐτῶν· περὶ δὲ ὧν νομίζεις ἐπιστήμων εἶναι καὶ μέλλεις συμβουλεύειν ἀγνοεῖν. Καλῶς δὲ καὶ τὸ αἰσχρόν γε εἶπεν· ἐναντίον γὰρ φιλοτίμῳ τὸ αἰσχρὸν

(13) Edd. τὸ βέλτιον τί ὀνομάζεις; Bekk. p. 310.
(14) Edd. γυμναστικώτερον. [mox scr. ἐρυθριῶντος.]
(15) Edd. — αἰσχρόν γε, εἰ μέν τίς σε λέγοντα κτλ. Bekk. p. 310.
(16) Scrib. vel δειδιὼς vel δεδιώς.

καὶ τῷ ἐπὶ κάλλει σεμνῷ καὶ λαμπρῷ φαινομένῳ. Ὅτι μὲν τόδε [17] τοῦδε καὶ νῦν καὶ τοσοῦτον — τὰ περιστατικά φησίν. Διὰ μὲν τοῦ τόδε τοῦδε τὸ ποῖον [18] τοῦ σιτίου, εἰ ἐφθὸν καὶ οὐκ ὠμόν, εἰ εὐαλοίωτον [19] καὶ εὔπεπτον, ἢ τοὐναντίον. Διὰ δὲ τοῦ νῦν, εἰ ἑσπέρα [20] θρεπτέον καὶ οὐ νύκτωρ, διὰ τὸν καιρὸν τῆς πέψεως. Τὸ δὲ τοσοῦτον, ἀντὶ τοῦ εἰ μὴ πλῆθος προςακτέον, διὰ τὸ παρὰ Ἱπποκράτει· ἔνδεια μήτηρ ὑγείης [21] τοῦ Ἀλκιβιάδου πλέον ἀπομένοντος [22] τῇ ἀπορίᾳ, δαιμονίως ὁ Σωκράτης ἐπὶ τὸ σαφέστερον τὴν μαιείαν μετήγαγεν. Ἐπειδὴ γὰρ τὰ μετέχοντα τῶν μετεχομένων σαφέστερα, καὶ τὰ σύνθετα τῶν ἁπλῶν, φησί· τί ἐγκαλοῦντες ἀλλήλοις ἐρχόμεθα ἐπὶ τὸ πολεμεῖν; τουτέστιν, ἀδίκοις οὖσιν. Ὁ δὲ ἄδικος μετέχει, καντ' ἐυσύνθετος [23] ἡ δὲ ἀδικία μετέχεται, καὶ ἁπλοῦν ἐστι. Διὸ καὶ τελευταίαν αὐτὴν ἔταξε διὰ τοῦ εἰπεῖν· καὶ τί [24] αὐτὸ ὀνομάζοντες ἐρχόμεθα· δῆλον ὅτι ἀδικίαν· αὐτὸ δέ φησι τὸ πάθημα. Ὁ δὲ πρὸς ταῦτα ἐπάγει τὰ τρία ἐκεῖνα ἐγκαλοῦντες πολεμοῦμεν, ἢ ἀπατώμενοι, ἢ βιαζόμενοι, ἢ ἀποστερούμενοι. — Ἔχε· πῶς ἕκαστα τούτων πάσχοντες; τοῦτο κατὰ ζῆλον ποιητικόν· ἀλλὰ σὺ σῇσιν ἔχε φρεσίν [25]. Ἰστέον δὲ, ὅτι οὔτε τὸ πρῶτον ἐγκαλεῖ αὐτῷ, τουτέστιν, ὅτι τρία πρὸς ἓν ἀπεκρίνατο· οὔτε τὸ τρίτον· παρῆκε γὰρ καὶ τοῦτο, ὃ [26] ἐστι, διότι οὐχ ὡς τρία πάσχοντες ἐρχόμεθα ἐπὶ τὸ πολεμεῖν, ἀλλὰ κατὰ τὸ κοινὸν τὴν ἀδικίαν. Ἐγκαλεῖ οὖν αὐτῷ τὸ δεύτερον ἁμάρτημα, ὅτι οὐχ ἁπλᾶ, ἀλλ' ἐπαμφοτερίζοντα ταῦτα εἶπεν. Φησὶν οὖν, ὅτι πῶς ἕκαστα τούτων πά-

(17) Edd. ὅτι βέλτιον τόδε κτλ. (18) F. ποιόν.

(19) Hoc adjectivum addendum Lexicis est. De formâ unde ductum est, ἀλοᾷν aut potius ἀλοιᾷν *terere*, *triturare*, egregie exposuit Valckenar. ad Ammon. I. 4. p. 21 sq. De formâ ἀλοιοῦν ap. Zonar. L. Gr. p 138 alii viderint. Cererem εὐαλωσίαν, quae aream impleret, cognoscimus ope Hesychii I. p. 1490.

(20) Scr. ἑσπέρᾳ.

(21) De scriptione ὑγεία et ὑγίεια vide disputantem Piersonum ad Moer. Att. p. 380. Lobeck ad Phrynich. Eclog. Parerg. I. 3. p. 493. Scribendum h. l. ὑγιείης.

(22) Scrib. vid. ἀπονέμοντος.

(23) Mendum subest. An legendum : καὶ ἐστὶ σύνθετος?

(24) Edd. ὅ,τι.. (25) Est locus Homeri Il. β,33. (26) Scr. ὅ.

σχοντες; τουτέστιν ἀδίκως ἢ δικαίως· εἶτα ἐρωτᾷ αὐτὸν, εἰ διαφέρουσι ταῦτα ἀλλήλων· τοῦτο γὰρ δηλοῖ τὸ πειρῶ εἰπεῖν τί διαφέρει τὸ ὧδε ἢ τὸ ὧδε [27]. Καὶ ἀντερωτήσαντος τοῦ νέου, ὅτι εἰ τὸ ὧδε λέγεις [28], τὸ δικαίως, ἢ ἀδίκως; καὶ συνθεμένου τοῦ Σωκράτους ἐπάγει ὁ Ἀλκιβιάδης, ὅτι ὅλον τε καὶ πᾶν διαφέρουσιν ἀλλήλων ταῦτα. Ἰστέον δὲ, ὅτι τὸ ὅλον τε καὶ πᾶν παροιμία ἐκράτησεν ἐπὶ τῶν πολὺ διαφερόντων ἀλλήλων καὶ ἀντιδιαιρημένων [29]. Τὸ γὰρ ὅλον καὶ τὸ πᾶν ἀντιδιήρηνται ἀλλήλοις. Εἰ γὰρ καὶ ἄμφω τὸ καθόλου δηλοῦσιν, ἀλλ' οὖν τὸ μὲν ὅλον σημαίνει τὸ συνεχὲς, τὸ δὲ πᾶν τὸ διωρισμένον. Καὶ δύναταί τις κατὰ μὲν τὸ ὅλον κρείττων εἶναι, κατὰ δὲ τὸ πᾶν χείρων. Οἷον ἐὰν εἴπωμεν τὸ ὅλον τὸ ἀνδρεῖον γένος, ὡς ὅλον κρεῖττόν ἐστι τοῦ γυναικείου, οὐ μὴν, καὶ πᾶν παντός. Οὔτε γὰρ σίτης [30] κρείττων Θεανοῦς ἢ Κόροιβος. Εἰ γὰρ καὶ διανοεῖ-

(27) Edd. ἢ ὧδε. (28) Edd. ἢ τὸ ὧδε λ.
(29) Scr. ἀντιδιῃρημένων.
(30) Lacunosum locum ita fortasse integrandum censeas: *Οὔτε γὰρ Μελιτίδης — ἢ Κόροιβος*, ut qui *fatui* alibi quoque junguntur. Lucian. Amorr. 53. p. 316 Bip. *Μελιτίδην ἢ Κόροιβον οἴει με* cf. Scholiast. Aristophan. Ran. vs. 1021 ubi dicitur *μωρός stultus*. Eâdem notâ inuriter Coroebus, cujus nomen nec minus in proverbium abierat. Vid. Zenob. Proverb. IV. 58. Luciani Philop. 3. p. 251 Bip. ibiq. Schol. et Jac. Gronov. ad Aeliani V. H. XIII. 15. Proinde possis de Theano Pythagoreâ sapientissimâ prudentissimâque feminâ cogitare, cui h. l. uterque fatuus opponatur. — Sed tamen a Codicis auctoritate standum est; et verum vidit vir doctus qui in margine libri nostri apposuit: *Θερσίτης ισ.* Nimirum Thersites homo *θρασύδειλος*, turpissimusque et publice noxius opponitur Theano Antenoris uxori, quae Minervae sacerdos precibus suis Graecos avertisse dicebatur ab Ilio, et bona non minus pulchraque quam prudens magno animo utramque fortunam tulerat. Iliad. E. 70. *Z.* 298. *Λ.* 224. cf. Eustath. p. 396. et p. 776. Luciani Imagg. 19 p. 23 Bip. *εἰκάσθω Θεανοῖ τε ἐκείνῃ τῇ Ἀντήνορος — καὶ εἴ τις ἄλλη ἐν μεγέθει πραγμάτων ἐσωφρόνησε πρὸς τὴν τύχην.* ubi cf. interprr. Ac sicut Theanus magno animo h. l. maxime opponi videtur abjectus demissusque animus Thersitae; ita illius prudentiae vecordia fatuitasque Coroebi. Nisi forte post *Κόροιβος* in Olympiodori loco excidit *Κασσάνδρας*. Nam Coroebi stultitia in eo maxime cognita fuit, quod is ultimus omnium et ultimis diebus ante excidium Trojae Priamo auxilio venerat, neque Cassandrae sponsae suae consilia audierat. Utut est: hoc certum: Coroebum ab Euphorione in rebus Troïcis tanquam stultum inductum esse. Vid. Servius ad Aeneid. II 341 et Heynii Excurs. X. ad lib. II. Aeneïdos.

ταί τις, ὡς δεῖ πρὸς τοὺς τὰ δίκαια πράττοντας πολεμεῖν· ὁ μὲν Καλλικλῆς καὶ ὁ Θρασύμαχος ἔφασαν ἐν Γοργίᾳ [31] καὶ διανοεῖσθαι δεῖν πολεμεῖν πρὸς τοὺς τὰ δίκαια πράττοντας, ἀλλὰ μὴν καὶ ἔργω πολεμεῖν· ὁ δὲ Σωκράτης οὔτε διανοεῖσθαι τὴν ἀρχὴν παντελῶς, οὔτε πολεμεῖν· ὁ δὲ Ἀλκιβιάδης, ὡς μέσος ὤν, διανοεῖσθαι μὲν φησὶν, οὐ μὴν πολεμεῖν, λέγει γάρ· εἰ γὰρ καὶ διανοεῖταί τις, ὡς τοῦτο συγχωρῶν· ἐπάγει δὲ· καὶ ὅτι οὔτε διανοούμενός τις ὁμολογεῖ τοῦτο· — οὐ γὰρ νόμιμον τοῦθ', ὡς ἔοικεν· — οὐ δῆτα· οὐδέ γε καλὸν δοκεῖ εἶναι. Νόμιμον μέν ἐστι τὸ θέσει δίκαιον, καλὸν δὲ τὸ φύσει. Φησὶν οὖν ὁ Σωκράτης, ὅτι οὔτε κατὰ τὸ θέσει δίκαιον, τουτέστι νόμιμον, οὔτε κατὰ τὸ φύσει, τουτέστι τὸ καλὸν προςήκει πολεμεῖν τοῖς τὰ δίκαια πράττουσιν. Καὶ συνομολογεῖ τούτοις ὁ νέος, ὡς προκόπτων ἐπὶ τὸ τέλειον· ἀλλ' ὅτι οὖν ὃ νῦν δὴ ἐγὼ ἐρώτων βέλτιον πρὸς τὸ πολεμεῖν [32]. Μετα τὸ διὰ πολλῶν συνθέσθαι τὸν νέον, ὅτι τέλος τοῦ πολέμου τὸ δίκαιον, καὶ ὅτι οὐ δεῖ τοῖς δικαιοπραγοῦσι πολεμεῖν, ἀλλὰ τοῖς ἀδικοῦσι δηλονότι· καὶ γὰρ ἂν οὕτως ἕνεκεν τοῦ δικαίου πολεμοίημεν· ἀναμιμνήσκει τὸν νέον ὁ Σωκράτης τῆς ἐρωτήσεως, πρὸς ἣν ἠπόρει ἀποκρίνεσθαι. Αὕτη δὲ ἦν, τί τέλος τοῦ πολέμου; Ταὐτὸν γὰρ δηλοῖ τὸ τί βέλτιον, ὡς εἴρηται. Φησὶν οὖν· ἄλλό τι οὖν ὃ νῦν δὴ ἐγὼ ἐρώτων [33], ἀντὶ τοῦ· εἰ μὴ τοῦτο. Τῆς γὰρ Πλατωνικῆς φράσεως τὸ ἄλλό τι οὖν κατὰ παράλειψιν τοῦ εἰ μὴ τοῦτο λέγειν· μετὰ δὲ τῶν περιστατικῶν, ἀναμνήσκει [34] τί τὸ βέλτιον τοῦ πολεμεῖν, λέγων οἷς δεῖ καὶ ὁπότε. Πῶς οὖν, ὦ φίλε Ἀλκιβιάδη; πότερον σαυτὸν λέληθας, ὅτι οὐκ ἐπίστασαι — καὶ τὰ ἑξῆς. Οὐ μάτην ἐνταῦθα κεῖται τὸ ὦ φίλε. Ἀλλ' ἐπειδὴ, ὡς πολλάκις εἴρηται, μέλιτι δεδευμένοις φαρμάκοις ἐοίκασιν αἱ Σωκρατικαὶ παραινέσεις καὶ ἔλεγχοι, μέλλει δὲ τὸν νέον

(31) Ad sensum conveniunt aliquot Gorgiae loci, ad verba nullus. [Mox ἔργῳ.]

(32) Edd. Ἄλλο τι οὖν, ὃ νῦν δὴ ἐγὼ ἠρώτων κτλ. Bekk. p. 312. Illud in proximis emendatius legitur.

(33) Corr., ut supra, ἠρώτων. (34) Scr. ἀναμιμνήσκει.

ἐπὶ τὸ [35] μὴ γινώσκειν τὸ δίκαιον λυπεῖν τοῖς ἐλέγχοις, καὶ πρὸς ὀργὴν ἐξάγειν, προτιθασεύει [36] αὐτὸν πρῶτον φίλον ὀνομάζων. Καὶ πάλιν ὀμνὺς μικρὸν ὕστερον· μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν. Καὶ ζητοῦσιν ἐκεῖ τίνα θεὸν καλεῖ φίλιον [37]· καὶ οἱ μὲν φασὶ τὸν Ἔρωτα, οὐκ ἔστι δέ· ὁ γὰρ φίλος φίλῳ φίλος. Ἐνταῦθα δὲ ὁ μὲν Σωκράτης ἐρᾷ τοῦ νέου, ὁ δὲ νέος οὐκ ἀντερᾷ τοῦ Σωκράτους· τοῦ γὰρ τέλους τοῦ διαλόγου τοῦτό ἐστιν, ἔνθα ὁ ἀντέρως παραδίδοται. Τίνα οὖν καλεῖ φίλιον [38]; ἢ φαμὲν, ὅτι τὸν Δία. Καὶ γὰρ ἀμφοτέροις προςήκει κατὰ τὸ ἀρχικὸν ὁ Ζεύς· Σωκράτει μὲν, διὰ τὴν φιλοσοφίαν· ἡγεμὼν γὰρ αὕτη πασῶν τῶν ἄλλων τεχνῶν· καὶ ὅτι κατὰ τοὺς Στωϊκοὺς ὁ εἰδὼς πῶς δεῖ ἄρχειν, ἄρχων ἐστὶ, εἰ καὶ μὴ κέχρηται τῇ ἀρχῇ· τοιοῦτοι δὲ οἱ φιλόσοφοι· διὸ καὶ ἐν Φαίδρῳ φησί· μετὰ μὲν δὴ Διός εἰμι [39]. Ἀλκιβιάδῃ [40] δὲ ὡς φιλάρχῳ καὶ στρατηγικῷ ἁρμόττει, ὥστε οὐ μάτην τὸ εἰπεῖν· τὸν ἐμόν γε καὶ σόν. Ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἐφεξῆς ἁρμόττει λεχθῆναι. Ἐνταῦθα φησὶν, ὅτι πότερον σαυτὸν λέληθας ἀγνοῶν τί δίκαιον. Οἰκεῖον δὲ ἡ λήθη τῇ ἀγνοίᾳ, ἄμφω γὰρ γνώσεως εἰσὶν ἀπουσία· ἢ ἐμὲ ἔλαθες μαθών· ἀντὶ τοῦ· πῶς, εἴγε δίκην συνειδότος ἐφ' ἑκάστῃ ἡμῶν ἐνεργείᾳ παρόντος κἀγὼ συνακολουθῶ σοι, λαθεῖν με ἔμελλες; — καὶ φοιτῶν εἰς διδασκάλου. Ἐντεῦθεν ἔστι μαθεῖν, ὅτι καὶ οἱ μανθάνοντες παρὰ ἄλλου ἔχουσί τι αὐτοκίνητον, τουτέστι τὸ προαιρεῖσθαι μανθάνειν καὶ φοιτᾷν εἰς διδασκάλου, καὶ μὴ βίᾳ

(35) Fort. ἐπὶ τῷ *propterea quod.* Igitur *caussam* significat, quae per Dativum cum ea praepositione junctum significatur vel N. T. scriptoribus. Vid. Hemsterh. ad Lucian. T. I. p. 238. et Valckenar. in Scholl. N. T. I. p. 36, II p. 45 sq.

(36) Scr. προτιθασσεύει. Vocabulum προτιθασσεύω non est in Lexicis.

(37) Sic ex corr. pro φίλον. (38) Sic ex corr. pro φίλον.

(39) Haec verba non sunt in Platonis Phaedro. Ad sententiam pertinent haec ejus dialogi cap. 26 p. 246. p. 23 Ast.: Ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ, Ζεύς, κτλ. Locus multorum scriptorum imitationibus celebratus; vid. Ast. p. 297 sq. et ad calc. Reipubl. in Additamm. p. 653. Adde ipsum Olympiodorum in Scholiis in Platon. Phaedon. p. 3. ed. Mustoxyd. et Schinae Venet. 1817: ἡ κατὰ τὰς πολιτικὰς (ἀρετὰς), ὧν σύμβολον ἡ τοῦ Διὸς βασιλεία κτλ.

(40) Scriptum est in Cod. ἀλκιάδῃ..

**καὶ μοχλίᾳ [41] προςλαμβάνειν τὸ μανθάνειν, εἰ καὶ παρ' ἑτέρων αὐτοῖς ἡ γνῶσις προςέρχεται. — Καὶ τίς ἐστιν οὗτος; φράσον καὶ ἐμοί, ἵνα αὐτῷ φοιτητὴν προξενίσῃς ἐμέ [42].** Ζητητέον, πῶς, εἰ δεῖ καὶ τὰς εἰρωνείας τοῦ φιλοσόφου ἀληθεῖς εἶναι, ὁ Σωκράτης εἰδὼς τὸ δίκαιον λέγει πρὸς τὸν νέον, ὅτι *φράσον μοι*, παρ' ὅτου τὸ δίκαιον ἔμαθες, ἵνα αὐτῷ φοιτήσω. Ἢ φαμέν, ὅτι δεῖ τὸν ἐρωτικὸν καὶ συναγνοεῖν καὶ συνάγεσθαι [43] τοῖς παιδικοῖς· ὡς μὲν οὖν ἐρωτικὸς ὁ Σωκράτης ἠγνόει τὸ δίκαιον, ἀγνοοῦντος τοῦ νέου, ὡς διδάσκαλος ἠπίστατο, ἢ καὶ β' λῦσιν· ὅτι ἢ πρὸς κρείττονα ἐφοίτα Σωκράτης καὶ ὠφέλετο [44]· ἢ πρὸς χείρονα, καὶ ὠφέλει· ἢ πρὸς ἴσον, καὶ κοινὰ τὰ φίλων [45]· — *ὃν ἐγὼ ἥκιστ' ἂν ἐπιορκήσαιμι*· ἐνταῦθα ζητητέον, πῶς φησίν· ὃν ἐγὼ οὐδαμῶς ἐπιορκήσω· τί γὰρ ἕτερον ἐπιόρκει [46]; Ἢ φαμέν, ὅτι πρὸς· ὑπακουστέον [47] τὸ πρὸς σέ· μετριώτερον γὰρ τὸ πρὸς ἀλλοτρίους καὶ ξένους ἐπιορκεῖν, ἢ πρὸς φίλους· ἢ ὅτι δεινότερόν ἐστιν τοὺς μετὰ ἰδιότητος θεοὺς ἐπιορκεῖν, ἢ τοὺς ἄλλους· αἱ γὰρ ἰδιότητες καὶ οἱ προςδιορισμοὶ παραβαινόμενοι χαλεπώτερα ποιοῦσι τὰ ἁμαρτήματα. Πρόςκειται δὲ τὸ *φίλιον*. Οὕτω καὶ ἐν Κρατύλῳ φησί [48]· μὴ δεῖν ἐπιορκεῖν τὸν ξένιον ἢ ὁμόγνιον, δηλονότι, ὡς τῶν προςδιορισμῶν μὴ ὀφειλομένων παραβαίνεσθαι. Ἢ ὅτι οὐ πρὸς ἀντιδιαστολὴν ἐνταῦθα τὸ ὃν εἴρηται. **Τί δέ, εἰ μὴ ἔχω, οὐκ ἂν εἴη μὴ**

(41) Formam hanc pro *μοχλεία* damnat Henr. Stephanus in Thes. gr. ling. II p. 1579 A. Ad sententiam cfr. Plutarchi Symposiac. IV. 1. p. 662 *αἱ — βοήθειαι — χαλεπῶς ἐκμοχλεύουσαι καὶ προςβιαζόμεναι τὴν φύσιν*. Plura contulit Wyttenbach. ad fragm. Musonii in Philomathia II p. 19 sq.

(42) Edd. *προξενήσῃς καὶ ἐμέ*.

(43) Ego invitis libris nil mutaverim. Est *non divelli*, *non discedere inter se*, *concorditer agere*; opponitur alibi *χωρίζεσθαι*.

(44) Scrib. vid. *ὠφελεῖτο*.

(45) De hoc adagio, cujus auctor fertur Pythagoras, vid. Porphyr. de Vita Pythag. 33. p. 37. Kust. Jamblich. de Vita Pythag. 32 et 92. p. 24 et 78 Kust.

(46) Scr. vid. *ἐπιορκεῖ*.

(47) Scrib. vid. conjunctim *προςυπακουστέον*.

(48) Non comparet hic locus in Platonis Cratylo. Alios qui huc pertinent locos congessit Ruhnkenius ad Timaeum p. 192 sq. Adde Aristotelem qui fertur de mundo VII. 5. p. 313 Kapp. et Mytholog. nostr. II. p. 513. 518 ed. secund

ἄλλους [49] εἰδέναι. — Ἐν τούτοις ἀναλυτικῶς παραδίδοται ὁ συλλογισμὸς, ὃν ἀνωτέρω συνθετικῶς προήγαγεν· εἰπὼν γὰρ ὁ Σωκράτης, ὅτι ἠπίστασο ἂν τὰ δίκαια, εἰ ἐφοίτησας παρὰ διδασκάλῳ [50]· καὶ τοῦ νέου εἰπόντος, τί δὲ, οὐκ ἐνδέχεται ἄλλως με γινώσκειν; ἐπάγει ὁ Σωκράτης ἑτέραν πρότασιν, ὅτι εἴ γε εὕροις· καὶ πάλιν, εἰ ἐζήτησας δὲ ἄν, εἰ ἐνόμισας μὴ εἰδέναι. Ἀλλὰ μὴν οὐκ ἔχει χρόνον εἰπεῖν, ὃν ἡγήσω [51] ἀγνοεῖν. Ἀναλογίζεται γὰρ πᾶσαν τὴν ἡλικίαν τοῦ νέου, κἀντεῦθεν δείκνυσιν αὐτὸν ἀγνοοῦντα τὸ δίκαιον. — Καὶ μάλα γε εἰ ζητήσαις. — Οὐχ ἁπλῶς ἐνταῦθα πρόςκειται τὸ μάλα, ἀλλὰ θαῤῥοῦντός ἐστι τῇ εὐφυΐᾳ τοῦ νέου, ὅτι, εἰ ἐζήτησε, πάντως ἂν ἔμελλεν εὑρεῖν. — Καὶ τἀληθῆ ἀποκρίνου, ἵνα μὴ μάτην οἱ διάλογοι γίνονται [52]. Ἄνω μὲν, ἔνθα καθολικαὶ ὑπῆρχον αἱ προτάσεις, οὐκ ᾔτει τὸν νέον ἀληθῆ ἀποκρίνεσθαι· εἰ γὰρ καὶ ἐψεύσατο, ἀλλ' οὖν ἐξ ἑτέρων διὰ τοῦ καθολικοῦ τῶν προτάσεων ἐλέγχετο [53]. Ἐνταῦθα δὲ, ἐπειδὴ μερικαί εἰσι καὶ ἀπὸ ἱστορίας εἰλημμέναι, αἰτεῖ αὐτὸν ἀληθεῦσαι. Εἰ γὰρ μὴ τὰ ἀληθῆ ἀποκρίνεται, οἴχεται καὶ μάταιος ἔσται ὁ συλλογισμός. Καὶ ἔστιν ἐντεῦθεν ἑλεῖν Πλατωνικὸν δόγμα, ὅτι ἐκ ψευδῶν προτάσεων οὐδὲν ἀναγκαῖον συνάγεται [54], ἀλλὰ μάταιος ἔσται ὁ συλλογισμός. Φησὶ γὰρ, ἵνα μὴ μάτην. Εἰ γὰρ καὶ ἀληθές ποτε ἐκ ψευδῶν συναχθήσεται [55], οὐ διὰ τὸ ἀναγκαστικὸν τῶν προτάσεων, ἀλλὰ διὰ τὸ ἐνδεχόμενον τῆς ὕλης τοῦτο γίνεται. — Ἀλλὰ μὴν τόγε πρὸ τούτου παῖς ἦσθα. Διαφέρει παῖς παιδίου· παιδίον μὲν γάρ ἐστιν ὁ μέχρι ἑπτὰ

(49) Scrib. ex Edd. *οἴει με ἄλλως*.

(50) Nil muto. Tu vid. Viger. p. 644 supr. Matth. gr. gr. §. 588. b. ibiq. Xenoph. Anabas. II. 5. 27. Ceterum de constructione verbi *φοιτᾶν* vid. Valckenar. Scholl. in N. T. I. p. 224. et p. 517. et II. p. 205. [cf. fin. hujus *πραξ*.]

(51) Scr. *ἡγήσατο* aut *ἔχεις* pro *ἔχει*.

(52) Scr. ex Edd. *γίγνωνται*. (53) Scr. *ἠλέγχετο*.

(54) Id est *concluditur*, *efficitur*. Verbum proprium de conclusionibus philosophorum. Proprie *colligere* est *συνάγειν*, docente Stephano Th. Gr. ling. I. 87 praeeunte Budaeo. Alia est *collectio*, *συναγωγή*, Rhetorum; de qua vid. Ernesti Lex. technol. p. 19 ibiq. laudd.

(55) Tu cf. Aristotelis Analyt. prior. II. 2 p. 153 sqq. Sylburgii.

ἐτῶν· παῖς δὲ ὁ ἀπὸ ἑβδόμου ἔτους μέχρι τεσσαρακαιδεκάτου, ὅτε καὶ λοιπὸν ἔφηβος γίνεται. Καλῶς οὖν ὁ Σωκράτης παῖδα τὸν νέον εἶπεν εἶναι πρὸ πέντε ἐτῶν, εἴγε νῦν κ' ἐτῶν οὔπω ἐστίν. — Ὡς πονηρὸς [56] καὶ ἄδικος εἴη. Τοῦτο σημεῖον μεγάλης καὶ δεξιᾶς φύσεως τοῦ νέου, εἰ ἐκ παιδὸς πονηροὺς ἡγεῖτο τοὺς ἀδίκους εἶναι, ἀπὸ τῆς κοινῆς ἐννοίας μόνον γινώσκων τοῦτο. Οὐ γὰρ εἰς διδασκάλων πω τοιούτων ἐπεφοιτήκει, δυναμένων διδάξαι τὸ δίκαιον. Σὺ δὲ εἰ τύχοις ἀγνοῶν εἴτ' ἀδικοῖο, εἴτε μὴ καὶ τὰ ἑξῆς. Τί φησὶ τοῦ νέου εἰρηκότος, τί γάρ με προςῆκε ποιεῖν ἀδικούμενον, ἢ λέγειν ὅτι ἀδικοῦμαι; ὁ Σωκράτης λέγει· εἰ δὲ ὅλως ὡς ἀγνοῶν τὸ δίκαιον ἠγνόεις, εἴτε ἀδικῇ, εἴτε μή, τότε λέγεις τί ἔδει σὲ ποιεῖν; δῆλον γάρ, ὅτι ὑπελείπετό σοι τὸ φίλειν [57] μανθάνειν· τὸ τότε λέγεις τί σε ἔχρη ποιεῖν. Εἶτα πρὸς ταῦτα πάλιν τοῦ νέου ὀμνῦντος [58] μὴ ἀγνοεῖν, ἀλλὰ σαφῶς εἰδέναι, ὅτι ἠδικεῖτο, ὁ Σωκράτης πάλιν τῷ αὐτῷ συλλογισμῷ κέχρηται, ὅτι ἐν ποίῳ χρόνῳ ἐξευρὼν ποτε, ὁμολογήσας ἀγνοεῖν, ἐζήτησας; Εἰ δὲ μήτε ζητήσας εὗρες, μήτε ἔμαθες, μὴ φοιτήσας εἰς διδασκάλου, (τοῦτο γὰρ ἀνωτέρω ὡμολόγησας) δῆλον ὅτι οὐκ οἶσθα τὸ δίκαιον· τὸ δὲ ἄνω εἰρημένον πολλάκις σοῦ ἐν διδασκάλων ἤκουον, ἐπὶ κιθαριστοῦ καὶ γραμματιστοῦ καὶ παιδοτρίβου μόνων, δεῖ νοεῖν· ταῦτα γὰρ μόνα ἐπαιδεύθη ὁ νέος. Πῶς οἶσθα καὶ πόθεν; πῶς, ἀντὶ τοῦ μὴ ζητήσας καὶ εὑρών· πόθεν, ἀντὶ τοῦ μὴ φοιτήσας παρ' ἄλλῳ καὶ μαθών.

## Πρᾶξις σὺν θεῷ ι΄.

Ἀλλὰ ἴσως τοῦτό σοι οὐκ ὀρθῶς ἀπεκρινάμην. — Δειχθεὶς ὁ Ἀλκιβιάδης μὴ εἰδὼς τὸ δίκαιον, οὔτε γὰρ ἔμαθεν οὔτε εὗρεν, ὡς προαποδέδεικται, ὡς ἀφυὴς [1] ὢν ἀντιτί-

(56) Edd. add. τε.

(57) Mendum subest. Aut corrigendum φιλεῖν, aut φοιτᾶν, scil. εἰς διδασκάλου, aut fortasse potius delendum hoc vocabulum. Neque sanum est τὸ τότε λέγεις — ποιεῖν. Fortasse haec omnia perperam sunt repetita ex paulo antecedentibus.

(58) Scr. ὀμνύντος.

(1) An εὐφυής?

θεται πρὸς τὴν μίαν τῶν προτάσεων τὴν λέγουσαν· ὅτι γινώσκει τὰ δίκαια, ὡς εὑρών. Ἐπειδὴ γὰρ προςεχῶς ἐλελέκται [2] αὔτα [3] φησὶ μὴ καλῶς τοῦτο ἀποκρίνεσθαι· γινώσκω γὰρ οὐχ εὑρὼν ἀλλὰ μαθών. Καὶ τοῦ Σωκράτους μέλλοντος τοῖς αὐτοῖς λόγοις χρῆσθαι, ὅτι ἐν ποίῳ χρόνῳ παρὰ ποίοις διδασκάλοις, καὶ τὰ τοιαῦτα· ὁ Ἀλκιβιάδης διδασκάλους προβάλλεται τοὺς πολλούς, καὶ λέγει μεμαθηκέναι τὰ δίκαια παρὰ τῶν πολλῶν. Οὐ γὰρ μόνον τῶν δικαίων, φησὶν, εἰσὶν οὗτοι διδάσκαλοι· ἀλλὰ καὶ τοῦ ἑλληνίζειν· ᾤετο δὲ αὐτοὺς ταῦτα εἰδέναι καὶ διδάσκειν, ὡς ἄμφω νομίζων θέσει εἶναι. Τούτων γὰρ δεσπόται εἰσὶν οἱ πολλοί· καὶ γὰρ γινώσκουσιν, ἃ τεθήκασιν [4], οἷον τὰ ὀνόματα· οὐ μὴν τὸ δίκαιον θέσει ἐστίν. Διὸ ὁ Σωκράτης τὸ μὲν ἀποδέχεται, τὸ διδασκάλους εἶναι τοὺς πόλλους τοῦ ἑλληνίζειν, τὸ δὲ ἕτερον οὐδαμῶς, τὸ διδάσκειν τὰ δίκαια. Πρῶτος μὲν γάρ φησι, πῶς οἱ τὰ εὐτελέστερα καὶ χείρω μὴ γινώσκοντες, οἷον τὸ πεττεύειν, τὰ κρείττω γινώσκοντες, οἷον τὰ δίκαια καὶ τὰ ἄδικα, δύνανται περὶ αὐτῶν διδάσκειν; Καὶ ἄπορος ὁ λόγος οὗτος· πῶς ὁ Σωκράτης φησὶ τοὺς πολλοὺς μὴ εἰδέναι τὰ δίκαια, διότι τὰ χείρω μὴ γινώσκουσιν; Οὔτε γὰρ Ἱπποκράτης, ἐπειδὴ τὰ τεκτονικὰ οὐκ ἠπίστατο, διὰ τοῦτο καὶ τὰ δ' στοιχεῖα ἠγνόει, ἐξ ὧν ἔφη συγκεῖσθαι τὰ ἀνθρώπινα σώματα, καίτοι ταῦτα κρείττω τῶν τεκτονικῶν· πρὸς τοῦτο οὖν ὁ Πρόκλος οὕτως ἐπιλύεται· φησὶ γάρ· ὅτι οἱ τὰ εὐτελέστερα καὶ οἰκειότερα μὴ γινώσκοντες, οὗτοι οὐδὲ τὰ κρείττω γινώσκουσιν. Ὁ δὲ Δαμάσκιος οὐχ οὕτως. Οὐ γάρ φησὶ χρείαν εἶναι τῆς προσθήκης ταύτης, τοῦ εἰπεῖν· οἰκειότερα· ἀλλ' ἐπιλύεται λέγων οὕτως· οἱ τὰ εὐτελέστερα μὴ δυνάμενοι μανθάνειν, οὗτοι οὐδὲ τὰ κρείττω γινώσκουσιν· εὐτελέστερον δὲ τὸ πεττεύειν τοῦ τὰ δίκαια εἰδέναι, τοῦτο δὲ ἀγνοοῦσι· δηλονότι καὶ τὰ δίκαια ἀγνοοῦσιν οἱ πολ-

(2) Scrib. ἐλήλεκται aut potius ἐλήλεγκται attice pro ἤλεκται v. ἤλεγκται, de quibus formis vide Antesignanum ad Clenardi Instit. ad Ling. Graec. p. 386. ib. Sylburg. p. 533. (4. Frcf. Wechel. 1580.) Moser. Ita Antiphon. p. 120 lin. 14. p. 656 Reiskii ἐλήλεγται. Plura dederunt Jensius ad Lucian. Nigrin. Tom. I. p. 234 sq. Bip. et Maittar. de dialect. p. 71. ed. Sturz. (3) An leg. ταῦτα an αὐτός?
(4) Scr. τεθείκασιν. [Mox pag. seq. πολλούς.]

λοί. Εἶτα δὲ ἐπὶ τούτοις ὁ Σωκράτης, λέγων τοὺς πόλλους μὴ εἰδέναι τὰ δίκαια, φησὶν αὐτοὺς διαφωνεῖν περὶ τούτου πρὸς ἀλλήλους· ἄλλοι γὰρ ἄλλο δίκαιον ἡγοῦνται. Σημεῖον δὲ ἀγνοίας καὶ ἀνεπιστημοσύνης ἡ ἀσυμφωνία, οὐχ ὅτι οἱ συμφωνοῦντες ἀλλήλοις πάντες ἐπιστήμονές εἰσι διὰ τοὺς Δημοκριτίους [5] συμφωνοῦντες μὲν περὶ τοῦ κενοῦ, ὅτι ἔστιν, ἀνεπιστήμονες δὲ διὰ τοῦτο ὄντας, οὐκ ἔστι γάρ. Ἀλλ' οἱ μὲν ἐπιστήμονες συμφωνοῦσιν ἀλλήλοις, κατὰ τὴν σὺν ἀντιθέσει ἀντιστροφὴν ἀπὸ τοῦ ἑπομένου γινομένην, οἱ [6] μὴ συμφωνοῦντες [7] ἀνεπιστήμονές εἰσιν. Αὖθις δὲ ἐπάγει καὶ ἐπίτασιν τῆς διαφωνίας, ὅτι καὶ στασιάζουσιν οἱ πολλοὶ περὶ τῶν δικαίων πρὸς ἀλλήλους· οὐ μόνον δὲ στασιάζουσιν· ἀλλὰ καὶ πόλεμοι μέγιστοι διὰ τοῦτο γεγόνασιν· εἰ [8] μὲν γὰρ στάσις μικρὰ μάχη ἐστίν, εἰ [9] καί, ὅτι πρὸς οἰκείους γίνεται, χείρων ἐστὶ τοῦ πολέμου· ὁ δὲ πόλεμος μεγάλη μάχη καὶ γάρ, ὡς προείρηται, ἐπειδὴ διὰ πάσης τῆς οὐσίας ἡμῶν καὶ τῆς τριμερείας τῆς ψυχῆς διῆλθε τὸ δίκαιον, διὰ τοῦτο οἱ ἀδικούμενοι νεκροὺς καὶ ἀνουσίους ἑαυτοὺς ἡγοῦνται, εἰ μὴ τύχωσι [10] τοῦ δικαίου· διὸ καὶ τοὺς μεγίστους πολέμους κινοῦσιν. Καὶ παραδείγματα τοῦ διὰ τὸ δίκαιον τοὺς πολέμους γίνεσθαι φησὶ τήν τε Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν εἶναι. Οὐδὲν γάρ ἐστιν ἡ Ἰλιὰς ἢ ῥαψῳδία δικαιολογίας βαρβάρων πρὸς τοὺς Ἕλληνας· τῶν

(5) Sic ex corr. Reponi juberem: *Δημοκριτείους*, si non vidissem in aliis quoque Olympiodori codicibus has formas frequentari. Sic, ut hoc utar, in scholiis in Phaedonem novissimi editores Mustoxydes et Schinas e codd. ediderunt p. 6. *Πυθαγορία τις γυνή*, p. 10 *παρὰ Πυθαγορίοις* p. 8 *ὁ δὲ Φιλόλαος Πυθαγόριος ἦν* et ita passim. De illo Democriteo *inani* vid. Diog. Laërt. IX. 44 cf. ibid. X. 44 in Epicuro, qui hanc sententiam amplexus erat, ibiq. Menag. adde Ciceron. de Finib. I. 6. 21. p. 27 ed. Goerenz. Proxime legendum est: *συμφωνοῦντας — ἀνεπιστήμονας.*

(6) Fort. *ὅτι οἱ*. (7) In Cod. est *συμφωνοοῦντες*.

(8) An scr. *ἤ*? (9) Fort. *ἦ*?

(10) [Ad rem cf. p. 73.] Xenoph. Ephes. II. 3. p. 12 ed. Peerlkamp. *ἀπειλεῖ δὲ, εἰ μὴ τύχῃ, δεινὰ ἡμᾶς ἐργάσασθαι*, ubi de Conjunctivo post *εἰ μὴ*, praesertim cum Aorist. sec. copiose disputant Locella et Peerlkamp. p. 206 sq. adde Ast. ad Platon. Phaedr. p. 244. Matth. gr. gr. 525. 7. b. ibiq. laudd. Acta philoll. Monac. I. p. 233—236. 465. Dissen. in disquisitt. philoll. I. p. 16 sq. p. 19. In Apollonio de Syntaxi p. 20 et p. 27 Imm. Bekkerus ex codd. edidit: *εἰ τύχοι* pro vulgato *εἰ τύχῃ*.

μὲν βαρβάρων λεγόντων προηδικεῖσθαι διὰ τὸν Ἰάσονα, Ἕλληνα ὄντα, καὶ τὴν Μήδειαν ἁρπάζοντα, βάρβαρον οὖσαν· τῶν δὲ Ἑλλήνων μᾶλλον λεγόντων ἠδικεῖσθαι [11] διὰ τὴν ἁρπαγὴν τῆς Ἑλένης. Ταῦτα δὲ ὁ Ἡρόδοτος εὐθέως ἐν ἀρχῇ τῆς οἰκείας ἱστορίας φησίν [12]. Καὶ ἐν Ὀδυσσείᾳ δὲ δικαιολογία ἐστὶ μνηστήρων καὶ Τηλεμάχου· τῶν μὲν μνηστήρων λεγόντων, μὴ δεῖν γυναῖκα χήραν τοὺς πρώτους τῆς Ἰθάκης μετὰ πολλῶν ἔθνων προςιόντας ἀποστρέφεσθαι· τοῦ δὲ Τηλεμάχου λέγοντος, μήπω φανερὸν εἶναι, εἰ τέθνηκεν ὁ πατὴρ, καὶ ὅτι οὐ δίκαιόν ἐστι τὸν πατρῷον οἶκον ὑπ᾽ αὐτῶν κείρεσθαι [13]. Ἐπειδὴ καὶ ἄλλο παράδειγμα τὴν ἐν Κορονείᾳ [14] μάχην λέγων, ὅτι καὶ ἡ [15] αὕτη διὰ τὸ δίκαιον γέγονεν. Καὶ δυνάμενος ἕτερον πόλεμον μείζονα παραγαγεῖν οὐ πεποίηκε τοῦτο, καταποικίλλων τὴν ἑαυτοῦ διδασκαλίαν. Τὸν μὲν γὰρ Τρωϊκὸν διὰ τὸ λαμπρότερον τοῦ ὑποκειμένου τέθεικε, τὸν δὲ ἐν κορονίᾳ [16] διὰ τὸ οἰκειότερον αὐτὸν εἶναι τῷ νέῳ. Καὶ γὰρ Κλεινίας, ὁ Ἀλκιβιάδου πατὴρ, ἀριστεύσας ἐκεῖ ἐτεθνήκει. Κατὰ ζῆλον δὲ ποιητικὸν τοῦτο πεποίηκεν. Καὶ γὰρ παρὰ τῷ ποιητῇ διαλεγόμενος ὁ Νέστωρ πρὸς τὸν Ἀχιλλέα τοῦ πολέμου μέμνεται [17] τῶν Λαπιθῶν, ἐν ᾧ ὁ Πηλεὺς ἠρίστευσεν· ὡς καὶ ὁ Ἰσοκράτης ἐν Εὐαγόρᾳ [18] φησίν. Οὕτω δὲ καὶ ὁ Πρίαμος πρὸς τὸν Ἀχιλλέα· μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ [19]. Ἐν οἷς ἡ θεωρία.

Ἀλλ᾽ ἴσως τοῦτο οὐκ ὀρθῶς ἀπεκρινάμην, τὸ φάναι εἰδέναι αὐτὸ ἐξευρών [20]. — Ἐνταῦθα, ὡς προείρηται, πρὸς τὴν μίαν τῶν προτάσεων ἀντιτίθεται, λέγων μὴ καλῶς εἰρηκέναι, ὅτι οἶδε τὰ δίκαια ἐξευρών. Οὐ γὰρ ἐξευρὼν, ἀλλὰ μαθὼν, φησὶ, γινώσκω ταῦτα. Καὶ τοῦ Σωκράτους ἀπαιτοῦντος εἰπεῖν τοὺς διδασκάλους, ἵνα καὶ αὐτὸς φοιτήσῃ

(11) Scr. *ἠδικῆσθαι.* [ut supra *προηδικῆσθαι.*] (12) Vid. Herodot. I, 2. 3. ib. interprr.
(13) Vid. Odyss. α,368 sqq. coll. Odyss. σ,283 sqq.
(14) Scrib. *Κορωνείᾳ.* Ad rem jam supra laudavimus Wessel. ad Diodor. Sic XII, 7. p. 482. Ed. Wess. T. I.
(15) Delendus videtur articulus.
(16) Sic scrib. ut supra *Κορωνείᾳ.*
(17) Scrib. *μέμνηται.* Ad rem vid. Iliad α,154 sqq.
(18) Vid. Isocrat. Euagor. cap. 6. p. 191 Coraii.
(19) Vid. Iliad. ω,486. (20) Scrib. ex Edd. *τοῦτο σοι — αὐτός.*

πρὸς αὐτοὺς, ὁ νέος φησί· παρὰ τῶν πολλῶν μεμαθηκέναι· εἶτα δείκνυσιν ὁ Σωκράτης, ὅτι οὐκ εἰσὶν οὗτοι τῶν δίκαιων ἀκριβεῖς διδάσκαλοι, ἀλλὰ μὴν οὔτε κρήγυοι, ὡς ἐπὶ λέξεως μικρὸν ὕστερον φησίν· τὸ δὲ κρήγυοι ἀντὶ τοῦ ἀγαθὸς κεῖται· ὡς καὶ ἐκ τῆς πρὸς τὸ κακὸν ἀντιθέσεως παρὰ τῷ ποιητῇ δῆλον τοῦτο· εἰπὼν γάρ· μάντι κακῶν, οὐ πώποτέ μοι το κρήγυον εἶπες [21]· ἐπήγαγεν· ἀεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μανθεύεσθαι [22]· Ἀντέθηκε γὰρ τὰ κακὰ πρὸς τὸ κρήγυον, ὡς ἀγαθὸν ὄν. — Οὐκ εἰς σπουδαίους τε [23] διδασκάλους καταφεύγεις, εἰς τοὺς πολλοὺς ἀναφέρων· τὸ ἀπόφθεγμα τῶν ἑπτὰ σοφῶν ἐν τούτοις παρῳδεῖ· οἱ πλείονες κακίους [24]. Ζητοῦμεν δέ· πῶς εἰ τὸ κατὰ φύσιν πλέον ἐστὶ τοῦ παρὰ φύσιν· κατὰ φύσιν γάρ εἰσι πάντες ἄνθρωποι πενταδάκτυλοι, καὶ τοῦτο ὡς ἐπὶ τὸ πολύ ἐστι· παρὰ φύσιν δὲ ἑξαδάκτυλοι καὶ τοῦτο ἐπ' ἔλαττον. Πῶς οὖν εἰ τὸ κατὰ φύσιν πλεινοάζει τοῦ παρὰ φύσιν οἱ πλείους κακοὶ λέγονται εἶναι; Ἢ φαμὲν, ὅτι καθάπερ ἐν λοιμώττοντι χωρίῳ οὐ θαυμάζομεν, εἰ πολλοὶ νοσοῦσιν, ἀλλ' εἰ ὀλίγοι ὑγιαίνουσιν· οὕτω καὶ ἐν τούτοις ἀεὶ [25] νομίζειν, ὅτι κατελθοῦσαι ἐνταῦθα αἱ ψυχαὶ μᾶλλον νοσοῦσιν, ἤπερ ὑγιαίνουσιν, ὡς ἐν τόπῳ οὖσαι ἀνοικείῳ καὶ διὰ τοῦτο οἱ πλεῖστοι κακοί· πατὴρ γὰρ ἡμῶν καὶ πατρὶς ἀληθὴς ἄνω μόνον ἐστίν [26]. —

(21) Supr. recte *εἶπας*. Sunt versus notissimi Agamemnonis apud Hom. Il. *α*,106 sq. ubi vid. Grammaticorum vett. locos ab Heynio laudatt. in Observv. Tom. IV. p. 49. Adde Etymolog. Gud. p. 345. Orionis Thebani Etymol. p. 79. et praecipue Buttmanni Lexilogum §. 10 p. 25 sq. Erat cum beatus Werferus in Herodoto I. 73. ubi illud *ὀργὴν οὐκ ἄκρος* Criticos divexat conjiceret: *ὀργὴν οὐ κρήγυος*. Ad locum Homericum adhibe praeterea the Classical Journal II. p. 905 sq.

(22) Scrib. ex Homero *αἰεὶ — μαντεύεσθαι*. (23) Edd. *γε*.

(24) Fuit haec Biantis sententia. Vid. Diog. Laërt. I, V. 88. ubi est: *οἱ πλεῖστοι κακοί*.

(25) In marg. bene *ἴσ. δεῖ*.

(26) Prope abest haec sententia a Pauli Apostoli effato Phil. 3, 20 et Hebr. 11. 13 sq. Plura in eam sententiam contuli ad Plotinum de pulcr. in Annot. p. 352 — 354. Nunc addam Olympiodori nostri locum ex Scholiis in Phaedonem; ubi ille in explicatione *εὐλόγου ἐξαγωγῆς*, quam philosophi dicunt, p. 9 ed. princ. Venet. ita: *μήποτε οὐ καλῶς εἶπεν ἀποδημεῖν; ἔδει γὰρ εἰπεῖν „ἐπιδημεῖν" διότι πατὴρ ἡμῶν καὶ πατρὶς ἐκεῖ.*

*Καίτοι φαυλότερα αὐτὰ τῶν δικαίων εἶναι.* Ἐνταῦθα ἡ ἀπορία, ἣν ἐν τῇ θεωρίᾳ προειλήφαμεν, καὶ τὰς πρὸς αὐτὴν δύο λύσεις Πρόκλου καὶ Δαμασκίου. *Τὰ δὲ σπουδαιότερα τοῦ πεττεύειν, ποῖα ταῦτα;* οἷον τὸ ἑλληνίζειν, ὅτι οὐ μόνον τῶν δικαίων εἰσὶν οἱ πολλοὶ διδάσκαλοι, φησὶν ὁ νέος, ὅτι καὶ τὸ ἑλληνίζειν οὗτοι διδάσκουσιν, εἰ καὶ τὰ φαυλότερα οὐκ ἐπίστανται, οἷον τὸ πεττεύειν· καὶ κατὰ ζῆλον Πυθαγόριον [27] πρῶτον ἐξαίρει τὸ ἑλληνίζειν, διὰ τοῦ εἰπεῖν σπουδαιότερα, οἱοντέστι [28] διδάσκειν καὶ ἐπαγαγεῖν τὸ ἑλληνίζειν· ἰστέον γὰρ ὅτι οἱ Πυθαγόριοι ἐθαύμαζον τοὺς πρώτους εὑρόντας τοὺς ἀριθμοὺς λέγοντες ἐγνωκέναι τούτους τὴν οὐσίαν τοῦ νοῦ [29]· εἴγε ἀριθμοὺς ἐκάλουν τὰς ἰδέας, αἱ δὲ ἰδέαι ἐν τῷ νῷ εἰσιν. Ἐθαύμαζον δὲ καὶ τοὺς πρώτους θέντας τὰ ὀνόματα [30]· οὗτοι γάρ, φασὶ, τὴν οὐσίαν ἔγνωσαν τῆς ψυχῆς. Ταύτης γὰρ τὸ ὀνοματοθετεῖν, καὶ οὐ νοῦ· εἴγε ὁ μὲν νοῦς φύσει πάντα παράγει, ἡ δὲ ψυχὴ θέσει· θέσει δὲ τὰ ὀνόματα. Οὕτως οὖν ὁ Ἀλκιβιάδης προεξυμνεῖ [31] τὸ ἑλληνίζειν, μέλλων τούτου διδασκάλους ἐρεῖν τοὺς πολλούς, παρ' ὧν αὐτὸς ἔφη μεμαθηκέναι τὸ δίκαιον. Τὸ δὲ ἑλληνίζειν διττόν [32]· ἢ τὸ ἁπλῶς ἑλλάδι φωνῇ μόνῃ κεχρῆσθαι, οἱ [33] διδάσκαλοί εἰσιν οἱ πολλοί· ἢ τὸ ἀπταίστως διαλέγεσθαι, οὗ διδάσκαλοί εἰσιν οἱ γραμματικοί· περὶ γὰρ ἑλληνισμοῦ ἡ γραμματική. — *Ἀλλ', ὦ γενναῖε, τούτου μὲν ἀγαθοὶ διδάσκαλοι.* — Ἐπειδὴ ἀγεννεῖς οἱ πολλοί, ἐξαίρει τῶν πολ-

(27) Vid. supra annot. ad voc. *Δημοκριτείους*. p. 92.
(28) Scrib. vid. *οἷόν ἐστι τὸ*.
(29) Vid. Jamblich. de Vit. Pythag. 146. p. 123 Kust. Nicomach. Gerasen. Institut. Arithm. p. 74. ed. Ast. Aristot. Metaph. I, 5. Sext. Empir. Pyrrhon. Hypotyp. III, 152. Cic. Acad. IV, 37. Rittershus. ad Porphyr. de Vita Pythag. p. 75. Kust.
(30) Vid. Jamblich. de Vit. Pythag. 56. p. 42. Kust. cf. Platon. Cratyl. p. 390. p. 26 Heindf. p. 18 sq. Bekker.
(31) Vocabulum *προεξυμνεῖν* abest a Lexicis.
(32) Scholiast. ad h. l. Ruhnk. p. 70. ait: *τὸ ἑλληνίζειν τριττόν· ἢ τὸ τὴν Ἑλληνικὴν συνήθειαν διασώζειν τῶν ὀνομάτων ἐπὶ πάντων. οἱ πολλοί. ἢ τὸ ἀκριβοῦν τὴν Ἑλληνικὴν φωνὴν, καὶ τὴν ὀρθότητα τὴν ἐν τῇ προφορᾷ. οἱ γραμματικοί. ἢ τὴν κυριότητα τῶν ὀνομάτων τὴν κατὰ φύσιν προσήκουσαν τοῖς πράγμασιν ἀπονέμειν. οἱ φιλόσοφοι.* Cfr. etiam Valckenar. Schol. in N. T. I. p. 410 sq. De usu activo et passivo hujus verbi et compositorum vid. Lobeck. ad Phrynich. Eclog. p. 379 sq. (33) Scrib. *οὗ*.

λῶν τον νέον ὁ Σωκράτης, γενναῖον αὐτὸν προςειπών. Καὶ ἰδοὺ καθὼς προείρηται τοῦ μὲν ἑνὸς, τοῦ ἑλληνίζειν, ἀποδέχεται διδασκάλους εἶναι τοὺς πολλοὺς, τοῦ δὲ ἑτέρου οὐδαμῶς, τῶν δικαίων. Διελέγχει γὰρ αὐτοὺς ἐν τούτῳ διὰ τῶν ἐφεξῆς. Ἐπαινεῖ γὰρ αὐτοὺς, ὡς συμφωνοῦντας περὶ τὸ ἑλληνίζειν, ἵνα περὶ τὸ δίκαιον δειχθῶσιν ἀμαθεῖς, μὴ συμφωνοῦντας ἀλλήλοις· οὐ ταύτην ὁμολογοῦσι καὶ ἐπὶ ταύτην ὁρμῶσιν [34]· τὸ μὲν ὁμολογοῦσι γνώσεώς ἐστι, τὸ δὲ ὁρμῶσι ζωῆς. Συνέπλεξε δὲ ἀλλήλοις καὶ συνῆψεν ἀμφότερα, δεικνὺς ὅτι καὶ ἡ ζωὴ δόγματα γεννᾷ, καὶ τὰ δόγματα ζωήν. Καὶ γὰρ ἀγαθὸν ὁ δοξάζων εἶναι τὴν ἡδονὴν πειρᾶται ἥδεσθαι καὶ κατὰ ταύτην ζῆν· καὶ τὸ ἀνάπαλιν ὁ ἡδονικῶς ζῶν καὶ δόγματα τοιαῦτα φησὶν, ἀγαθὸν εἶναι τὴν ἡδονήν. Σχεδὸν γάρ τι μανθάνω τὸ ἑλληνίζειν ἐπίστασθαι, ὅτι τοῦτο λέγεις. — Ἰδοὺ κἀντεῦθεν δῆλον, ὅτι διττὸν τὸ ἑλληνίζειν. Ὁ γὰρ Σωκράτης μετὰ τὸ εἰπεῖν τὸν νέον, ὅτι λίθον καὶ ξύλον καὶ τὰ τοιαῦτα ἅπαντες ὡσαύτως ἴσασι καλεῖν, καὶ οὐχ οἱ μὲν ἄλλως οἱ δὲ ἄλλως, ὅπερ δηλοῖ τῇ ἑλλάδι φωνῇ μόνον χρῆσθαι, ἐπήγαγε λοιπὸν ἐκ τούτου, ὅτι μανθάνω σχεδὸν τοῦτό σε λέγειν· καὶ οὐ τὸ ἑλληνίζειν ἕτερον, περὶ ὃ οἱ γραμματικοί. Ἐκεῖνο γὰρ οὐ περὶ τὸ ὡσαύτως ταῦτα καλεῖν καταγίνεται [35], ἀλλὰ περὶ τοῦ τὰ κείμενα ὀνόματα ἀπταίστως προάγειν. — Ἀλλὰ καὶ τίνες αὐτῶν δρομικοί τε καὶ μή. — Μέλλων ὁ Σωκράτης μεταβαίνειν ἐπὶ τὸ δεῖξαι τοὺς πολλοὺς ἀμαθεῖς περὶ τὸ δίκαιον, προλαμβάνει ταῦτα, λέγων, ὅτι εἰ μὴ μόνον θελήσωμεν [36] γνῶναι ποῖόν ἐστιν ἄνθρωπος, ἢ ποῖόν ἐστιν ἵππος, ὥςπερ ἄνω λίθον ἢ ξύλον,

(34) Edd. pro *ταύτην* utrobique *ταὐτά*.

(35) *Καταγίνεται*, i. e. *versatur* in ea re, sive circa hoc argumentum *versatur*. De hujus significationibus aliis vid. Abresch. ad Dilucidd. Thucydd. IV. 126. Biel. Thes. V. T. II. 120. Steph. Thes. I. p. 831. Schweigh. Lex. Polyb. p. 326. et quae propius ad loci nostri sententiam facientia idem vir doctus congessit in Indic. Graecit. Epictet. p. 365. Ego adjiciam gemina Mich. Pselli jun. in libello qui inscribitur. *Ἐπίλυσις εἰς τοὺς ἐξ τῆς φιλοσοφίας τρόπους*. Ibi enim ita: *ὅτι ἡ μὲν τέχνη περὶ τὰ ὑλικὰ καὶ φθειρόμενα, καὶ μὴ ἀεὶ ὡσαύτως ἔχοντα καταγίνεται.*

(36) Vid. supra ad *εἰ μὴ τύχωσι*. p. 96.

ἅτινα τοῦ ἑλληνίζειν εἰσίν. Ἀλλὰ καὶ τίνες δρομικοί· καὶ ὡς ἐφεξῆς ἐπάγει, τίνες ὑγιεινοί· ἆρα καὶ περὶ τούτου γινώσκουσιν οἱ πολλοί; Καὶ ὁ νέος φησὶν οὐδαμῶς· δῆλον γάρ, ὅτι τέχναι περὶ ταῦτά εἰσιν, ἃς οὐ γινώσκουσιν οἱ πολλοί. Περὶ μὲν τὰ ὑγιεινὰ ἰατρική, περὶ δὲ τοὺς δρομικοὺς διακρίνειν, φησὶ ἡ γνωμονική [37]. Ἰστέον γάρ, ὅτι διαφέρει δρομεὺς δρομικοῦ, τὸ μὲν γάρ ἐστι ἕξεως ὄνομα του [38] τοῦ δρομέως· τὸ δὲ ἐπιτηδειότητος, τὸ τοῦ δρομικοῦ. Ἴσως οἱ πολλοὶ περὶ μὲν δρομέων, οἷον ἵππων, δύνανται διδάξαι, τίνες αὐτῶν μᾶλλον ὀξύτερον [39] θέουσιν, τίνες δὲ ἧττον. Ὁπότε καὶ τοῦτο γυμναστικῶς ἐστι· πλὴν εἰ καὶ τοῦτο ἴσασιν· ἀλλ' οὐ τοὺς δρομικοὺς οὐ δύνανται διαγνῶναι, τέχνης γὰρ τοῦτο μεγίστης, τῆς τοῦ φυσιογνώμονος, εἰπεῖν, τίνες δρομικοὶ ἔσονται ἢ πυκτικοί, καὶ τὰ τοιαῦτα. Ἥκιστα νὴ Δία, ὦ Σώκρατες. Ἐπειδὴ τὸ μὰ ἀποφατικόν ἐστι, καθάπερ τὸ ναὶ καταφατικόν, ἔδει αὐτὸν ἀποφατικῶς τὸ μὰ Δία εἰπεῖν· ὁ δὲ οὐδὲν ἧττον τὴν ἀπὸ τοῦ νὴ Δία κατάφασιν ἀνεῖλε, διὰ τοῦ ἥκιστα, δηλοῦντος τὸ οὐδαμῶς, ὅπερ ἐστὶ καὶ αὐτὸ δηλονότι ἀποφαντικόν [40]. — Ἀκήκοας γοῦν ἄλλων τε πολλῶν καὶ Ὁμήρου. Ζητητέον, πῶς, εἰ τρία μόνον ἔφαμεν γινώσκειν τὸν Ἀλκιβιάδην, γράμματα, κιθαρίζειν, παλαίειν, νῦν ὁ Σωκράτης καὶ ποιητικὴν αὐτὸν λέγει μεμαθηκέναι; Ἔφαμεν, ὅτι ἐκεῖνα μὲν τὰ τρία ὡς τέχνας ᾔδει, ποιημάτων δέ, εἰ καὶ ἠκροάσατο, ἀλλ' οὖν οὐχ ὥσπερ τέχνην μαθών. — Περὶ ὧν

(37) Mendum inest in his verbis. Ex iis, quae mox subsequuntur, conjicio *φυσιογνωμονική* et potuit antecedens *φησὶ* obruere illud *φυσι* praesertim secundum Itacismum. Sed tamen fortasse simplex recte habet, si intelligas artem *ἱππογνώμονος*, i. e. ejus qui equorum aetatem virtutemque dignoscere callet. Vid. Hesych. I. p. 64 ibiq. laud. Salmas. ad Solin. p. 471. et Hoogeveen ad Viger. p. 94 ibiq. laudd.

(38) Scr. vid. *τό*.

(39) Vox *ὀξύτερον* glossatoris videtur. Nisi malueris exemplis annumerare quae collegerunt interprr. Thomae Magistri p. 596. Cf. etiam Hermann. ad Viger. p. 719 seq. et quae plura laudavi supra ad Proclum p. 225 not. extrem. Vocem *ὀξύτερος* certe in hac ipsâ re non minus quam *δρομικώτερος* agnoscit Pollux III. 148 p. 343 ed. Hemsterh.

(40) Scr. *ἀποφατικόν*.

οὕτω πλανᾷ· μετὰ τὸ δειχθῆναι τοὺς πολλοὺς μὴ εἰδότας τὰ δίκαια καὶ τοῦτο τὸν νέον ὁμολογῆσαι, φησὶν ὁ Σωκράτης, ὅτι πῶς εἰκός ἐστι γινώσκειν σὲ τὰ δίκαια, περὶ ὧν οὕτω πλανᾷ· Καὶ γὰρ πλανᾶται ὁ νέος περὶ ταῦτα, ποτὲ μὲν λέγων, τοὺς πολλοὺς εἰδέναι τὰ δίκαια, καὶ παρὰ τούτων μαθεῖν, νῦν δὲ διὰ τῶν ἐλέγχων ὁμολογῶν αὐτοὺς ἀγνοεῖν· καὶ ὅτι πρὸ τούτων ὤφθης μὴ ἐξευρών· νῦν δὲ, ὅτι οὔτε [41] μαθὼν, οὐ γὰρ ἔσχες διδασκάλους.

## Πρᾶξις σὺν θεῷ ια.

Ἐκ μὲν ὧν σὺ λέγεις οὐκ εἰκός. Δειχθεὶς ὁ Ἀλκιβιάδης διπλῇ ἀμαθαίνων περὶ τὸ δίκαιον, οὔτε γὰρ ᾔδει τοῦτο, καὶ μὴ εἰδὼς ᾤετο εἰδέναι· καὶ ὅτι διδασκάλους ἑαυτῷ τοὺς πολλοὺς ἐπεγράφετο μὴ εἰδότας τὸ δίκαιον, ὡς ἐδήλωσεν ἡ περὶ τούτου αὐτοῖς διαφωνία, ὡς ἀφυὴς [1] καὶ ῥητορικὸς φησίν, ὅτι, ὡς σὺ λέγεις, εἰκός με μὴ εἰδέναι τὸ δίκαιον, φησίν· ἐκ μὲν ὧν σὺ λέγεις οὐκ εἰκός· διὰ τοῦ εἰκὸς καὶ τοῦ σύ τὸ φιλότιμον ἦθος ἑαυτοῦ δεικνύς. Δυσαπόβλητον γὰρ πάθος, ὡς εἴρηται, πολλάκις τὸ φιλότιμον, διότι ἃ πρῶτον ἐνεδύσατο ἡ ψυχὴ, ταῦτα ὕστερον ἀποβάλλεται· τὰ μὲν γὰρ ἄλλα πάθη ταχέως παύεται, ὥςπερ τὸ φιλήδονον ἐν γήρᾳ. Δηλοῖ γοῦν ἐν τῇ πολιτείᾳ Σοφοκλῆς λέγων· ἀμενέστατα [2] μέντοι διέφυγον αὐτά [3]. Ὁ δὲ Σωκράτης λέγει τὸν Ἀλκιβιάδην μὴ καλῶς εἰρηκέναι, αὐτὸς γὰρ περὶ αὐτοῦ ἐμαρτύρισεν [4], ὡς μὴ εἰδότος τὸ δίκαιον. Καθόλου γὰρ ἐν οἷς ἐρωτήσεις εἰσὶ καὶ ἀποκρίσεις, ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, ἀλλ' οὐχ ὁ ἐρωτῶν· καὶ ἐπειδὴ ἐν ταῖς διαλεκτικαῖς ἐρωτήσεσι τὰ αὐτὰ λέγει καὶ ὁ ἐρωτῶν καὶ ὁ ἀποκρινόμενος, οἷον·

(41) [Scr. vid. *οὐδὲ*. supra *πλανᾶται*, ut p. seq. med. *ἐρωτᾶται*.]
(1) Leg. *εὐφυής*. (2) Suprascr. *ἀσμ*.
(3) Plato de Republ. I. p. 329. p. 5 Ast. p. 6 Bekker. *Πῶς, ἔφη, ὦ Σωφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τ' εἶ γυναικὶ συγγίγνεσθαι; Καὶ ὅς, Εὐφήμει, ἔφη, ὦ ἄνθρωπε· ἀσμεναίτατα* (ita Ast. et Bekker pro *ἀσμενεστ*. vid. illius Commentar. p. 330) *μέντοι αὐτὸ* (*αὐτὰ* Ast.) *ἀπέφυγον, ὥςπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών*.
(4) Scrib. *ἐμαρτύρησεν*.

ἡ ψυχὴ ἀθάνατος ἢ οὐκ ἀθάνατος; καὶ ἀποκρίνεται ὅτι ἢ ἀθάνατος ἢ οὐκ ἀθάνατος· καὶ λανθάνει ἐπὶ τούτων τίς ὁ λέγων. Ἐπὶ δὲ τῶν πυσματικῶν ἐρωτήσεων, ἐν αἷς ἄλλα μὲν λέγει ὁ ἐρωτῶν, ἄλλα δὲ ὁ ἀποκρινόμενος (δεῖται γὰρ λόγου) [5], ἐπὶ τοῦ σαφεστέρου δείκνυσι τὸν λόγον, ὅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων. Ἡμεῖς δὲ δείξομεν, ὅτι καὶ ἐν τῷ διαλεκτικῷ λόγῳ ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, ἀλλ' οὐχ ὁ ἐρωτῶν, εἰ μόνος ὁ ἀποκρινόμενος ἀληθεύει καὶ ψεύδεται, καὶ ὅτι μόνος λέγει δῆλον· ὁ γὰρ μήτε ἀληθεύων μήτε ψευδόμενος οὐ λέγει. Δεύτερον· εἰ σύγκειται ὅλος ὁ συλλογισμὸς ἐκ τῶν ἐρωτήσεων τοῦ προςδιαλεγομένου, ὁ ἐρωτώμενός ἐστιν ὁ λέγων, καὶ ὅτι πολλάκις δίδωσιν ὁ προςδιαλεγόμενος προτάσεις τοιαύτας μὴ δοκούσας τῷ ἐρωτῶντι, ἐξ ὧν σύγκειται ὁ συλλογισμός· καὶ ὅτι εἰ καὶ οἱ ἄλλοι ἐρωτῶντες λέγουσιν, ἀλλὰ Σωκράτης ὡς μαιευτικὸς οὐ λέγει. Διότι ὥςπερ ἡ μαία οὐ τίκτει, ἀλλὰ τὰς ὠδίνουσας γεννᾷν παρασκευάζει, οὕτω καὶ οὗτος. Τί οὖν οὐδὲν λέγει ὁ ἐρωτῶν; ἢ καὶ αὐτὸς λέγει, ἀλλ' οὐ τὰς προτάσεις, ἀλλὰ τὴν πλοκὴν καὶ τὸ συμπέρασμα. Τὸ γὰρ συμπέρασμα οὐκ ἐρωτᾶται ἑπόμενον ἐξ ἀνάγκης ταῖς προτάσεσιν. Διὸ καὶ μεμφόμεθα, εἰ μὲν ψευδὲς συναχθῇ τῷ ἀποκρινομένῳ ὡς κακῶς ἀποκρινομένῳ· εἰ μὴ γὰρ δεδώκει [6] μίαν ψευδῆ πρότασιν, οὐκ ἂν ψευδὲς συνήγετο· εἰ δὲ μηδὲν συναχθῇ ἐκ τῶν προτάσεων τῷ ἐρωτῶντι, ὡς μηδὲν ἐκ τῶν ἐρωτήσεων συνάξαντι. Ἀλλ' εἰ καὶ ὁ ἐρωτῶν λέγει, πῶς φησὶν ὁ Σωκράτης τὸν ἀποκρινόμενον μόνον λέγειν; ἢ οὐχ ἁπλῶς φησι μὴ λέγειν τὸν ἐρωτῶντα, ἀλλ' ἐν οἷς ἔστιν ἐρώτησις καὶ ἀπόκρισις, φησὶν ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων· οὐδὲ γὰρ ἃ λέγει ὁ ἐρωτῶν ἐρωτᾶται· οἷον τὴν πλοκὴν καὶ τὸ συμπέρασμα· ταῦτα γὰρ οὐκ ἐρωτᾶται. Καὶ αὐτὸς δὲ οὐκ ἠγνόησεν ὁ Πλάτων ἀμφότερα, ἀλλ' οἶδε τὸ μὲν λέγειν τὸ ἀποκρινόμενον ἐνταῦθα ἐν οἷς ἐρώτησίς ἐστι καὶ ἀπόκρισις, ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, τὸ δὲ ἄλλο ἐφεξῆς λέγων· δεῖξόν μοι ὅτι οἶδας τὸ δίκαιον, ἢ αὐτὸς ἐρωτῶν, ἢ ἀποτάδην τὸν λόγον ποιούμενος· ἅτε

(5) Verba haec parentheseos signis inclusa abundare videntur.
(6) Scrib. *ἐδεδώκει*. [Supra scr. vid. *εἰ καὶ* pro *ἢ καί*.]

εἰδὼς ὅτι ποτὲ καὶ ἐρωτῶν λέγει. Διὸ, ὡς εἴρηται, καὶ μεμφόμεθα αὐτῷ, ὡς μηδὲν συναγαγόντι· ταῦτα εἰπὼν καὶ πληρώσας τὸν τρίτον συλλογισμὸν (ἦν γὰρ ὁ πρῶτος, ἐν ᾧ ἐδείκνυ αὐτὸν διπλῇ ἀμαθαίνοντα περὶ τὸ δίκαιον· μὴ γὰρ εἰδὼς ᾤετο εἰδέναι· δεύτερος, ἐν ᾧ ἐκ τῶν πολλῶν τοῦτο κατεσκεύαζε· διδασκάλους γὰρ ἑαυτοῦ τοὺς πολλοὺς ἐπεγράφετο [7]· καὶ τρίτος, ἐν ᾧ καθόλου ἔδειξεν, ὅτι ἐν οἷς ἐρώτησίς ἐστιν καὶ ἀπόκρισις, ὁ ἐρωτώμενός ἐστιν ὁ λέγων, ἀλλ' οὐχ ὁ ἐρωτῶν)· πληρώσαντος οὖν τὸν τρίτον ἀνατίθεται [8] πάλιν ὁ νέος ὡς εὐφυὴς πρὸς τὴν λοιπὴν πρότασιν. Πάλαι μὲν γὰρ ἀνέθετο πρὸς τὴν ἑτέραν, λέγων, ὅτι κακῶς εἶπον, ὅτι οὐκ ἔμαθον· ἔμαθον γὰρ ἐκ τῶν πολλῶν· νῦν δὲ πρὸς τὴν λοιπὴν, ὅτι οὐκ ὀρθῶς ἀπεκρινάμην τοὺς Ἀθηναίους περὶ δικαίων βουλευομένους, οὐ γὰρ περὶ δικαίων βουλεύονται, ἀλλὰ περὶ συμφερόντων· τοῦτο δὲ ὡς ῥητορικὸς, ἐπειδὴ ᾔδει ὅτι τοῦ συμβουλευτικοῦ τέλος ἐστὶ τὸ συμφέρον, ἀλλ' οὐ τὸ δίκαιον. Καὶ πάλιν φησὶν ὁ Σωκράτης, ἀλλὰ διὰ τῶν αὐτῶν λόγων δειχθήσῃ μὴ εἰδὼς τὸ συμφέρον· ἢ γὰρ ἔμαθες, ἢ εὗρες· οὐ γὰρ δέος, μὴ κατατρίβωσιν οἱ λόγοι δίκην σκευαρίων τῷ χρόνῳ κατατριβομένων. Ἢ γὰρ ταὐτόν ἐστι τὸ δίκαιον καὶ τὸ συμφέρον, καὶ δειχθεὶς μὴ εἰδὼς τὸ δίκαιον, συναποδειχθεὶς [9] μὴ εἰδὼς δὲ τὸ συμφέρον, εἰδώς· ἢ ἄλλο καὶ ἄλλο· καὶ δειχθείσῃ δύο ἀνθ' ἑνὸς ἀγνοῶν· οὐ γὰρ ἔχεις χρόνον εἰπεῖν τὸν ὅτε οὐκ ᾤου εἰδέναι τὸ ἀγαθόν· πάντα γὰρ τοῦ ἀγαθοῦ ἐφίεται.

Ταῦτα ἔχει ἡ θεωρία. Ἐκ μὲν ὧν σὺ λέγεις οὐκ

(7) Id est: „multitudinem sibi magistram adscribebat, s. arrogabat, adsciscebat.“ Lucian. Hermotim. §. 14 p. 753 p. 18 Bip. (T. IV.). *Μάλα πολλοὶ, Περιπατητικοὶ καὶ Ἐπικούρειοι, καὶ οἱ τὸν Πλάτωνα ἐπιγραφόμενοι*, h. e. qui Platonis se alumnos ferunt, s. qui Platonicos se dictitant. Suidas in voc. Zonar. L. Gr. p. 836: *ἐπιγραφομένῳ· ἰδιοποιουμένῳ, οἰκειουμένῳ*, ubi vid. laudd. a Tittmanno. De locutionis origine e rebus Atheniensium civilibus vid. Harpocration p. 157 ib. Interpr. coll. Indic. Graecit. Lysiac. Vol. VI p. 808 Reisk. et praecipue Reitz. ad Lucian. Bis Accusatt. Vol. VII. p. 427 Bip. Similem locutionem in aliquanto diversâ constructione illustravit Wyttenbach. in epist. crit. p. 31. p. 251 ed. Schaef.

(8) Retractat, alia omnia dicit. De hoc verbo vid. Proclum in hunc dialog. cap. 83 p. 252 ibiq. laudd.

(9) [Lacunosa videntur; fort: *συναποδειχθεὶς μὴ εἰδὼς τὸ συμφέρον· μὴ εἰδὼς δὲ τὸ συμφέρον συναποδειχθεὶς μὴ εἰδὼς τὸ δίκαιον·*] Mox. scr. *δειχθήσῃ*.

εἰκός. Ἰδοὺ πῶς τὸ φιλότιμον ἐνδείκνυται ὁ Ἀλκιβιάδης διὰ τοῦ οὐκ εἰκός· καὶ ἐξ ὧν σὺ λέγεις· μὴ ἀνεχόμενος ἁπλῶς ὁμολογῆσαι [10], ὅτι οὐκ οἶδε τὸ δίκαιον. Δυςαπόθετον [11] γάρ ἐστι τὸ πάθος τοῦτο· καὶ οὕτως ὅτι, κἂν θέλωμεν μὴ εἶναι φιλότιμοι, λανθάνομεν πάλιν καὶ οὕτως τῷ πάθει τῷ αὐτῷ περιπίπτοντες, καὶ διὰ τὸ φιλότιμον τοῦτο ποιοῦντες, ὥστε καταφρονοῦντες τιμῆς διὰ τὸ πλέον τιμᾶσθαι τὸ τοιοῦτον ποιεῖν. Καὶ ὥςπερ ὁ Ἐπίκτητος ὁ Στωϊκὸς, γινόμενος Στωϊκὸς τὴν ψυχὴν [12], φησίν· ἀπαιδεύτου ἔργον ἄλλοις ἐγκαλεῖν ἐφ' οἷς αὐτὸς πράσσει κακῶς· ἠργμένου δὲ παιδεύεσθαι, τὸ ἑαυτῷ ἐγκαλεῖν μὴ μέντοι ἄλλοις· πεπαιδευμένου δὲ, τὸ μήτε ἑαυτῷ μήτε ἄλλοις [13]· οὕτως οὖν καὶ ὁ Ἀλκιβιάδης, ὡς ἀπαίδευτος, τῷ Σωκράτει ἐγκαλεῖ, λέγων· ὡς σὺ φῄς, οὐκ οἶδα τὸ δίκαιον. Ἀρχόμενος δὲ παιδεύεσθαι ἐφεξῆς ἑαυτῷ ἐγκαλέσει. Εἰ δὲ ἐτελειώθη ἐν τῷ παρόντι διαλόγῳ, οὐκὰν οὔτε ἑαυτῷ οὔτε τοῖς ἄλλοις ἐνεκάλει. Παρὰ δὲ τῷ ποιητῇ πεποίηται, ἄλλοις ἐγκαλῶν, ἐν τῷ ἐγὼ δ' οὐκ αἴτιός εἰμι, ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐριννύς [14]. Τί δ'οὖ σὺ λέγεις τὸ τῆς Φαίδρας, φησὶν ἐνταῦθα ὁ Σωκράτης· τῆς γὰρ τροφοῦ εἰπούσης, ὅτι τὸν Ἱππόλυτον λέγεις· φησίν·

(10) Plotin. de pulcr. p. 52. p. 14 A. οὐκ ἀνασχομένης τῆς ὕλης — μορφοῦσθαι. ubi de rariore constructione verbi ἀνέχεσθαι cum infinitivo, ne articulo quidem addito, dixi in annot. p. 171. Nunc adde de usitata constructione cum participio Coraium ad Isocrat. p. 47. et p. 100. Stallbaum ad Platon. Phileb. p. 15. Illam constructionem frequentat potissimum Theodoretus; ut T. I. p. 702 Schulz. ἀνεχόμενος κόρον λαβεῖν. II. p. 445. οὐκ ἀνέχονται ἐρυθριᾷν IV. 558. ἀνέχονται πολλὰ νέμειν V. 2. ἀνέχεται παθεῖν et aliis locis

(11) Voce δυςάποθετος augeri possunt Lexica.

(12) Videlicet non modo τὸ ἐπάγγελμα s. qui Stoïcum se ferret. Sic, ut hoc uno utar, ipsi isti Pharisaei cum Stoïcis comparabantur, nimirum ad placita quaedam, vitae rationem, alia. Josephus de vitâ suâ cap. 2. T. II. p. 2 Haverc.

(13) Locus est Epicteti c. V. extr. p. 24. Heyn. Tom. III. p. 9 seq. Schwgh. ubi tamen: τὸ ἄλλοις ἐγκαλεῖν, deinde: ἠργμένου παιδεύεσθαι, τὸ ἑαυτῷ· πεπαιδευμένου, τὸ μήτ' ἄλλῳ, μήθ' ἑαυτῷ cf. Schol. p. 212. Ceterum Procli vestigia in his et proxime sequentibus legit Noster. Vid. Procl. cap. 91.

(14) Est locus Homeri Il. τ, 86. 87.

ὅτι σοῦ τάδ' ἐκτ' οὐκ ἐμοῦ κλυέις [15]. Οὕτως οὖν καὶ ὁ Σωκράτης· σὺ ταῦτα εἶπας [16], οὐκ ἐγώ. Καὶ ἐνταῦθα πάροδος γίνεται τοῦ τρίτου συλλογισμοῦ, ἐν ᾧ δείκνυσι γραμμικαῖς ἀνάγκαις, ὅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, ἀλλ' οὐκ [17] ὁ ἐρωτῶν. Ἐάν σε ἔρωμαι τὸ ἓν καὶ τὰ δύο· Ἰδοὺ πυσματικὰς ἐρωτήσεις προςάγει· ὅτι ἐὰν ἔρωμαί σε, ποῖα πλείῳ [18], τὸ ἓν ἢ τὰ δύο, φήσεις· τὸ δύο [19]; καὶ πόσῳ πλείονι [20], φήσεις, ὅτι ἑνί. Ἐν οἷς γὰρ χρεία λόγου πάντως, καὶ οὐκ ἀρκεῖ πρὸς ἀπόκρισιν τὸ ναὶ ἢ τὸ οὔ, ἢ ἀνάνευσις ἢ κατάνευσις· αὕτη πυσματικὴ ἀπόκρισίς ἐστιν, ἀλλ' οὐ διαλεκτική, ὅτι τὰ δύο τοῦ ἑνὸς ἑνὶ πλείω. Συνάγει τὰς δύο ἀποκρίσεις τοῦ νέου ὁ Σωκράτης· ἔγωγε. — Τί γὰρ ἐγὼ ἐὰν ἔρωμαι ποῖα γράμματα Σωκράτους [21]. — Ἰδοὺ φαίνεται ὠφεληθεὶς ὁ νέος διὰ τοῦ ἔγωγε· φαίνεται γὰρ ἑαυτῷ ἐγκαλῶν. Εἰ δὲ τελείως ὠφελήθη, οὔτε ἑαυτῷ ἔμελλεν ἐγκαλεῖν, οὔτε ἄλλοις. Πάλιν δὲ κέχρηται ἑτέρᾳ πυσματικῇ ἐρωτήσει· ὅτι ἐὰν ἔρωμαί σε, ποῖα εἰσὶ τὰ γράμματα Σωκράτους; φήσεις τυχόν· ὅτι ταῦτα· σὺ εἶ ὁ λέγων· ὁ δέ φησιν, ὅτι ναί. — Ἴθι δὲ, ἑνὶ [22] λόγῳ εἰπέ· ἀντὶ τοῦ· καθόλου εἰπὲ, ἐν οἷς ἐστιν ἐρώτησις καὶ ἀπόκρισις. — Φαίνομαι, ὦ Σώκρατες. Ἰδοὺ πάλιν, πῶς φιλότιμος ὢν οὐκ ἀνέχεται τελείως ὁμολογῆσαι ἄγνοιαν, ἀλλὰ φησὶ φαίνομαι. Οὐκοῦν ἐλέχθη, ὅτι περὶ δικαίων καὶ ἀδίκων ὁ Ἀλκιβιάδης· τὸ λεγόμενον τοῦτό ἐστιν ὅτι οὐκ ἐλέχθη πρόςθες [23] ὑπὸ Ἀλκιβιάδου, ὅτι ὁ Ἀλκιβιάδης ὁ καλὸς οὐκ ἐπίσταται; ἐν καιρῷ γὰρ, ἐπειδὴ ὁμολόγησε [24] μὴ εἰδέναι τὸ δίκαιον, κέχρηται καταδρομῇ ἐλέγχων κατὰ τοῦ Ἀλκιβιάδου, καὶ ἐπειδὴ φορτικὸν

(15) Notissima sunt Phaedrae verba in Eurip. Hippol. v. 252. ubi est: Ἱππόλυτον αὐδᾷς; Φ. Σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις, ad quem locum vid. Valcken. p. 201. cf. Schol. in Plat. p. 70. Ruhnk. Cf. supra Procl. p. 287 ibiq. annot.

(16) De hac formâ supra monitum est ad Proclum. p. 276.

(17) Scr. οὐχ. (18) Edd. πότερα πλείω.

(19) Scr. τὰ δύο. (20) Scr. πλείω.

(21) Haec in Dialogo nostro ita leguntur: τί δ', ἂν ἐγὼ μὲν ἐρωτῶ καὶ ποῖα γράμματα Σωκράτους. —

(22) Edd. Ἴθι δή, ἑνί.

(23) Scr. πρόσθεν. (24) Scrib. ὡμολ.

ἔστι τὸ ἐξ οἰκείου προςώπου προςφέρειν τοὺς ἐλέγχους. Οὕτω γὰρ καὶ παρὰ τῷ ποιητῇ ὁ Φοίνυξ [25], βουλόμενος καταδρομῇ χρήσασθαι ἐλέγχων κατὰ τοῦ Ἀχιλλέως, οὐκ ἐκ προσώπου οἰκείου εἰςάγει τοὺς λόγους, ἀλλ' εἰςαγαγὼν τὸν Πηλέα, οὕτως ἐλέγχει. Οὕτω καὶ ὁ Δημοσθένης ἐλέγξαι θέλων τοὺς Ἀθηναίους, τῇ καταδρομῇ χρῆται, ὡς ἐκ τῶν Ἑλλήνων πάντων· ὁ δὲ Σωκράτης κἀρκεῖται [26] τῷ ἄλλῳ χρήσασθαι, ἀλλὰ χρῆται καὶ τῷ ἐλεγχομένῳ πρὸς μείζονα καταδρομὴν λέγων, ὅτι ἐλέγχθη ὑπὸ Ἀλκιβιάδου, ὅτι μὴ εἰδὼς τὸ δίκαιον μέλλει συμβουλεύειν περὶ ὧν οὐκ οἶδε· καὶ ἐξέπεσεν ὁ Ἀλκιβιάδης τῶν τριῶν ἀρχικῶν ὑποστάσεων, νοῦ, θεοῦ, ψυχῆς. Ψυχῆς μὲν διότι οὐκ οἶδε· ψυχῆς δὲ ἴδιον τὸ γινώσκειν. Νοῦ δὲ ἐξέπεσεν, ὅτι μὴ εἰδὼς οἴεται εἰδέναι· νοῦ γὰρ ἴδιον τὸ ἐπιστρέφειν· σφαίρᾳ γὰρ ἀναλογεῖ ὁ νοῦς, ἕκαστον σημεῖον ποιούσῃ καὶ ἀρχὴν καὶ πέρας. Θεοῦ δὲ, διότι κακοποιός ἐστι· περὶ γὰρ ὧν οὐκ οἶδε, μέλλει συμβουλεύειν, ἵνα κακῶς περιβάλῃ τοὺς συμβουλευομένους· ὁ δὲ θεὸς ἀγαθότητι χαρακτηρίζεται. Ὥςπερ γὰρ ὁ μὴ εἰδὼς ἰατρικὰ, καὶ μὴ συμβουλεύων περὶ ἰατρικῶν, οὐ πταίει οὐ ποιεῖ [27]· ὁ δὲ μὴ εἰδὼς καὶ ἐπιχειρῶν συμβουλεύειν, μὴ εἰδὼς ταῦτα, ἐκεῖνος ἁμαρτάνει· οὐ γὰρ ἁμαρτάδος αἰτία ἡ ἁπλῆ ἄγνοια, ἀλλ' ἡ διπλῆ. Οὕτω καὶ ὁ Ἀλκιβιάδης. Καὶ ἔοικε τοῖς μαινομένοις ὁ Ἀλκιβιάδης, ὥςπερ γὰρ ὁ παρὰ τῷ Σοφοκλεῖ Αἴας ἐφόνευε τὰ πρόβατα, οἰόμενος αὐτὰ τοὺς Ἕλληνας εἶναι [28]· οὕτω καὶ οὗτος μὴ εἰδὼς τὰ δίκαια, οἴεται εἰδέναι· διὸ καὶ κακοῖς περιβάλλει τοὺς συμβουλευομένους. Καὶ ὅτι ὥςπερ ἄχρηστός ἐστιν ὁ διδάσκαλος παρὼν πρὸς διπλῇ ἀγνοοῦντα, οὐδὲ γὰρ ὀνήσει αὐτὸν οἰόμενον εἰδέναι, οὕτω καὶ ἰατρὸς πρὸς μαινόμενον· διὸ καὶ μανικὸν αὐτὸν ἀποκαλεῖ: — Ὁ καλὸς ὁ Κλεινίου· τοῦτο ἐμφατικόν ἐστιν, ὅτι

(25) Scrib. *Φοῖνιξ*. Locus est Homeri Il. 1, 433. sqq.

(26) Scribendum *οὐκ ἀρκεῖται*. Eadem fere, quae in antecedentibus dicuntur ab Olympiodoro, leguntur in Scholl. in Plat. p. 71. ed. Ruhnk.

(27) Duo haec vocabula, utpote ex perperam repetita scriptione *οὐ πταίει* orta, ejicienda sunt.

(28) Vid. Sophocl. Aj. 275. sqq.

οὐδέν σε ὤνησε πρὸς τὸ εἰδέναι τὰ δίκαια, οὐ κάλλος, οὐ πλοῦτος, οὐκ εὐγένεια. — *Φαίνεται· τὸ τοῦ Εὐριπίδου ἄρα.* Διδάσκει ἡμᾶς ὁ Πλάτων, πῶς δεῖ παρῳδῇ παρῳδεῖν χρήσεις, ὅτι οὐ δεῖ αὐτὰς τὰς χρήσεις εἰςάγειν· (προςκορὲς τοῦτο, καὶ ἐκλυτικὸν [29] τῶν λόγων·) ἀλλὰ λέξεις τινάς· διὸ οὐ πᾶσαν τὴν χρῆσιν παρατίθεται. — *Κινδυνεύει* [30]. — Οὐ μόνον ἐν τοῖς πράγμασίν ἐστιν ὁ κίνδυνος, ἀλλὰ καὶ ἐν τοῖς λόγοις, ἐφ' ὧν ἡ συγκατάθεσις γίνεται διὰ τὴν βίαν τῶν λόγων καὶ τὴν ἐξέτασιν, διὸ τὸ κινδυνεύειν. — *Οὐδὲ ἐγὼ εἰμι ὁ ταῦτα λέγων.* Ἀναλογεῖ γὰρ ὁ μὲν ἐρωτῶν θεῷ τῷ προτείνοντι ταῖς ψυχαῖς αἵρεσιν βίου, διὰ τοῦ προτείνειν αὐτοῖς τὴν ἀντίφασιν· οὕτω γοῦν καὶ ἐν Πολιτείᾳ· *ὑμεῖς δαίμονα αἱρήσεσθαι οὐχ ὑμᾶς δαίμων λήξεται* [31]. Ὁ δὲ ἀποκρινόμενος ἀναλογεῖ ψυχῇ αἱρουμένῃ τοὺς βίους. — *Μανικὸν γὰρ ἔχεις ἐν νῷ ἐπιχείρημα.* — Ἰδοὺ μανικὸν αὐτὸν καλεῖ, ὡς προείρηται. — *Οἶμαι μὲν, ὦ Σώκρατες, ὀλιγάκις.* Ἰδοὺ ὡς ῥητορικὸς ἀποφεύγει τὸ λέγειν· οὐ βουλεύονται Ἀθηναῖοι περὶ δικαίων, ἀλλὰ περὶ συμφερόντων· τοῦτο γὰρ τέλος ἐστὶ συμβουλευτικοῦ. Ἕτερον δέ ἐστι τὸ δίκαιον καὶ τὸ συμφέρον παρὰ τοῖς ῥήτορσιν. Διότι ἔστι τὸ ἐκ πόρων ἀδίκων ἔχειν, ἔλεγεν [32] εἶναι συμφέρον, οὐ μὴν δίκαιον, καὶ τὴν ὑπὲρ πατρίδα ἀναίρεσιν δικαίαν μὲν, οὐ μὴν συμφέρουσαν· οὐ γὰρ συνήνεγκε τῷ σώματι. Διὸ καὶ ὁ Σωκράτης πολλάκις ἠράτο [33] τοῖς πρώτοις διαστήσασι ταῦτα ἀπ' ἀλλήλων, ὡς μέγιστον ὄλισθον ταῖς ψυχαῖς εἰςαγοῦσι [34] καὶ συγχέασι καὶ τὴν ψυχικὴν οὐσίαν καὶ τὴν τελειότητα ἡμῶν. Εἰ γὰρ δειχθῇ τὸ δίκαιον ἀντιστρέφον τῷ συμφέροντι, καὶ πᾶν δίκαιον καὶ συμφέρον, καὶ τὸ ἀνάπαλιν, ὁ ἄνθρωπος ἡ ψυχὴ

(29) Vocem *ἐκλυτικὸς* non habent Lexica.

(30) Scrib. ex Edd. *κινδυνεύεις.*

(31) Est locus ex Platon. Republ. X. p. 617. e. Bip. T. VII. — Bekk. III, 1. p. 509., unde corrigendum *αἱρήσεσθε.* Supr. *λέξ.* male.

(32) Fortasse: *Διότι ἔστι τὸ ἐκ πόρων ἀδίκων ἔχειν λέγειν* ε. σ. Propterea *dicere fas est* quod ex reditibus injustis quis habet esse utile.

(33) Scr. *ἠρᾶτο*, maledicebat. (34) Scr. *εἰςαγαγοῦσι.*

ἔσται, ἀλλ' οὐ τὸ συναμφότερον, οὕτω μὲν τὴν οὐσίαν ἡμῶν συνέχειαν [35]. Ἔστι [36] δὲ, καὶ ὅτι ἔσται αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν, καὶ ἡ κακία πρὸς κακοδαιμονίαν, διὸ καὶ τὴν τελειότητα ἡμῶν συνέχεαν· εἰ δὲ μὴ, οὐδὲν ὀνήσεται ὁ εἰπών· πτίσσε [37]. Ἀλλὰ πόθεν ὁ Ἀλκιβιάδης ἦλθεν εἰς τὸ εἰπεῖν, ὅτι οὐ περὶ τούτων Ἀθηναῖοι βουλεύονται, οἷον τῶν δικαίων· ἐπειδὴ ἑώρα αὐτοὺς ὡς ῥητορικὸς, καὶ πολλὴν παρασκευὴν ἔχων ἀπὸ ῥητορικῆς διὰ Περικλέους, ἄλλο μὲν λέγοντας τὸ δικανικὸν τέλος ἔχειν, ἄλλο δὲ τὸ συμβουλευτικὸν, ὅτι τὸ συμφέρον ἐκ τῶν κεφαλαίων· ποτὲ μὲν γὰρ ἔλεγε κεφάλαιον εἶναι ἀπὸ τοῦ νομίμου ἢ ἀπὸ τοῦ δικαίου, ἢ ἀπὸ τοῦ συμφέροντος, ἢ ὅτι ἐπειδὴ θέσει πάντες οἴονται τὸ δίκαιον εἶναι, τὰ δὲ ἀγαθὰ φύσει. Οὐδεὶς γὰρ ἀνθρώπων θέσει τὰ ἀγαθὰ ᾠήθη, εἰ μὴ μόνος Κλειτοφῶν ἐν τῇ Πολιτείᾳ [38], διὸ καὶ οὔτε ἠξίωσεν αὐτὸν ὀνομάσαι, ἀλλὰ φησὶν, εἶπε τις τῶν παρόντων, ὡς παρὰ τὴν κοινὴν ἔννοιαν εἰπόντος, διὰ τοῦτο οὖν διάφορον ᾠήθη εἶναι τὸ δίκαιον καὶ τὸ συμφέρον. Ἀλλὰ [39] μέντοι εὖ λέγεις. Τὸ εὖ λέγεις ὁ μὲν Δημόκριτος ἐπίκλην χνα (διότι μετρούμενον τὸ ὄνομα αὐτοῦ χνα ποιεῖ) [40] ὡς

(35) Corr. συνέχεαν.

(36) An legendum Ἔτι δὲ? Et in sqq. ἐστὶν pro ἔσται? Sed ne sic tamen locus persanatus videtur.

(37) Tangit illud Anaxarchi Democritici, qui cum Nicocreontis tyranni Cyprii jussu in mortario tunderetur exclamavit, πτίσσε τὸν Ἀναξάρχου θύλακον. Ἀνάξαρχον δὲ οὐ πλήττεις. Quae res dici non potest quoties in exemplum advocata sit. Vid. Gatacker. ad Marc. Antonin. VIII. 37. p. 251. sq. Davis. ad Cicer. Tuscul. Dispp. II. 21. Plutarch. de virt. moral. p. 449 E. 853 Wyttenb. ubi est ὑπέροις σιδηροῖς κατέπτισσε καὶ κατέκοπτεν. Ceterum ipsi Socrati hunc Anaxarchum jungens utrumque notat neutrumque honorem martyribus parem consecutum esse dicit Theodoretus in Graecc. affectt. cur. VIII. T. IV. p. 919 Schulz. [Mox pro ἢ ὅτι fort. δηλονότι.]

(38) Vid. Platon. de Republ. I. p. 339 sq. p. 27 sqq. Bekker.

(39) Edd. καὶ.

(40) Hic est idem ille Democritus cujus mentionem facit Porphyrius in vita Plotini 20, 3. p. 128. in Fabricii Bibl. Gr. IV. p. 128. ed. pr. Tu confer quae supra posuimus in *Praeparatione ad partem primam* §. 2; p. XIV. ubi haec ipsa Olympiodori verba ex Ruhnkenii Diss. de Longino §. 4 in medium protulimus. — χνα autem inter numerorum notas est sexcenta quinquaginta et unum (DCLI) — καὶ ἄμεινον τὸ β̅ i. e. τὸ δεύτερον, uti ex suo codice dedit Ruhnkenius.

ἀπὸ Σωκράτους ἐκδέχεται, ὁ δὲ Δαμάσκιος, ὡς ἀπὸ Ἀλκιβιάδου, καὶ ἄμεινον τὸ β΄. Διότι, ὡς ἐλέγετο, ἤρξατο ὠφελεῖσθαι ὁ Ἀλκιβιάδης, καὶ ἐλέγχει ἑαυτόν. — Τὰ μὲν γὰρ τοιαῦτα ἡγοῦνται δῆλα. — Καλῶς ὁ Ἀλκιβιάδης, ὡς μὲν γὰρ θέσει ὄντα τὰ δίκαια, καὶ ποίηται ὄντας αὐτῶν [41] οὐκ ἀξιοῦσι διδάσκειν οὔτε συμβουλεύειν· περὶ δὲ τῶν συμφερόντων βουλεύονται. Τί οὖν; εἰ ὅτι μάλιστα ἕτερα μὲν τὰ δίκαια. Ἄρχεται τοῦ ἐλέγχου, καὶ δείκνυσιν αὐτὸν μὴ εἰδότα τὰ συμφέροντα ἐκ τῆς ἀντιπαραστάσεως. Διότι πολλῶν λόγων δεῖται ἡ ἔνστασις εἰς τὸ δεῖξαι, ὅτι ταὐτὸν τὸ δίκαιον καὶ συμφέρον [42]· ὃ ἐφεξῆς ποιήσει, νῦν δὲ φησίν, ὅτι, εἰ μὲν ταὐτόν ἐστι τὸ δίκαιον καὶ τὸ συμφέρον, ἐδείχθης δὲ μὴ εἰδὼς τὸ δίκαιον, οὐκοῦν καὶ τὸ συμφέρον. Εἰ δὲ ἕτερον, δειχθείης δὲ μὴ εἰδὼς τὸ συμφέρον, διὰ αὐτῶν λόγων δύο ἀνθ' ἑνὸς δειχθήσῃ ἀγνοῶν. — Τί γὰρ κωλύει, ὦ Σώκρατες, εἰ μή με αὖ ἐρωτήσεις [43]; Τί κωλύει, φησὶν ὁ Ἀλκιβιάδης, εἰδέναι με τὸ συμφέρον, εἰ καὶ ἀγνοῶ τὰ δίκαια, εἰ μὴ ἐρωτήσῃς [44] με, δειχθήσομαι μὴ εἰδώς. Δι' οὗπερ καὶ τὸ πρότερον ὁ λόγος· ἔοικε γὰρ ὁ Ἀλκιβιάδης τρυφῶντι ἐν τοῖς λόγοις, διὸ οὐκ ἀρκεῖται μιᾷ ἀποδείξει, ἀλλὰ διὰ πολλῶν ἀποδείξεων θέλει τὸ αὐτὸ δείκνυσθαι, ὁμοίως τοῖς τρυφῶσιν ἐν τροφοῖς καὶ μὴ μιᾷ τροφῇ ἀρκουμένοις. — Ὡς τῶν προτέρων οἷον σκευαρίων κατατετριμμένων· τὰ σκευάρια, οὐ τὰ σκεύη, ὡς ἡ συνήθεια δηλοῦται ἀπὸ Πλάτωνος, ἐπάγει γάρ· καὶ οὐκ ἂν αὐτὰ ἀμπίσχοιο. Ἀλλὰ σκευάρια φησὶ

(41) Legendum videtur: *καὶ ποιηταὶ ὄντες αὐτῶν*, aut fortasse; *κ. π. ὄντες αὐτοὶ αὐτῶν* hoc sensu. Cum positione, non naturâ, sint justa, Athenienses tanquam ipsi eorum (quae justa sunt) auctores, genitores, nolunt ea discere de iisque deliberare. Color ductus est de hujuscemodi locis, qualis hic est in Cratylo p. 389 d. p. 16 Bekker. *καὶ — πάντα τὰ ὀνόματα ποιεῖν τε καὶ τίθεσθαι, εἰ μέλλει κύριος εἶναι ὀνομάτων θέτης.* Illud *ὡς ὄντα* referendum arbitror ad *διδάσκειν*, et ad *συμβουλεύειν*. Proinde post *τὰ δίκαια* comma melius absit.

(42) Scr. vid. *τὸ συμφ.*

(43) In Edd. est *ἐρήσει*. p. 113. [Steph: *ἐρήσῃ*.] — Bekk. p. 322. [Ast. p. 133.] (44) Scr. — *σεις*.

τὰς σκευαστὰς [45] τῶν κομικῶν καὶ τῶν τραγικῶν. Εἰ δ' ἄρα βούλει καὶ περὶ σκευῶν ἐκλαβεῖν τὸν λόγον, γ' δηλοῖ τὰ σκευάρια παρὰ Πλάτωνι· ἢ τὰ σκεύη, ἢ τὰ ἐνδύματα· δι' ὧν ἐπάγει· καὶ οὐκ ἂν αὐτὰ ἀμπίσχοιο· καὶ τὴν τρυφήν· πολλῇ γὰρ τρυφῇ ἐκέχρητο ὁ Ἀλκιβιάδης, ὡς πολλὰ πολύστιχα βιβλία γράψαι περὶ τῆς τρυφῆς τῆς Ἀλκιβιάδου. Καὶ ταῦτα γὰρ ὡς τῶν ἐκτὸς ὄντα σκεύη εἰσίν· ἀλλὰ τί δήποτε ἐφίεται ἡ ψυχὴ τῆς σκευῆς τῆς ἔξωθεν τῶν ἱματίων; ἢ ἄλλων ἐφίεται καὶ περὶ ἄλλα ἐνειλεῖται; ἔννοιαν γὰρ ἔχουσα τῶν ἔνδοθεν χιτώνων αὐτῆς τοῦ αὐγοειδοῦς καὶ πνικοῦ [46] καὶ τὸ [47] ὀστρείνου ἐφίεται, διὰ τῆς φαινομένης στολῆς ταύτης, καθαροὺς ἔχειν τοὺς ἔνδον χιτῶνας· οὕτω καὶ ὁ ποιητὴς εἵματα τ' ἀμφίεται [48]. ἔξω οὖν ὠτειλῶν [49] βούλεται τούτους ἔχειν. Τὰς σὰς προδρομάς. — Προδρομὴ λέγεται ὅταν ἐν πολέμῳ καταλάβῃ τις φρούριόν τι, ἐξ οὗ δύναται ἀσφαλῶς πολεμεῖν· προδρομὰς οὖν ᾤετο ὁ Ἀλκιβιάδης τὸ μὴ ἐρωτᾶσθαι διὰ τῶν αὐτῶν λόγων ὑπὸ τοῦ Σωκράτους· ὁπόθεν μαθὼν αὖ τὰ συμφέροντα [50]. συντόμως παρέχεται τὰς ἐρωτήσεις ὁ Σωκράτης ἐκ τοῦ· πόθεν μαθὼν ἢ εὑρών. Διότι ἤδη εἴρηται αὐτῷ ταῦτα, ὥςπερ ὁ ποιητής· χαλεπὸν δέ κεν εἴη αὖθις ἀριζήλως εἰρημένα μυθολογεύειν [51]; — Πότερον δὲ ταῦτά ἐστι δίκαιά τε καὶ συμφέροντα. Τὴν ἔνστασιν διὰ τούτων φησὶν, ὅτι ἔδει δεῖξαι, ὅτι οὐ ταὐτά ἐστι τὰ δίκαια καὶ τὰ συμφέροντα· εἰ γὰρ μὴ δείξῃς, δειχθήσῃ

(45) Fortasse scribendum τὰς σκευὰς τὰς κ. τ. λ. Tum scrib. κωμικῶν pro κομικῶν. Ad vocabulorum usum cf. quae supra posuimus ad Proclum p. 300.

(46) Scr. vid. πνευματικοῦ. (47) Scr. τοῦ ὀστείνου.

(48) Apud Homerum Odyss. σ, 360. est εἵματα τ' ἀμφιέσαιμι et ε, 167. εἵματα τ' ἀμφιέσω cf. etiam Odyss. ε. vs. 264.

(49) Fortasse legendum: ὀστείνων. „Extra *ossea* (sc. amicula) vult illa (altera vestimenta) habere," sive: „proinde super *ossea* vestimenta habere illa altera cupit." Ad sequens προδρομὰς vid. Schol. in Plat. p. 72. Ruhnk.

(50) In dialogo nostro est πόθεν μαθὼν αὖ τὰ συμφέροντα.

(51) Est locus Homeri Odyss. μ. 452. sq. ubi poëta tamen: — — — ἐχθρὸν δέ μοί ἐστιν, αὖτις ἀριζήλως (cf. Eustath p. 499 extr. Basil. qui ἀριδήλως) εἰρημένα μυθολογεύειν.

δύο ἀνθ' ἑνὸς ἀγνοῶν. Εἰ μὲν βούλει, ἐρωτῶν [52], ὥςπερ ἐγὼ σὲ, εἰ δὲ, καὶ αὐτὸς ἐπὶ σεαυτοῦ διέξελθε [53]. Ἰδοὺ οἶδε καὶ τὸν ἐρωτῶντα λέγοντα, καὶ οὐδαμοῦ ἐπήγαγεν ἐρωτῶν καὶ ἀποκρινόμενος, εἰδὼς, ὅτι ἐὰν ἀπόκρισις καὶ ἐρώτησίς ἐστιν [54], ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων. Ἀλλὰ διὰ τί ἐβούλετο ὁ Σωκράτης, ἐρωτῶν τὸν Ἀλκιβιάδην, ἢ ἀποτάδην τὸν λόγον ποιεῖσθαι, ἢ ἐπειδὴ ᾔδει, ὅτι οὐκ ἐβούλετο ἔτι ἀποκρίνασθαι, ὡς ἐλεγχθεὶς ὑπὸ Σωκράτους, ταύτῃ μετήγαγε τὸ εἶδος τῶν λόγων· ἀποτάδην δὲ, διότι εἰ μὲν Σωκράτης ἦν ὁ διαλεγόμενος, δέος ἦν, μὴ πρὸς καθεύδοντα τὸν λόγον ποιήσηται, ὥς φησιν Αἰσχίνης· οὕτω δὲ τῆς δίκης λεγομένης, ὄναρ ἔβλεπον οἱ δικασταί [55]. Ἐπειδὴ δὲ Σωκράτης ἐστὶν, οὐ δέος, μή πάθοι τοῦτο: Ὦ Σώκρατες, πρός σε διαλεχθῆναι [56]· καὶ τὸ πρὸς σὲ, μάχης καὶ φιλονεικίας ἦν. Ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις.

## Πρᾶξις σὺν θεῷ ιβʹ∴

Ἀλλ' οὐκ οἶδα, εἰ οἷός τε [1] εἴην, ὦ Σώκρατες, πρός σε διεξελθεῖν [2]. Ἀναθέμενος ὁ Ἀλκιβιάδης ὡς εὐφυὴς πρὸς τὴν λοιπὴν πρότασιν λέγων· ἀλλ' οὐ βουλεύονται Ἀθηναῖοι περὶ δικαίων, ἀλλὰ περὶ συμφερόντων, ὅτι τέλος ἐστὶ τοῦ συμβουλευτικοῦ οὐ τὸ δίκαιον, ἀλλὰ τὸ συμφέρον. Καὶ ἐλέγξας αὐτὸν διὰ τῆς ἀντιπαραστάσεως, λέγων ὅτι καὶ δῶμεν, ὅτι διάφορόν ἐστι τὸ δίκαιον καὶ τὸ συμφέρον. Ἀλλὰ διὰ τῶν αὐτῶν λόγων δειχθήσῃ μὴ εἰδὼς τὸ συμφέρον, δι' ὧν καὶ τὸ δίκαιον ἐδείχθης μὴ εἰδώς. Οὐδὲ γὰρ δέος, μὴ κατατριβήσονται [3] οἱ λόγοι δίκην τῶν σκευαρίων. Ἐντεῦθεν

(52) Edd. *ἐρωτῶν με.* (53) Edd. *λόγῳ διέξελθε.*

(54) Indicativus stare non potest antecedente *ἐάν.* Igitur aut librarii aut auctoris est error, corrigendumque *ἐὰν* in *εἰ μέν.*

(55) Consimilis de judicum socordia est in ejusdem Or. contra Ctesiph. p. 302. a. ubi ait: *οἱ δὲ δικασταὶ, ὥςπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι, πρὸς ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν.*

(56) Edd. *διελθεῖν.*

(1) Edd. *τ' ἄν.* (2) Edd. *διελθεῖν.* [et recte *πρὸς σέ.*]

(3) Indicativus etiam est in Scholl. Plat. p. 72. Ruhnk. et vi-

καὶ ἐπὶ τὴν ἔνστασιν ἔρχεται, ἵνα διελέγξῃ αὐτὸν, ἐν ᾗ δείκνυσιν, ὅτι πᾶν δίκαιον συμφέρον, καὶ πᾶν συμφέρον δίκαιον, ἵνα διὰ τῆς ἀντιστροφῆς τὴν ταυτότητα δικαίου καὶ συμφέροντος δείξῃ· καὶ συμβάλλεται ὁ παρὼν συλλογισμὸς καὶ πρὸς τὴν οὐσίαν ἡμῶν καὶ πρὸς τὴν τελειότητα. Περὶ [4] μὲν τὴν οὐσίαν, ὅτι ἐδείχθη ταὐτὸν τὸ δίκαιον καὶ συμφέρον· ἔνθα ἐστὶ δίκαιον, ἐκεῖ καὶ τὸ συμφέρον· ἐν ψυχῇ δέ ἐστι τὸ δίκαιον, ἐν ψυχῇ ἄρα ἐστὶ καὶ τὸ συμφέρον· καὶ ἐπειδὴ τὸ συμφέρον εὖ εἶναί ἐστιν, ἔνθα δὲ τὸ εὖ εἶναι, καὶ τὸ εἶναι, καὶ τὸ εἶναι πάντως. Καὶ τὸ εἶναι ἄρα ἡμῶν ἐν ψυχῇ ἐστιν [5]. Ἀλλὰ καὶ τὴν τελειότητα ἡμῶν διὰ τούτου δείκνυσιν· εἰ γὰρ ταὐτόν ἐστι δίκαιον καὶ συμφέρον, τέλος ἡμῶν ἐστι τὸ δίκαιον, καὶ διὰ τοῦτο αὐτάρκης ἡ ἀρετὴ πρὸν εὐδαιμονίαν, καὶ ἡ κακία πρὸς κακαδαιμονίαν, κἂν τὰ ἄλλα τὰ ἔξωθεν εὖ ἔχοι. Ἀλλὰ πρὸς ταῦτα λέγεται ὑπὸ τοῦ Πλάτωνος, ὅτι πᾶν δίκαιον συμφέρον ἐστὶ καὶ πᾶν συμφέρον δίκαιόν ἐστι· καὶ ἀντιστρέφει ταῦτα. Ἐφεξῆς δὲ δείξει, ὅτι καὶ τὸ καλὸν τούτοις ἀντιστρέφει, καὶ τὸ ἀνάπαλιν. Εἴγε κανὼν ἐστι Πρόκλειος· τὰ ὑψηλότερα μὴ συμπαύεσθαι μήτε συνάρχεσθαι τοῖς κοιλοτέροις [6], ἀλλ' ἐπὶ μείζονα πρόοδον προϊέναι, δίκην τριῶν ἀνίσων κατὰ τὴν δύναμιν τοξοτῶν, καὶ ἰσχυροτέρων ἐπὶ πολὺ τὸ βέλος ἀφιέντων· καὶ τὸ μὲν συμφέρον πρὸς τῷ ἀγαθῷ ἐστι, τὸ δὲ καλὸν πρὸς τῷ νῷ. Διότι ἀφρὸς καὶ ἄνθος [7] τοῦ εἴδους ἐστὶ τὸ κάλλος· τὸ δὲ εἶδος πρὸς τῷ νῷ ἐστιν ἐπιστρεπτικὸν, διὰ γὰρ τὴν ὕλην μερίζεται· ἐπεὶ πάντες οἱ λόγοι ἐν τῷ σπέρ-

deri potest hujus aetatis scriptoribus etiam in hac constructione pro Conjunctivo inserviisse.

(4) Scr. fort. ex praecedd. πρὸς.

(5) Ad sequentia adhibe quae Olympiodorus posuit in Scholiis in Platonis Philebum, nuper a Stallbaumio editis in ejus dialogi Lips. editione 1820, p. 238 sqq.

(6) Fort: κοινοτέροις, etsi et illud explicari potest, ut commodum sensum exhibeat, et vero in p. sq. repetitur.

(7) Ἄνθος a poetis de summâ cujuslibet rei praestantiâ usurpari coeptum (vid. Eustath. ad Odyss. VIII. 266 p. 310 Basil ibiq. Aeschylum; Schütz ad hujus Prometh. v. 7. Heyne Observv. ad Iliad. IX 212) deinceps a reliquis sriptoribus, philosophis praesertim, ad animam mentemque adeo traductum. Quo de usu non repetam quae collegi ad Plotin. de pulcrit p. 233. not. Inde etiam explicari debet praemissa vocula ἀφρός.

ματι εἰσὶν ὡς ἀμερεῖς, ὅθεν καὶ μέρους ἐκριπτομένου τὸ λοιπὸν τὴν χρείαν ἀποπληροῖ. Τὸ δὲ δίκαιον ἀπὸ ψυχῆς ἄρχεται· διὸ τὸ μὲν ἀγαθὸν καὶ ἄχρι τῆς ὕλης κάτεισιν, ἀγαθὴ γὰρ καὶ αὐτὴ καὶ χρείας ἐκτελοῦσα τῷ παντί. Ἡ δὲ δόσις τοῦ νοῦ ἄχρι τῶν εἰδοπεποιημένων· ἡ δὲ ψυχῆς δόσις ἄχρι τῆς ἀλόγου ψυχῆς. Ἔστι γὰρ καὶ ἐν αὐτῇ τὸ δίκαιον, διὰ τοὺς πελαργούς [8]· μάθοις δ' ἂν τὸ λεγόμενον ἐπὶ ἄλλων παραδειγμάτων· ἐπειδὴ τὸ ὂν πρὸ ζοῆς· ζοὴ [9] δὲ πρὸ τοῦ νοῦ, ὡς ἐν τῷ Σοφιστῇ [10]. — Ἐν τοῖς περὶ τοῦ ὄντος λόγοις ἀκριβέστερον μαθησόμεθα· διὰ τοῦτο οὖν πλείονά ἐστιν, ἤπερ ζῇ· καὶ πλείονα ζῆς [11], ἤπερ νοεῖ. Πῶς οὖν ταῦτα ἀντιστρέφει, τὸ δίκαιον καὶ τὸ συμφέρον. Ἢ ἐπὶ ἀνθρώπου ἀγαθοῦ καὶ συμφέροντος καὶ καλοῦ ἀληθὴς ἡ ἀντιστροφή· ὥςπερ καὶ περὶ τοῦ ὄντος τοῦ νοῦ ψυχῇ, καὶ νῷ, καὶ ζωῇ, ταῦτα ἀντιστρέφει· ἔνθα γὰρ ἓν καὶ τὰ λοιπά. Οὕτω μὲν κατὰ τὸν φιλόσοφον Πρόκλον. Ὁ δὲ θεῖος Ἰάμβλιχος οὐ διακρίνει τὰ ὑψηλότερα ἀπὸ τῶν κοιλοτέρων τῇ πλείονι μεταδόσει. Πάντα γὰρ ἄχρι τῆς ὕλης κάτεισι. Δόγμα γάρ ἐστιν, ἀφ' οὗ ἄν τι ἄρξεται [12] ἐνεργεῖν, μὴ παύεσθαι ἄχρι τῶν ἐσχάτων. Εἰ γὰρ καὶ ἰσχυρό[illegible]όν ἐστιν, ἀλλὰ δύναται διὰ τῆς πόῤῥω διαστάσεως ἀντανίσωσις [13] γίνεσθαι πρὸς τὸ ἀσθενέστερον, ἀλλὰ διακρίνει τῷ

(8) Tangit pietatem ciconiarum. Apposite ad verba Olympiodori explicanda ita Scholiastes ad Aristophan. Aves vs. 1354. *οἱ δὲ πελαργοί, δικαιοπραγεῖς ὄντες, ἐπὶ πτερῶν βαδίζουσι τοὺς πατέρας γεγηρακότας βαστάζοντες.* Cf. Suid. in *ἀντιπελαργεῖν* et *ἀντιπελάργησις*. Zenobii Proverbb. Cent. I. 94. Diogen. in Proverbb. I. 84. Hinc illa disputatio Arriani in Epicteteis I. 28. p. 146 Schwgh. Contra equi fluviales impietatis notâ inusti ciconiis opponuntur. Plutarch de solert. animall. p. 962 p. 906 Wyttenb. Divinus tamen ciconiarum cultus apud veteres Thessalos, de quo Clemens Alexandr. in Cohort. ad gentt. Vol. I. p. 34. Potter, inde initium duxit, quod illae aves multos angues absumserant: Narratio est apud Plutarchum de Isid. et Osirid. p. 380 p. 557. sq. Wytt. [cf. Plin. H. N. X. 23.]

(9) Scrib. *ζωῆς*. *Ζωή*. Neque enim forma Jonica scriptori nostro convenit.

(10) Vid. Platon. Sophist. p. 249. Bip. T. II. Bekk. II, 2. p. 196.

(11) An *ζῇ*? (12) Scrib vid. *ἄρξηται*.

(13) Vocabulum *ἀντανίσωσις* addendum Lexicis. Idem vocabulum legitur in Sect. 15. Josephus in Antiqq. Judaicc. IX. 7. p. 912 Haverc. usurpavit *ἀντανίσωμα*.

δριμυτέρῳ τὴν μετάδοσιν τῶν ὑψηλοτέρων εἶναι. Μᾶλλον γὰρ ἐφιέμεθα [14] εἶναι, ἤπερ ζωῆς· καὶ μᾶλλον τὸ ζῆν, ἤπερ τὸ νοεῖν [15]. Καὶ τοῦ Σωκράτους ἐφ' ἑνὸς τὴν αἵρεσιν τῷ Ἀλκιβιάδῃ [16], διὰ τοῦ μὴ βούλεσθαι αὐτὸν ἀποκρίνεσθαι, εἴτε ἐρωτῶν, εἴτε ἐφ' ἑαυτοῦ ἀποτάδην τοὺς λόγους ποιήσασθαι ὁ Ἀλκιβιάδης φησίν· οὐκ οἶδα εἰ οἷός τέ εἰμι πρὸς Σωκράτην τὸν λόγον ποιήσασθαι τοῦ συμφέροντος [17]· διὸ ἐπάγει ἄλλον συλλογισμὸν ὁ Σωκράτης, ὅτι καὶ πῶς πείσεις Ἀθηναίους συμβουλεύων; ὁ γὰρ ἕνα πείθων καὶ πολλοὺς πείθει, καὶ ὁ πολλοὺς πείθων καὶ ἕνα πείθει. Καὶ διὰ τούτου τοῦ συλλογισμοῦ ἀναφαίνεται ἡ τελειότης ἡμῶν, ὅτι ἀσώματός ἐστιν. Εἴγε τὸ μὲν σῶμα οὐ δύναται μεταδοῦναι ἑαυτοῦ ἄλλοις ἀμειώτως [18], ἡ δὲ τελειότης ἡ ἐν ψυχῇ δύναται καὶ ἑνὶ καὶ πολλοῖς μεταδοῦναι ἑαυτῆς ἀμειώτως. Τάχα δὲ καὶ μείζονα ἐπίδοσιν προςλαμβάνουσα, διότι τελειοῦται ὁ διδάσκαλος διὰ τοῦ τοὺς λόγους προφέρειν. Καὶ πῶς τοῦτο λέγεται ὑπὸ τοῦ Πλάτωνος; τί οὖν, ὁ ἕνα ἀνόητον πείθων, καὶ πλῆθος φιλοσόφων πείθει; ἢ ὁ πλῆθος φιλοσόφων πείθων, καὶ ἕνα ἀνόητον πείθει; Πρὸς ὃ φαμὲν, ὅτι διὰ μιᾶς λέξεως ταῦτα πάντα ἔλυσεν ὁ Πλάτων εἰπών· ἕνα ἕκαστον. Ὁ γὰρ ἕνα πείθων καὶ πολλοὺς πείθει, ἐπειδὰν τὰ ἕνα ἐκεῖνα, ἵνα οὕτως εἴπω, μέρους ᾖ τοῦ πλήθους. Ἐδήλωσε δὲ ταῦτα διὰ τοῦ ἕκαστον· καὶ ἐπειδὰν τὸ πλῆθος συγκείμενον ᾖ ἐκ τῶν ἀγαθῶν, τότε ὁ πολλοὺς πείθων καὶ ἕνα πείθει. Καὶ πρὸς τούτοις, ἐὰν, περὶ ὧν πείθει, ἐπιστη-

(14) Addend. vid. *τοῦ*. [Attamen Xenoph. Conv. 9, 6: *ἐφιέμενος πράττειν*.]

(15) Scribendum videtur *τοῦ ζῆν, ἤπερ τοῦ νοεῖν*, propter significationem *appetendi*, quae inest in verbo *ἐφιέμεθα*. [Attamen cf. Phavorin. s. v. et Schol. ad Soph. Oed. R. v. 757 ed. Erf.]

(16) Videtur abesse Genitivus participii ad *Σωκράτους* pertinens, v. c. *προτιθεμένου*.

(17) Paulo aliter haec leguntur in Edd.

(18) Hoc adverbium non habent Lexica, sed adjectivum *ἀμείωτος*. Habet tamen Dionysius Areopagita de eccles. hierarch. III. 3. 3. T. I. p. 287 Antverp. — *ἀλλ' αὖθις, (ὁ θεῖος ἱεράρχης) ὡς ἀπόλυτος καὶ τοῖς ἥττοσιν ἀκατάσχετος, εἰς τὴν οἰκείαν ἀρχὴν ἀμειώτως ἀποκαθίσταται* (i. e. integre neque ulla in parte imminutus revertitur.) Viden' Areopagiticum lacunar Platonicis inductum pigmentis? Et tamen eum hominem pro antiquo et germano scriptore nuper habuit vir haud invenustus, cujus librum silentio praetermittere malo.

μονῇ [19]. Ὁ γὰρ ἀριθμητικὸς δύναται περὶ τῶν ἀριθμῶν καὶ ἕνα καὶ πολλοὺς πεῖσαι ἐπιστήμονας. Ταῦτα ἔχει ἡ θεωρία.

Ἀλλ' οὐκ οἶδα εἰ οἷός τε [20] εἴην, ὦ Σώκρατες. — Ἰδοὺ ἀρνεῖται τὴν πρὸς Σωκράτην ἀπόκρισιν, διότι φησίν· πῶς οὖν συμβουλεύεις Ἀθηναίοις; ὁ γὰρ ἕνα [21] καὶ πολλοὺς πείθει. Καὶ εἰςφέρει ἐκκλησίαν καὶ δικαστήριον καὶ δῆμον, διότι ῥητορικὸς ὁ νέος. — Καὶ ἐκεῖ τοι σὲ δεήσει ἕνα ἕκαστον πείθειν. — Ἰδοὺ ὁ κανὼν, ὅτι ὁ πείθων ἕνα καὶ πολλοὺς πείθει· καὶ διὰ τοῦ ἕκαστον ἐδήλωσεν, ὅτι δεῖ μέρος εἶναι τοῦ πλήθους. — Οὐκοῦν τοῦ αὐτοῦ ἕνα τε οἷόν τε εἶναι κατα μόνας [22] καὶ συμπόλλους; Ἰδοὺ πάλιν διὰ τοῦ εἰπεῖν κατὰ μόνας καὶ συμπόλλους ἐδήλωσεν, ὅτι τοῦ αὐτοῦ ἐστι τὸ πείθειν πολλοὺς καὶ ἕνα, ὅταν συγκέηται τὸ πλῆθος ἐκ τῶν ἐνάδων· καὶ πῶς ἀδολεσχεῖ; καὶ ἄνω γὰρ τοῦτο εἶπεν· ἢ ποῦ μὲν λαμβάνει τὸν ἕνα, μέρος ὄντα τοῦ πλήθους, ὥςπερ ἐνταῦθα· ποῦ δὲ κατὰ μόνας ἀφῃρημένον τοῦ πλήθους, ὥςπερ ἀνωτέρω, Οἷος [23] Σωκράτης περὶ αὐτοῦ· οὗτος γὰρ ἀφῄρατο τῶν πολλῶν, δυνάμενος συγκαταθῆναι [24] αὐτοῖς. Περὶ ὧν ἂν εἴδη [25], ὥςπερ γραμματιστής. Ἰδοὺ ὁ δεύτερος προςδιορισμὸς ὅτι δεῖ καὶ αὐτὸν καὶ [26] εἰδέναι. Ὁ γὰρ εἰδὼς περὶ γραμμάτων, οὗτος πείσει καὶ ἕνα καὶ πολλούς. Οὗτος λέγεται ὁ εἰδὼς ἀριθμητικός [27]. Οὐκ ἠρκέσθη ταῖς μαθηματικαῖς ἀνάγκαις παθούσαις· καὶ γὰρ ὁ ἀριθμητικὸς τοῦ μαθηματικοῦ [28], ἀλλ' ἐπήγαγε· καὶ ὁ εἰδὼς

(19) Scrib. ἐπιστήμων ᾖ. (20) Edd. οἷός τ' ἄν.
(21) Add. πείθων. (22) Edd. add. πείθειν. [Mox scr. ποὺ μὲν — ποὺ δὲ.] (23) An. οἷον? (24) Scrib. vid. συγκαταθεῖναι.
(25) Scrib. ex Edd. εἰδῇ. (26) Del. vid. καί.
(27) Edd. p. 114. Steph. p. 323. Bekk. Οὗτος δ' ἔσται ὁ εἰδώς, ὁ ἀριθμητικός.
(28) Mendum subesse suspicor. Primum παθούσαις fortasse mutandum in πειθούσαις. Deinde utrobique μαθηματ. legendum videtur γραμματικαῖς et γραμματικοῦ. Tum deesse aliquid ad sensum integrum existimo, ut ab auctore profectum sit κρείττων aut ἀκριβέστερος aut πιθανώτερος γραμματικοῦ, aut simile quid. Moser. Ego manum abstineo. Olympiodorus rationem reddit cur Plato vocem ὁ εἰδὼς adjecerit τῷ ἀριθμητικῷ. Proinde dicit: Non acquievit in mathematicis necessitatibus (liceat hoc brevitatis causa usurpare;

περὶ τούτων. — Ὅτι ὁ μὲν ἀθρόους πείθει τὰ αὐτὰ, ὁ δὲ καθ' ἕνα. Ἰδοὺ πάλιν τῷ ἀθρόῳ τὸ καθ' ἕνα ἀντέταξεν. Δῆλον ὅτι τοὺς αὐτοὺς βούλεται, ποτὲ μὲν κατὰ μόνας ὄντας, ποτὲ δὲ ἀθρόους. — Κινδυνεύει. Περὶ τῶν διὰ κληματῆρα [29] ἀνάγκης μελλόντων διὰ τὴν ἀνάγκην μετατρέπεσθαι εἰς τὸ ἐναντίον δόγμα, τὸ κινδυνεύειν λέγεται. — Ὑβριστὴς εἶ, ὦ Σώκρατες. — Ὑβριστὴς ἀποκαλεῖ τὸν ἐλεγκτικόν. Ὁ δὲ Σωκράτης καταδέχεται τοῦτο καὶ φησίν· οὐ μόνον ὑβριστὴς, ἀλλὰ καὶ ὑβριστικώτατος, ὡς οὐ μόνον ψευδεῖς βουλόμενος ἐλέγξαι τοὺς λόγους σου, ἀλλὰ καὶ τὸ ἐναντίον δεῖξαι ἀληθές· ὅτι πᾶν δίκαιον συμφέρον, καὶ τὸ ἀνάπαλιν. Εἰσὶ γάρ τινα ψευδῆ μὲν, οὐ μέντοι διὰ τῶν ἐναντίων ἐλεγχόμενα, ἀλλὰ διὰ τοῦ μέσου, ὡς ἔχει ἐπὶ τοῦ· πᾶς ἄνθρωπος περιπατεῖ. Οὐδὲ γὰρ ἐκ τοῦ ἐναντίου ἐλέγχεται τοῦτο, κἀκεῖνο γὰρ ψεῦδός [30] ἐστιν, ἀλλὰ διὰ τοῦ μέσου. Νῦν γ' οὖν ὑφ' ὕβρεως μέλλω σε πείθεν τἀναντία. Τουτέστιν ὡς ὑβριστὴς, οὐ μόνον ἐλέγχω σε, ἀλλὰ καὶ μέλλω σε πείθειν τὰ ἐναντία, εἴ μοι ἀποκρίναιο. Ὁ δὲ οὐ βούλεται ἀποκρίνασθαι διότι, ὡς εὐφυὴς, ᾔδει, ὅτι ἐπὰν ἐρώτησίς ἐστι καὶ ἀπόκρισις, ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, ἀλλ' οὐχ ὁ ἐρωτῶν. Κακεῖνος ἐπιτίθεται αὐτῷ ἀποκρίνεσθαι, διότι ἀνυσιμώτατός ἐστιν ὁ τοιοῦτος ἔλεγχος, διότι μᾶλλον πειθόμεθα ὑφ' ἑαυτῶν ἐλεγχόμενοι, ἔχεται ἐν ταῖς διαλεκτικαῖς ἐρωτήσεσιν ὁ ἐλέγχων τοῦ ἐλεγχομένου μᾶλλον, ἤπερ τοῦ σώματος τὰ τῆς ἐχίδνης δήγματα. Ἀλλὰ σὺ αὐτὸς λέγε. Τὸ λέγε ἐνταῦθα παρὰ Πλάτωνι ἀπὸ τάδην εἰπέ. — Τί δ' οὐκ ἔτι

de locutione supra monui.) quae passivae sunt. Nam etiam arithmeticus mathematici est (generis, *μαθηματικοῦ* sc. *γένους*), sed adjecit: qui intelligens est harum rerum (h. e qui non modo se cogi patitur mathematicâ necessitate, verum etiam qui mentem suam ipse agitavit et intelligentiam est nactus).

(29) Vocabulum inauditum, neque vero ejusmodi, quo Lexica possint suppleri. Legendum fortasse *κλιμακτῆρα*. Moser. Similis corruptela in Polluce IV. 127: *κλιματῆρες* pro *κλιμακτῆρες* et X. 171. ubi vid. Interprr. In Suida vero II. p. 328 falso scriptum: *κλημακτήρων*, ubi vid. Kuster. itemque ad vocem *ἐγκοπή*. I. p. 671. Contra Photius L. Gr. p. 126 recte: *κλιμακτῆρες*.

(30) An scrib. *ψευδές*?

μάλιστα βούλει πεισθῆναι [31]· ὁ Σωκράτης· τί ἄλλο θέλεις, εἴ με [32] πεισθῆναι, ὅτι πᾶν δίκαιον συμφέρον καὶ τὸ ἀναπάλιν; Διὰ γὰρ τοῦ λόγου τούτου δύο συλλογισμοὶ δειχθήσονται. Ἀποκρίνου δή· καὶ ἂν εἰ μὴ [33] αὐτὸς σὺ σαυτοῦ ἀκούσῃς. — Ἀποκρίνου, φησὶ, τὰ ἐρωτώμενα· καὶ εἰ μὴ σὺ σαυτοῦ λέγοντος ἀκούσῃς, ὅτι πᾶν δίκαιον συμφέρον καὶ τὸ ἀνάπαλιν, ἄλλῳ λέγοντι μὴ πιστεύσῃς. Δεῖ γὰρ τοὺς ὠφελουμένους ἐκ τῶν κατ' ἀποτάδην λόγων λέγειν· πῶς ἂν σύ μοι λέξειας, ἅ με χρὴ λέγειν; αὐτὸν γὰρ ἔδει ἀποκρίνεσθαι ταῦτα, ἵνα μὴ ἔξωθεν οἱ λόγοι ἐπιπλάττωνται, δίκην ἀγγείου ἀψύχου, ἔξωθεν ἑαυτοῦ τὸ ὕδωρ ἔχοντος, ἀλλὰ δεῖ ἀφ' ἑαυτοῦ προβάλλεσθαι τοὺς ἐλέγχους· οὕτω γὰρ αἱ μαθήσεις εἰσὶν ἀναμνήσεις. — Ἀλλ' ἀποκριτέον· καὶ γὰρ οὐδὲν οἶμαι βλαβήσεσθαι· ὡς εὐφυὴς πάλιν ἄλλην ἀποφυγὴν εὑρίσκει· ὅτι ἀποκρίνομαι, οὐδὲ [34] γὰρ οἶμαι βλαβήσεσθαι. Ὁ δὲ ἀποδέχεται αὐτὸν καὶ φησὶν, μαντικὸς εἶ. Καὶ γὰρ ὁ μαντικὸς εὐστόχως ἐπιβάλλει καὶ ὁ εὐφυὴς περὶ τῶν μελλόντων. Ἔμελλε δὲ οὐ μόνον οὐδὲ βλαβήσεσθαι, καὶ [35] ὠφεληθήσεσθαι. Οὐκ εἶπε δὲ μάντις, διότι ὁ μάντις ἐπιστήμων ἐστίν· ὁ δὲ μαντικὸς ἀτελής ἐστιν· ὥςπερ οὐ ταὐτὸν ἰατρὸς καὶ ἰατρικός· καὶ ὁ Ἀλκιβιάδης δὲ οὐκ ἐπιστημονικῶς ταῦτα ἔλεγεν, ἀλλὰ κατὰ δόξαν ἀπεμαντεύετο. Ἐν οἷς ἡ πρᾶξις·

## Πρᾶξις σὺν θεῷ ιγ'.

Καί μοι λέγε· τῶν δικαίων φῂς ἔνια μὲν συμφέρειν, ἔνια δὲ οὔ; Δέκα ὄντων συλλογισμῶν τοῦ παρόντος διαλόγου ὁ πέμπτος προτίθεται δεῖξαι· ὅτι ταὐτὸν δίκαιον καὶ συμφέρον· τοῦτο δὲ δείκνυσι διὰ δύο [1] συλλογισμῶν· διὰ τοῦ δεῖξαι πᾶν δίκαιον καὶ συμφέρον· καὶ δεύτερον· πᾶν συμφέρον δίκαιον· ἡ γὰρ ἀντιστροφὴ τὴν ταυτότητα εἰςάγει. Καὶ προά-

(31) In Edd. est *Τί δαί; οὐχ ὅτι μάλιστα βούλει πεισθῆναι;*
(32) An scrib. *ἐμοῦ* v. *ἐμοί?* [An *μή?*] (33) Scrib. ex Edd. *καὶ ἐὰν μή.*
(34) Fort. *οὐδέν.* (35) Fort. *ἀλλὰ καί.*
(1) De hoc usu vocis *δύο* supra vidimus p. 69.

γει τόν συλλογισμὸν οὕτως. Πᾶν δίκαιον καλόν· πᾶν καλὸν συμφέρον [2]· πᾶν ἄρα δίκαιον συμφέρον. Καὶ ὁ νέος πρὸς μὲν τὴν ἐλάττονα πρότασιν, τὴν λέγουσαν, πᾶν δίκαιον καλὸν, οὐκ ἀντιλέγει ὡς φιλότιμος, διότι ᾔδει τὰ δίκαια ἐπαινετά. Διὸ καὶ αὐτεπάγγελτος δέδωκε τῇ βουλῇ δέκα τάλαντα [3]. Πρὸς δὲ τὴν μείζονα μάχεται τὴν λέγουσαν· πᾶν καλὸν συμφέρον, λέγων εἶναί τινα καλὰ κακά· κακὰ δὲ καὶ ἄλλα αἰσχρὰ ἀγαθά [4]. Καὶ οὐκ ἀντίφασις ταῦτα. Δύο γὰρ εἰσὶν ἀντιθέσεις· καλὸν, αἰσχρόν· ἀγαθὸν, κακόν· καὶ ἀντίκειται τὸ μὲν καλὸν τῷ αἰσχρῷ, τὸ δὲ ἀγαθὸν τῷ καλῷ· οὐ μὴν τὸ καλὸν τῷ κακῷ. Ἔστι γὰρ, φησὶ, καλὸν κακόν· ὡς τὸ πολεμῆσαι ὑπὲρ πατρίδος, καὶ τὸ ὑπὲρ φίλου τεθνάναι· τοῦτο καλὸν [5] διότι οὐ συνήνεγκε τῷ σώματι. Ἔστι καὶ τὸ ἀνάπαλιν αἰσχρὸν ἀγαθὸν, ὡς τὸ μὴ ἀποθανεῖν ὑπὲρ φίλου· καὶ ἄμφω ταῦτα καὶ ὁ χρησμὸς ἐδήλωσε, τὸ μὲν μὴ ὑπὲρ φίλου ἀποθανεῖν εἰπών. Ἀνδρὶ φίλῳ θνήσκοντι παρὼν πέλας οὐκ ἐπαμύνας ἤλυθες οὐ καθαρὸς περὶ καλλέος· ἔξιθι νηοῦ [6]. Περὶ

(2) Ut justa sibi constet syllogismi forma et conveniant sequentia (τὴν ἐλάττονα πρότασιν), locum mutare debent hae propositiones scribendumque: Πᾶν καλὸν συμφέρον· πᾶν δίκαιον καλόν.

(3) Vid. Plutarch. Alcib. c. X.

(4) Videtur scribendum: λέγων εἶναί τινα καλὰ, κακὰ δὲ· καὶ ἄλλα αἰσχρὰ ἀγαθά.

(5) Scrib. vid. τοῦτο δὲ κακὸν.

(6) Tres juvenes Delphos petituri in latrones inciderant. Primus nihil opitulatus amicis suis fugâ elabitur templumque intrat Apollinis. Quem deus priore oraculo edito inde ejicit. Alter, qui amico periclitanti succurrere vellet, conjecto in unum e latronibus jaculo, pro latrone amicum imprudens percutit. Ei, cum templum ingredi non auderet, deus alteros illos versiculos occinit. Historia est apud Aelianum et apud Simplicium, sed narratione non minus quam versibus paulo diversa. Ita enim Aelianus V. H. III. 44 (cui Coraius nuper ex codibus restituit ὁ δεύτερος pro ὁ ἕτερος):

Ἀνδρὶ φίλῳ θνήσκοντι παρὼν πέλας οὐκ ἐβοήθεις.
Οὔ σε θεμιστεύω· περικαλλέος ἔξιθι νηοῦ.

Contra Simplicius in Epictet. p. 259. p. 411 Schwgh. in ceteris plane ut Olympiodorus, nisi quod pro νηοῦ habet σηκοῦ. Interpunctio secundi versiculi in Olympiodoreis ex utroque emendanda est. Alterum oraculum apud Aelianum ita legitur:

Ἔκτεινας τὸν ἑταῖρον ἀμύνων· οὔ σ' ἐμίανεν
Αἷμα, πέλεις δὲ χέρας καθαρώτερος, ἢ πάρος ἦσθα.

Simplicius iterum ut Noster praeterquam quod ἑταῖρον commate interjecto distinguit ab ἀμύνων; et deinde ita pergit οὔ σε μιαίνει

δὲ τοῦ ὑπὲρ φίλου ἀνατείναντος τὴν χεῖρα καὶ ἄκοντος πλήξαντος αὐτὸν, οὕτως. Ἔκτεινας σὸν ἑταῖρον ἀμύνων, οὔ σε μιαίνει αἷμα· φόνου δὲ πέλεις καθαρώτερος, ἢ πάρος ἦσθα. Καὶ ἐνῆν μὲν ἐλέγξαι τὸν Ἀλκιβιάδην λέγοντα· ἀλλ᾽ ἡ ψυχή ἐστιν ὁ ἄνθρωπος, καὶ οὐ τὰ τοῦ ὀργάνου κακὰ ἀνάγεται ἐπὶ τὸ χρώμενον· τὰ μὲν γὰρ τῶν μερῶν κακὰ ἀνάγεται ἐπὶ τὸ ὅλον. Εἰ οὖν συνέκειτο ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος, τότε τὰ τοῦ σώματος κακὰ ἀνήγετο ἐπὶ τὸ ὅλον· ἀλλ᾽ ἐπειδὴ ὄργανόν ἐστι καὶ χρώμενον, οὐ δεῖ τὰ τοῦ ὀργάνου ἁμαρτήματα ἐπὶ τὸ χρώμενον ἄγειν· ὥςπερ οὐδὲ τὸ ἀμβλὺ τοῦ σκεπάρνου ἐπὶ τὸν χρώμενον. Ἀλλ᾽ ἐπεὶ ταῦτα φιλοσοφώτερα, καίτοι ἐν ἀρχῇ δὲ ἠτεῖτο, πόθεν γὰρ ὅτι ὁ ἄνθρωπος ψυχὴ, δείκνυσι διὰ τριῶν λόγων, ὅτι ταὐτὸν τὸ δίκαιον καὶ συμφέρον· καὶ πρῶτον ὅτι πᾶν καλὸν συμφέρον ἐστίν. Καὶ ἐστὶν ὁ πρῶτος λόγος τοιοῦτος· οὐχ ἑνὶ τυχὸν τῇ ἀνδρείᾳ δύο τινὰ ἕπεται, καὶ τὸ καλὸν καὶ τὸ κακόν· ἀλλὰ δύο δυσίν· τῇ μὲν γὰρ ἀνδρείᾳ τῇ ὑπὲρ φίλου ἕπεται τὸ καλὸν, τῷ δὲ θανάτῳ τὸ κακόν. Οὐ ταὐτὸν δὲ ἀνδρεία καὶ θάνατος, εἴγε μὴ δὲ πᾶς ἀνδρεῖος ἐν πολέμῳ ἀποθνήσκει, μηδὲ πᾶς ἐν πολέμῳ ἀποθνήσκων ἀνδρεῖός ἐστιν. Ὥςτε δύο δυσὶν ἕπεται καὶ οὐχ ἑνὶ τῇ ἀνδρείᾳ, καὶ τὸ κακὸν τὸ ἐκ τοῦ θανάτου, καὶ τὸ καλόν. Καὶ ταῦτα φησὶ συγχωρῶν, ὅτι ὁ θάνατος κακὸν, διότι πρὸς Ἀλκιβιάδην τοὺς λόγους ποιεῖται. Δεύτερος λόγος· εἰ καὶ δῶμεν, ὅτι τῇ ἀνδρείᾳ, ὡς ἀνδρείᾳ, δύο ἐπηκολούθησαν, τὸ καλὸν καὶ τὸ ἐκ τοῦ θανάτου κακόν· ἀλλ᾽ οὐχ ὁ αὐτὸς τρόπος· τῇ μὲν γὰρ ἀνδρείᾳ ὡς ἀνδρείᾳ ἐπηκολούθησε τὸ καλὸν, κατὰ συμβεβηκὸς δὲ τὸ κακὸν, τῷ φθεῖραι τὸ ὑποκείμενον καὶ ἐάσαι τὴν ἀνδρείαν ὡς ἀνδρείαν. Εἰ γὰρ ἔφθειρε τὴν ἀνδρείαν ὡς ἀνδρείαν, δειλὸς ἂν ἐγίνετο, καὶ οὐ θάνατος αὐτῷ· ἡ γὰρ δειλία φθείρει τὴν ἀνδρείαν ὡς ἀνδρείαν· εἶτα ἐπειδὴ ταῦτα οὐχ ὡς Σωκράτης διαλέγεται ἀλλ᾽ ὡς διδάσκα-

*Αἷμα φόνου· σὺ πέλεις κτλ.* In priore oraculo Uptonus ad Epictet. Enchir. p 158 ita distinxit, probante Schweighaeusero: *ἤλυθες; οὐ καθαρὸς π. ἐξ. νηοῦ.* Extrema hujus versiculi leguntur etiam in oraculo apud Galenum Protrept. cap. 9. p. 30 ed. Willet: *Μουσάων θεράποντα κατέκτανες, ἔξιθι νηοῦ.*

λος, καὶ παράγγελμα θεοῦ παραβαίνει τὸ λέγον· μαιεύεσθαί με ὁ θεὸς ἐποίησε, γεννᾷν δὲ κωλύει.* Νῦν γὰρ διδάσκει ταῦτα, ἀλλ' οὐ μαιεύεται. Ἔδει γὰρ ἡμᾶς τούτων ἀκοῦσαι ἀπὸ Ἀλκιβιάδου, ἀλλ' οὐχ ὑπὸ Σωκράτους· καὶ ὅτι μαίας υἱὸς ἦν, καταβάλλει τὸ σχῆμα. Καὶ αὐτὰ ταῦτα ἐρωτῶν τὸν Ἀλκιβιάδην ποιεῖ ἀποκρίνασθαι καὶ γυμνάζει τὸν λόγον ἐπὶ ἀνδρείας, διότι προς στρατηγικὸν διελέγετο. Καὶ δείκνυσιν, ὅτι ἡ ἀνδρεία τι καλὸν, οὐκ ἀγαθόν ἐστιν. Εἴπερ γὰρ πρὸς Χαρμίδην διελέγετο τὸν σωφρονέστατον (διὸ καὶ ἐπιγέγραπται αὐτῷ διάλογος Χαρμίδης ἢ περὶ σωφροσύνης) ἂν ἐγύμναζε τὸν λόγον· ἐρωτᾷ οὖν αὐτὸν, πότερον αἱρῇ δειλὸς εἶναι, ἢ τεθνάναι; ὁ δὲ αἱρεῖται τεθνάναι, διὰ τὸ εἶναι ἀνδρεῖος. Καὶ πάλιν ἴσον ἥγεῖ [7] τὸ τεθνάναι τῷ δειλὸν εἶναι. Ὁ δὲ συγκατατίθεται καὶ ἐνταῦθα ἁμαρτάνων, ἄμεινον γὰρ τεθνάναι ἢ δειλὸν εἶναι, διότι ἡ ἀνδρεία εὖ εἶναι ἡμᾶς ποιεῖ, ἡ δὲ ζωὴ, εἶναι· οὐκοῦν καὶ ἡ ἀπόπτωσις χείρω [8] τῆς ἀποπτώσεως, τὸ κακῶς, τοῦ μὴ εἶναι. Ἀλλ' ἐπειδὴ ταῦτα φιλοσοφώτερα, παρεᾷ [9] ταῦτα ὁ Σωκράτης, καὶ δείκνυσιν, ὅτι πᾶν καλὸν ἀγαθὸν, ἐκ τῶν αὐτοῦ λόγων. Καὶ πάλαι μὲν πρὸ τῆς μαιείας δείκνυσιν, ὅτι πᾶν καλὸν ἀγαθὸν, τοῦτον τὸν τρόπον. Ἡ ἀνδρεία τι καλόν· τοῦτο γὰρ συνεχώρησεν ὁ νέος καὶ ἐπὶ τῆς δικαιοσύνης· πᾶν καλὸν, ἢ [10] καλὸν, ἀγαθόν· τοῦτο γὰρ ἔδειξεν ὁ δεύτερος συλλογισμὸς ὁ λέγων· καθ' αὑτὸ τῇ ἀνδρείᾳ, καλῇ οὔσῃ ἐπηκολούθησε τὸ ἀγαθόν· κατὰ συμβεβηκὸς γὰρ ἐπηκολούθησε τῷ τινι καλῷ ὁ θάνατος, ὅ ἐστὶ κακόν. Καὶ ἐπειδὴ τὸ ᾗ ἐπὶ ἀντιστρεφόντων λέγεται, καὶ ᾗ ἀγαθὸν καλόν ἐστι· τὰ αὐτὰ δὲ καὶ ἐπὶ σωφροσύνης, φησὶ, καὶ τῶν ἄλλων ἀρετῶν ποιήσαντες, ἔξο μὲν [11], ὅτι πᾶν καλὸν, ἧ [12] καλὸν ἀγαθόν ἐστι, καὶ διὰ τοῦτο ταὐτόν ἐστι. Μετὰ δὲ τὴν μαιείαν ἄλλως πλέκει τὸν συλλογισμὸν, λέγων. Ἡ ἀνδρεία ἐφετὸν τῷ Ἀλκιβιάδῃ· πᾶν ἐφετὸν, ἀγαθόν, ὅτι συνεπιτείνεται καὶ συνανίεται τῷ

[* Vid. annot. 25.] (7) Scrib. ἡγεῖται. (8) Scr. χείρων.

(9) *Παρεάω transmitto* Stephanus Thes. I. p. 1073. D. non nisi e vetere Lexico profert, Schneiderus dubium dicit. Firmatur vocis auctoritas hoc ipso loco.

(10) Scrib. ᾗ quatenus. (11) Scrib. ἕξομεν. (12) Scrib. ᾗ.

ἀγαθῷ ἡ ἔφεσις· τοῦ γὰρ μείζονος ἀγαθοῦ μείζων ἡ ἔφεσις· ἡ ἄρα ἀνδρεία ἀγαθόν. Τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν· ὥστε πᾶν καλὸν ἀγαθόν. Εἰ γὰρ ἡ ἀνδρεία τι καλὸν οὖσα, ἐφετόν ἐστιν, εἴγε καὶ ἐραστόν ἐστι. Τὸ γὰρ καλὸν πρὸς τῷ ἔρωτι, τὸ δὲ ἐφετὸν ἀγαθόν ἐστιν, ἡ ἀνδρεία ἄρα ἀγαθόν ἐστι· τὰ δὲ αὐτὰ καὶ ἐπὶ σωφροσύνης ποιήσαντες καὶ δείξαντές τι ἀγαθὸν οὖσαν τὴν σωφροσύνην, καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν ὁμοίως ἕξομεν, ὅτι πᾶν καλὸν ἀγαθὸν, ὡς εἴρηται. Καὶ ἐπειδὴ ἡ μερικὴ κατάφασις ἀντιστρέφει πρὸς ἑαυτὴν, δέδεικται δὲ πᾶν καλὸν καὶ τὸ ἐκ τῶν μερικῶν καταφατικῶν χύμα [13] ἀγαθὸν, καὶ τὸ ὅλον χύμα ἀντιστέφει. Ἐφ' οἷς δείκνυσι καὶ διὰ τρίτου συλλογισμοῦ, ὅτι πᾶν [14] ἀγαθὸν καὶ τὸ ἀνάπαλιν, καὶ κέχρηται δείξει, ἣν ὠφελήθη Ἀριστοτέλης ἐν τῇ περὶ Οὐρανοῦ [15]. Λαβὼν γὰρ δύο ἀντιθέσεις καὶ τούτων ἑκάτερον σκέλος, ἑκατέρῳ τῆς λοιπῆς ἀντιθέσεως ἀντιστρέφον, δείκνυσιν, ὅτι αἱ διαγώνιοι οὐ δύνανται συναληθεῦσαι, εἰσὶ δὲ αἱ δύο ἀντιθέσεις αὗται· γεννητὸν, ἀγέννητον· φθαρτὸν, ἄφθαρτον. Ἐπεὶ οὖν δέδεικται, ὅτι τὸ γεννητὸν τῷ φθαρτῷ ἀντισρέφει, πᾶν γὰρ γεννητὸν φθαρτόν ἐστι, καὶ τὸ ἀνάπαλιν· ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἄλλης συζυγίας, πᾶν ἀγέννητον ἄφθαρτον, καὶ πᾶν ἄφθαρτον ἀγέννητον· οὐ δύναται ἐπὶ τῶν διαγωνίων ἀληθεῦσαι, οἷον φθαρτὸν καὶ ἄφθαρτον· εἰ γὰρ συναληθεύσωσιν, ἐπειδὴ δέδεικται πᾶν φθαρτὸν γεννητὸν, ἔσται τι γεννητὸν ἀγέννητον, καὶ συναληθεύσει ἡ ἀντίφασις. Ταύτῃ τῇ ἀποδείξει κέχρηται ἐνταῦθα ὁ Πλάτων, λαβὼν δύο ἀντιθέσεις· ἀγαθὸν κακόν· καλὸν, αἰσχρόν· καὶ δείξας, ὅτι ἀντιστρέφει τὸ ἀγαθὸν τῷ καλῷ, καὶ τὸ καλὸν τῷ αἰσχρῷ, δείκνυσι μὴ δυνάμενον εἶναί τι καλὸν κακόν. Εἰ γὰρ ᾖ, ἐπειδὴ δέδεικται, ὅτι τὸ καλὸν ἀγαθόν ἐστιν, ἔσται τι ἀγαθὸν κακὸν, ὅπερ ἀδύνατον. Ταῦτα ἔχει ἡ θεωρία.

(13) Hesych. III. 1568 *χύμα· ῥεῦμα. πλῆθος*, ubi vid. annot. ibiq. laud. Tib. Hemsterh. ad Aristoph. Plut. vs. 728. Adde Biel. Thes. III. p. 613. Hoc loco est *totum* quod ex partibus constat.

(14) Add. vid. *καλόν*.

(15) Vid. Aristotel. de coelo libr. prim. praecipue cap. X — XII p. 26 — 35 Sylburgii.

*Καί μοι λέγε· τῶν δικαίων φῂς ἔνια μὲν συμφέρειν, ἔνια δὲ οὔ;* Τίς ὁ σκοπὸς τῆς πράξεως; δεῖξαι διὰ τριῶν λόγων, ὅτι ταὐτόν ἐστι δίκαιον καὶ συμφέρον. Δείκνυσι δὲ τοῦτο διὰ τῆς ἀντιστροφῆς δικαίου καὶ συμφέροντος· καὶ σκόπει, ὅτι οὐκ ἠρώτησεν αὐτὸν ὅτι εἰ μηδὲν τῶν δικαίων οἴεται συμφέρον εἶναι, ἀλλὰ τὸ πιθανώτερον μᾶλλον ὅτι εἴ τι δίκαιον οἴεται συμφέρον, τὶ δὲ οὔ. Καὶ προάγει τὸν συλλογισμὸν ἐκεῖνον, ὅτι πᾶν δίκαιον καλὸν, καὶ ταύτῃ συγχωρεῖ· τῇ δὲ μείζονι, τῇ λεγούσῃ· καὶ πᾶν καλὸν συμφέρον, μάχεται. *Πῶς τοῦτο ἐρωτᾷς;* οὐ μάτην ἀμφέβαλλεν ὁ νέος· ἀλλ', ἐπειδὴ ὁ Σωκράτης δύο εἶπε δίκαια καὶ συμφέροντα, καὶ ἐρώτησεν [16], εἰ τούτων τινὰ μὲν καλά ἐστι, τινὰ δὲ αἰσχρά, ἀμφέβαλλε πρός τι ἀποκρίνεται· *εἴ τις ἤδη σοι ἔδειξεν* [17] *αἰσχρὰ μὲν, δίκαια δὲ πράττειν;* Ἰδοὺ, ἐρωτᾷ αὐτὸν τὴν ἐλάττονα, καὶ δίδωσιν, ὡς φιλότιμος, ὁ νέος, ὅτι πᾶν δίκαιον καλόν. *Ἔνια τῶν καλῶν κακὰ εἶναι.* — Ἰδοὺ τῇ μείζονι μάχεται, ὅτι οὐ πᾶν καλὸν ἀγαθὸν, διὰ τὰ ἐν πολέμῳ τραύματα [18]. *Οὐκοῦν τὴν τοιαύτην βοήθειαν καλὴν μὲν λέγεις;* Τὰ αὐτὰ δὲ ἦν δυνατὸν καὶ ἐπὶ σωφροσύνης εἰπεῖν, ἀλλ' ἐπειδὴ πρὸς στρατηγικὸν ὁ λόγος, τοιοῦτον εἶπε παράδειγμα· ἡ γὰρ Ἱππολύτου [19] σωφροσύνη καλὸν μὲν, οὐ μὴν ἀγαθὴ, διὰ τὸν θάνατον. *Ἆρα οὖν οὐκ ἄλλο μὲν ἡ ἀνδρεία* [20], *ἄλλο δὲ ὁ θάνατος;* Ἡ πρώτη λῦσις, ὅτι δύο δυσὶν ἐπηκολούθησεν, οὐ δύο ἑνί [21]· οὐ γὰρ ταὐτὸν ἀνδρεία καὶ θάνατος. *Ὅρα τοίνυν εἰ ἥδε* [22] *καλὸν, καὶ*

(16) Scr. ἠρώτησεν. (17) Edd. ἔδοξεν.

(18) Plane eadem leguntur in Scholl. in Plat. p. 72. Ruhnk. ut hoc et plura ejusmodi a Scholiasta ex Procli et Olympiodori commentariis excerpta esse videantur.

(19) Vide fabulam Euripideam, quae ita inscribitur.

(20) Edd. ἀνδρία. Sed codd. Bodlejani et h. l. et in sq. ἀνδρεία. Vid. Lectiones Platonicas e membranis Bodlejanis eruit Thom. Gaisford. Oxon. 1820 p. 110.

(21) Eadem sunt in Scholl. l. c. p. 72. Vix est quod de formâ *δυσὶ* moneamus in hujus aetatis scriptore. De ea vid. Matth. Gr. gr. §. 138 ibiq. adhibitum Fischer. ad Weller. II. p. 160; quocum ex parte facit Lobeck. ad Phrynich. p. 210. sq.

(22) Leg. ex Edd. ἥ γε.

ἀγαθόν. Ὁ δεύτερος συλλογισμὸς ὁ λέγων· ὅτι εἰ καὶ δῶμεν, ὅτι ἑνὶ καὶ τῷ αὐτῷ πράττει, οἷον τῇ ἀνδρείᾳ καὶ τὸ καλὸν καὶ τὸ κακὸν τὸ ἐκ τοῦ θανάτου ἐπηκολούθησεν, ἀλλ' οὐχ ὡσαύτως, ἀλλὰ τῇ μὲν ἀνδρείᾳ ὡς ἀνδρείᾳ [23] τὸ καλόν. Κατὰ συμβεβηκὸς δὲ τὸ κακὸν, διὰ τὸ ἀφεῖναι τοῦτο καὶ μάχεσθαι τῷ ὑποκειμένῳ, δύο φησίν. Σκόπει δὲ, καθ' ὃ κακόν ἐστι, καὶ ἀγαθόν ἐστι· τοῦτο δὲ τὸ ᾗ ἐπὶ ἀντιστρεφόντων λέγεται, ὥςπερ καὶ ἐπὶ τοῦ παρόντος παραδείγματος τῆς ἀνδρείας. Πάλιν γὰρ δύο πράγματα δυσὶν ἐλέγετο μὲν ἀκολουθεῖν· νῦν δὲ, δύο ἑνί· τῇ γαρ ἀνδρείᾳ τὸ καλὸν καθ' αὑτὸ, κατὰ συμβεβηκὸς δὲ τὸ κακόν. Σκόπει οὖν, εἰ τὸ καλὸν τοῦτο ἀγαθόν ἐστιν, ἢ κακόν· ὧδε δὲ, πότερον ἂν δέξαιο σοὶ εἶναι ἀγαθὰ ἢ κακά [24]; Μεταβάλλει τὸν λόγον ἐπὶ τὴν μαιείαν, ἵνα μὴ παράγγελμα τοῦ θεοῦ παραβαίνῃ· μαιεύεσθαι γάρ με, φησὶν, ὁ θεὸς ἐποίησε, γεννᾷν δὲ ἀποκωλύει [25]. Καὶ ἐρωτᾷ αὐτὸν τὸν συλλογισμὸν λέγων· ὅτι ἡ ἀνδρεία ἐφετόν· πᾶν τὸ ἐφετὸν ἀγαθόν. Διότι συνεπιτείνεται ταῦτα ἀλλήλοις· τῷ γὰρ μείζονι ἀγαθῷ, μείζων ἔφεσίς ἐστιν· ἡ ἀνδρεία ἄρα ἀγαθόν. Τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν ἄλλων καλῶν γυμνάσαντες, διότι ἄθροισμα τῶν ἀρετῶν τὸ κάλλος· οἷον ἐπὶ σωφροσύνης· ἡ γὰρ τοῦ Ἱππολύτου σωφροσύνη, κατὰ συμβεβηκὸς κακή ἐστι· διότι ἐπηκολούθησε θάνατος. Ἐξ ἴσου τὸ τεθνάναι. Ἰδοὺ ἐνταῦθα ἁμαρτάνει ὁ νέος· χείρων [26] γάρ ἐστι τὸ μὴ εἶναι, τοῦ κακῶς εἶναι. Τὸ ἄρα βοηθεῖν ἐν πολέμῳ. Ἐντεῦθεν τὸ πρῶτον ἐπιχείρημα φησὶν, ὅτι δύο [27] πράγμασι δύο ἐπηκολούθησε· θανάτῳ γὰρ καὶ ἀνδρείᾳ καλὸν καὶ κακὸν διὰ μαιείας. Οὐκοῦν ὧδε δίκαιον προςαγορεύειν ἑκάστην τῶν πράξεων. Τὸ δεύτερον

(23) Probat lectio *τῇ μὲν ἀνδρείᾳ ὡς ἀνδρείᾳ*, nobis supra merito correctum esse *καλὸν ᾗ καλόν*, ut quod mox sequitur *τὸ ᾗ* et saepius repetitur pag. sq.

(24) Paulo aliter haec leguntur in dialogo nostro p. 115. Steph. — Bekk. p. 326.

(25) Est locus Platonicus ex Theaeteto p. 150. c. Bip. T. II. — Bekk. II, 1. p. 192. — Heindf. p. 309. ubi pro *ἐποίησε* scribitur *ἀναγκάζει*, et *ἀπεκώλυσεν* pro *ἀποκωλύει*.

(26) Scrib. *χεῖρον*. (27) Scrib. ex superioribus *δυσί*.

ἐπιχείρημα, ὅτι τὸ καλὸν ᾗ καλὸν ἀγαθόν ἐστιν· ἄρα οὖν καὶ ᾗ ἀγαθὸν καλόν ἐστι· τῇ ἀντιστροφῇ χρῆται νῦν· ὅτι ἐπειδὴ τὸ ᾗ ἐπὶ ἀντιστρεφόντων λέγεται, καὶ ᾗ ἀγαθὸν καλόν ἐστι· καλὴν μὲν εἶναι, κακὴν δέ· ἐντεῦθεν τὸν τρίτον συλλογισμὸν φησὶ τὸν ἐκ τῶν δύο ἀντιθέσεων, ὧν ὠφελήθη ὁ Ἀριστοτέλης καὶ φησίν· ὅτι τὴν πρᾶξιν τὴν καλὴν, κακὴν δὲ, φαίνῃ μὲν μὴ λέγειν ἀντίφασιν· δυνάμει δὲ ἀντιφάσκεις σαυτῷ, διότι οὐδὲν ἄλλο φῂς, ἢ τὸ καλὸν ἀγαθόν· διὰ τὸ ἀντιστρέφειν τὸ καλὸν τῷ ἀγαθῷ, καὶ πᾶν καλὸν εἶναι ἀγαθόν.

## Πρᾶξις σὺν θεῷ ιδ.

Ἔτι τοίνυν καὶ ὧδε σκέψαι· ὅστις καλῶς πράττει [1]. Ἐπειδὴ ἔδειξεν ὁ Σωκράτης πᾶν καλὸν ἀγαθὸν, παραδείγματι χρησάμενος τῇ ἀνδρείᾳ· ἔλεγε γὰρ τὸ καλὸν, ᾗ καλὸν, ἐφετόν ἐστι· πᾶν ἐφετὸν ἀγαθόν ἐστι· πᾶν ἄρα καλὸν ἀγαθόν· τὴν δὲ ἀνδρείαν τι καλὸν ἐδίδου ὁ Ἀλκιβιάδης, ἡ ἀνδρεία ἄρα ἀγαθόν. Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν ποιήσαντες, ἐπειδὴ οἷον ἄθροισμα καὶ οἷον ἄνθος τῶν ἀρετῶν ἐστι τὸ καλόν, ἕξομεν, ὅτι καὶ πᾶν καλὸν ἀγαθόν. Ἐπειδὴ οὖν καὶ πρὸ Ἀριστοτέλους ᾔδει, ὅτι ἀσθενής ἐστιν ἡ διὰ τῶν καθ' ἕκαστα ἀπόδειξις, βούλεται καὶ διὰ τοῦ καθόλου λόγου δεῖξαι τοῦτο [2]. Καὶ λαμβάνει καθολικὰς προτάσεις, δι' ὧν δείκνυσιν, οτι πᾶν καλὸν ἀγαθὸν, καὶ τὸ ἀνάπαλιν. Καὶ ἔστιν ὁ συλλογισμὸς τοιοῦτος· ὁ καλὰ πράττων, εὖ πράττει· ὁ εὖ πράττων εὐδαιμονίαν ἔχει· ὁ εὐδαιμονίαν ἔχων, ἀγαθὰ πράττει· ὁ ἄρα καλὰ πράττων ἀγαθὰ πράττει, καὶ διὰ τοῦτο τὸ καλὸν ἄρα ἀγαθόν. Καὶ τούτων ῥηθέντων ὑπὸ τοῦ Πλάτωνος, πολλὴν ἄδειαν εὑρίσκουσιν οἱ διασύρειν τὸν συλλογισμὸν τοῦτον βου-

(1) p. 116 a Steph. p. 327 sq. Bekk. Quae inde ab his verbis usque ad extrema dialogi sequuntur, haec omnia destituuntur a Procli commentariis, quorum haec pars interiit. Vid. Prooem. ad Procl. p. XVIII. et textum ipsum p. 339. Eo acceptiora esse debent nobis haec posteriora disputata Olympiodori. — Pro *πράττει* in membranis Bodlejann. est *πράσσει*. Vid. p. 110 ed. Gaisford.

(2) Vid. Schol. in Plat. p. 72. Ruhnk.

λόμενοι, λέγοντες, ὅτι τί διαφέρουσιν αἱ προτάσεις ἀλλήλων; τί γὰρ διαφέρει τὸ τὰ καλὰ πράττειν τοῦ εὖ πράττειν; ἢ τὸ εὖ πράττει [3] τοῦ εὐδαιμονεῖν; Λέγομεν δὲ ἡμεῖς πρὸς τὸ πρῶτον· ὅτι οὐ ταὐτὸν τὸ καλῶς πράττειν τῷ εὖ πράττειν. Τὸ μὲν γὰρ εὖ μέσον ἐστὶ τοῦ ἀγαθοῦ καὶ τοῦ καλοῦ [4]· ἀπόῤῥοια γὰρ καὶ οἷον ἔλλαμψίς ἐστι τοῦ ἀγαθοῦ ἐπὶ τὸ καλὸν τὸ εὖ· ἀρχόμενον μὲν ἀπὸ τοῦ ἀγαθοῦ, τελευτοῦν [5] δὲ εἰς τὸ καλόν· διὸ καὶ τὸ καλὸν εὖ λέγεται. Φαμὲν γὰρ τοὺς καλῶς λέγοντας εὖ λέγειν. Ἀλλὰ καὶ ἐπὶ τοῦ ἀγαθοῦ φέρεται τὸ εὖ διὸ καὶ τοὺς προσηνεῖς ἡμῖν καὶ ἀγαθὰ ἡμῖν θέλοντας εὔνους ἡμῖν φαμέν· καὶ ὡς ἐφετὸν ἑκάτερον τὸ εὖ ἔχει. Καὶ γὰρ καὶ τὸ καλὸν ἐφετόν ἐστιν, ὡς καλοῦν ἐφ' ἑαυτὸ καὶ τὸ ἀγαθὸν, ὡς ἄγαν θεῖν ἐπ' [6] ἑαυτὸ ποιοῦν πάντας [7]· διὸ καὶ ὁ δαιμόνιος Ἀριστοτέλης ἀρχὴν ὑποθέμενος οὐ τὸ πρῶτον αἴτιον, ἄλλα τὸν νοῦν ἐν τῇ μετὰ τὰ φυσικὰ [8] περὶ αὐτοῦ διαλεγόμενος ἔλεγε διττὸν εἶναι τὸ εὖ· τὸ μὲν ἐν τῷ στρατηγῷ, τὸ δὲ ἐν τῷ στρατοπέδῳ· καὶ αἴτιον εἶναι τὸ ἐν τῷ στρατηγῷ τοῦ ἐν τῷ στρατοπέδῳ. Οὕτως ᾠκείωται τῷ καλῷ τὸ εὖ· οἰκεῖον γὰρ τῷ νῷ τὸ καλόν. Εἰ γὰρ περὶ τοῦ ἀγαθοῦ τὸν λόγον ἐποιεῖτο, οὐκ ἂν τὸ εὖ παρελάμβανεν. Διότι ὑπὲρ τοῦτό ἐστι τὸ πρῶτον· ἀλλὰ καὶ ἡ δευτέρα οὐκ ἔστιν ἡ αὐτὴ, ἄλλο γάρ εστι τὸ εὖ πράττειν περὶ [9] τὸ εὐδαιμονεῖν· τὸ μὲν γὰρ ὡς αὐτοκινήτοις ἁρμόττει· (τὸ γὰρ κατὰ ἀρετὴν ζῆσαι αὐτοκινη-

(3) Scr. πράττειν.

(4) Vid. Scholl. in Plat. p. 73. quae, uti supra p. 119 monitum, ex his Procli et Olympiodori libris magnam partem excerpta sunt.

(5) Scrib. τελευτῶν. (6) Scrib. ἐφ'.

(7) Utramque (τοῦ καλοῦ et τοῦ ἀγαθοῦ) etymologiam exhibet Etymolog. M. p. 5, 18. (Ed. Lips. p. 5.) et p. 485, 56. (Ed. Lips. p. 440.) Etymolog. Gudian. p. 2 et 295. ed. Sturz. Fontem etymologiae in Platonis Cratylo p. 416 C alibi monstravi ad Plotin. Praepar. p. XIX. Ceterum adhibendus est hic Olympiodori locus etiam ad vim vocis προςηνὴς intelligendam; de qua alia congessi ad Plotin. de pulcr. p. 192.

(8) Locus Aristotelis est Metaphysicor. lib. XII. cap. 9 et 10 p. 208. sq. Sylb. Sed noster, uti assolet, ex memoria laudavit locum; nam si accuratius eum inspexisset, scripsisset στρατεύματι pro στρατοπέδῳ.

(9) Fort. ἤπερ τὸ εὐδ.

σίας ἴδιον). Τὸ δὲ εὐδαιμονεῖν ἄνωθεν ἡμῖν ἐφήκει τοῖς κατ' ἀρετὴν ζήσασι· τοῖς γὰρ ἐπιτηδείους ἑαυτοὺς ποιήσασιν ἡ θεόθεν ἔλλαμψις παραγίνεται, ἥτις εὐδαιμονία ἐστι, καὶ κρεῖττον τὸ τοιοῦτον ἑτεροκίνητον τοῦ αὐτοκινήτου· κρεῖττον γὰρ τὸ θεόθεν ἄγεσθαι, ἢ ὑφ' ἑαυτοῦ. Εἶτα ἐπισυνάπτει τοῖς εἰρημένοις δύο προτάσεις, καὶ οὕτως συνάπτει τὸ προκείμενον, ἄνωθεν μίαν καὶ κάτωθεν. Κάτωθεν μὲν, ὅτι ὁ τὰ ἀγαθὰ ποιῶν συμφέροντα ποιεῖ· ταὐτὸν γάρ ἐστιν ἀγαθὸν καὶ συμφέρον· ἄνωθεν δὲ, διότι ὁ τὰ δίκαια ποιῶν καλὰ ποεῖ. Τοῦτο γὰρ ἦν συγχωρήσας ὁ Ἀλκιβιάδης· πᾶν δίκαιον καλόν· καὶ συνάγει, ὅτι οὐκοῦν καὶ πᾶν δίκαιον συμφέρον· εἶτα μίαν τῶν προτάσεων τῶν ῥηθεισῶν μεταξὺ ἀντιστρέφει λέγων· καὶ ὁ εὖ πράττων καλὰ πράττει· τοῦτο δὲ ποιεῖ ἐνδεικνύμενος, ὅτι πᾶσαι αἱ προτάσεις ἀντιστρέφουσι, καὶ διὰ τοῦτο καὶ τὸ συμπέρασμα· προέθετο μὲν γὰρ δεῖξαι, ὅτι οὐ μόνον πᾶν δίκαιον συμφέρον, [10] καὶ πᾶν συμφέρον δίκαιον· ἵνα ᾖ [11] ἡ ἀντιστροφὴ αὔτο [12] τὸ συμφέρον ἀγαθόν· τὸ ἀγαθὸν εὐδαιμονίαν ποιεῖ· τὸ εὐδαιμονίαν ποιοῦν, εὐπραξία ὑπάρχει, τὸ τοιοῦτο καλὰ πράττειν ἐστὶ, τὸ τοιοῦτο δικαιοσύνη ὑπάρχει· τὸ ἄρα συμφέρον δίκαιόν ἐστιν. Καὶ οὕτω προελθόντος τοῦ Σωκρατικοῦ λόγου ὁ Ἀλκιβιάδης ἀπαλλαγεὶς τῆς διπλῆς ἀμαθίας, μήπω δὲ ἐπὶ ἁπλῆν ἀμαθίαν ἐλθὼν, ἀλλ' ἐν μεθορίῳ διπλῆς ἀμαθίας ὢν καὶ ἁπλῆς, ὁμολογεῖ μὴ εἰδέναι ποίοις συγκαταθέσθαι, εἴτε τούτοις, εἴτε ἐκείνοις. Φησὶν γάρ· οὐκ οἶδα ὅ,τι λέγω· — ποτὲ μὲν γὰρ ἕτερά μοι δοκεῖ, ποτὲ δὲ ἄλλα [13]. Μέσον δέ ἐστι τοῦτο ἁπλῆς ἀγνοίας, τουτέστι τοῦ εἰδέναι, ὅτι οὐκ οἶδε, καὶ διπλῆς, τουτέστι τοῦ βεβαίως, ὅτι οἶδε. Τὸ ποτὲ μὲν οἴεσθαι, ποτὲ δὲ μὴ οἴεσθαι, ὥσπερ ἡ δόξα, μέση [14] ἐστὶ διπλῆς ἀγνοίας καὶ ἐπιστήμης. Ἐκείνων γὰρ ἐκ διαμέτρου ἀντικειμένων ἀλλήλοις, ὁ δοξαστικὸς εἰδὼς μὲν τὸ ὅτι, ἀγνοῶν δὲ τὴν αἰτίαν, ἐν μεθορίῳ πως [15] ἐστι.

(10) Videtur scrib. *ἀλλὰ καί.*
(11) Scrib. *ᾖ.* (12) Scrib. vid. *αὐτὸ* aut *οὕτω.*
(13) In Edd. est. *ποτὲ — γάρ μοι — ποτὲ —*. p. 116. Steph. — Bekk. p. 329.
(14) An scr. *μέσα* an *μέσον*? (15) Scrib. *πώς.*

**Διὸ καὶ ἐλέγετο, ὅτι οὐδὲν διαφέρει τοῦ ἐπιστήμονος, εἰ μὴ** τῇ αἰτίᾳ· ἅπαντα γὰρ τὰ αὐτὰ ποιεῖ· ὥςπερ ὁ ἐμπειρικὸς ἰατρὸς τὰ αὐτὰ ποιεῖ τῷ λογικῷ ἰατρῷ. Ἐφ' οἷς βουλόμενος ὁ Σωκράτης τελείως ἀπαλλαγῆναι τὸν Ἀλκιβιάδην τῆς διπλῆς ἀγνοίας, κατατρέχει [16] ταύτης καὶ ἐκτραγῳδεῖ αὐτὴν, λέγων αὐτὴν πλάνης αἰτίαν, ἁμαρτάδος αἰτίαν [17]· *αἰσχιστοτάτην*· αἰσχίστη μὲν γὰρ ἡ ἁπλῆ ἄγνοια· αἰσχιστοτάτη [18] δὲ αὕτη, ἢ ἐπονειδιστοτάτη, πλάνης μὲν γὰρ αἰτία. Διότι οὔτε ὁ εἰδὼς τὴν ὁδὸν πλανᾶται, οὔτε ὁ μὴ εἰδὼς, γινώσκων [19] ὅτι οὐκ οἶδεν. Οὗτος γὰρ οὐδὲ ἐπιχειρήσοι πορεύεσθαι ταύτην, ἀλλ' ὁ μὴ εἰδὼς, οἰόμενος δὲ εἰδέναι. Οὗτος δὲ καὶ ἁμαρτημάτων ἐστὶν αἴτιος· ἐπιχειρεῖ γὰρ καὶ ἄλλους διδάσκειν, ἃ μὴ οἶδε, καὶ μοχθηρὰς δόξας ἐντίθησιν αὐτοῖς. Αἰσχιστοτάτην δὲ φησὶν αὐτὴν, διότι καὶ ἁπλῆ ἄγνοια αἰσχίστη, ὡς ἄγνοια οὖσα· ἡ γὰρ ἄγνοια, αἶσχος ποιεῖ τῇ ψυχῇ. Ἄλλο δὲ αἶσχος καὶ ἄλλο νόσος. Τὸ μὲν γὰρ αἶσχος ἐν τῷ λόγῳ μόνῳ θεωρεῖται, ἡ δὲ πονηρία, νόσος οὖσα τῆς ψυχῆς, οὐκ ἐν ἑνὶ μορίῳ μόνῳ τῆς ψυχῆς, οἷον ἐν τῷ λόγῳ. Οὐ γὰρ ἐν ἑνὶ ἡ νόσος, ὡς φησὶν ὁ Ἱπποκράτης· (εἰ γὰρ ἓν ἦν ὁ ἄνθρωπος, οὐκ ἂν ἤλγεεν) [20]· ἀλλ' ἐν τῇ διαμάχῃ τῶν μορίων τῆς ψυχῆς. Αὕτη

(16) Id est excurrit adversus eam, incursat hostiliter eam. De constructione cum genitivo vid. Phavorin. p. 1011. 50. de significatu Suid. II. p. 267. Thom. Magist. p. 741 sq. Proxime: *καὶ ἐκτραγῳδεῖ αὐτήν* id est exaggerat eam, majorem in modum auget, Pollybius VI. 56 p. 573 Schwgh. *Καί μοι δοκεῖ τὸ παρὰ τοῖς ἄλλοις ἀνθρώποις ὀνειδιζόμενον, τοῦτο συνέχειν τὰ Ῥωμαίων πράγματα, λέγω δὲ τὴν δεισιδαιμονίαν· ἐπὶ τοσοῦτον γὰρ ἐκτετραγῴδηται καὶ παρειςῆκται τοῦτο τὸ μέρος παρ' αὐτοῖς εἴς τε τοὺς κατ' ἰδίαν βίους καὶ τὰ κοινὰ τῆς πόλεως, ὥςτε μὴ καταλιπεῖν ὑπερβολήν.* [Ut simplex quoque *τραγῳδεῖν* Demosth. (v. c. de coron. p. 229, 18. et de falsa leg. p. 400, 17) de Aeschine prius histrione usurpare amat.] De reliqq. significationibus vid. Hesych. I. p. 1155. Budaei Comment. ling. gr. p. 845. p. 1152 — 1154.

(17) Verbis *ἁμαρτάδος αἰτίαν* non utitur Socrates in Dialogo. De voce supra p. 65. vidimus.

(18) Forma *αἰσχιστότατος* alibi non videtur legi. De similibus vid. Fisch. ad Well. II. p. 89. sqq. Buttmann. ausführl. Gr. Sprchl. I. p. 279. sq. coll. p. 270. [*αὕτη* i. e. *διπλῆ*.]

(19) Vid. add. *δὲ*. (20) Vid. Gorraei Definitt. med. in *Ἀλγήματα* et Foësii Oeconom. Hippocrat. p. 18 ubi Galenus in Exeg. *πολλάκις καὶ κατ' αὐτοῦ τοῦ νοσήματος ἐπιφέρειν τοὔνομα.* (nimirum *ἄλγημα* Hippocratem) *καὶ τὸ ἀλγεῖν ὁμοίως, ἀντὶ τοῦ νοσεῖν τι καὶ πάσχειν καὶ ἄλλα τὰ ἀπ' αὐτοῦ.* — Rem ipsam Noster jam

δὲ αἰσχιστοτάτη ὡς διπλῇ ἀγνοοῦσα καὶ ἐπονειδιστοτάτη, διότι ὀνειδίζομεν οὐ τοὺς μὴ ἔχοντας, ἀλλὰ τοὺς ἔχοντας καὶ μὴ χρωμένους, ἢ τοὺς κακῶς χρωμένους. Οὕτω καὶ ἡ ἁπλῆ ἀμαθία ἐπονείδιστός ἐστι, διότι ἔχων ταύτην, ἔχων τοὺς λόγους συνουσιουμένους, οὐ χρῆται αὐτοῖς. Ἐπονειδιστότατος δὲ ὁ καὶ ἔχων καὶ κακῶς τούτοις χρώμενος, ὡς ἐπὶ διπλῆς ἀμαθίας. Κακουργοτάτη δέ ἐστιν, διότι σπουδάζει παραλογίζεσθαι καὶ πείθειν περὶ ὧν οὐκ οἶδε. Καὶ ἐξέπεσεν ὁ ἔχων ταύτην καὶ ψυχῆς, καὶ νοῦ, καὶ θεοῦ· ὡς μὲν γὰρ διπλῇ ἀμαθαίνων, ψυχῆς, ἧς οἰκεία ἡ γνῶσίς ἐστιν· ὡς δὲ αἴσχιστος, νοῦ ἐξέπεσεν, ὡς μὴ δυνάμενος ἐπιστρέψαι πρὸς ἑαυτὸν, ὃ ἴδιον νοῦ· καὶ ὅτι οἰκεῖον τὸ καλὸν τῷ νῷ, ἐξέπεσεν οὖν αὐτοῦ, ὡς αἴσχιστος· ὡς δὲ κακουργοτάτη καὶ ἐπονείδιστος ἐξέπεσε θεοῦ, ᾧ οἰκεία ἡ ἁπλότης, ἐξ οὗ ἐφήκει καὶ τὸ εὖ. Τὸ γὰρ εὖ πρόσρημά ἐστιν ἁπλότητος· διὸ καὶ τοὺς ἁπλοῦς τοὺς τρόπους εὐήθεις φαμέν· Καὶ πῶς συμβουλεύσει, ὦ Ἀλκιβιάδη, φιλότιμος θέλων εἶναι, ἐπονείδιστος ὤν; καὶ κάλλιστος θέλων εἶναι, αἴσχιστος ὤν; τὸ συμφέρον θέλων εἰδέναι καὶ συμβουλεύειν, κακουργότατος ὤν; Ἰστέον δὲ, ὡς ἐπονειδιστότατος ἐξέπεσε θεοῦ, καὶ ὡς μακαρίου· μακάριος γὰρ εἴρηται, οὗ κῆρες οὐκ ἐφάπτονται [21]. Διὸ καὶ ἀντίκειται τῷ μακαρίῳ, τὸ ἐπονείδιστον, ἐν τῷ ὁ γὰρ μακάριος κ' οὐκ ὀνειδίζω τύχας [22].

Ταῦτα ἔχει ἡ θεωρία. Ἔτι τοίνυν καὶ ὧδε σκέψαι. — Διὰ τοῦ ἔτι ἐδήλωσεν, ὅτι τὸ αὐτὸ βούλεται κατα-

in antecedentibus attigit. Vid. πραξ. ά ibiq. locc. Hippocrateos in annot. citatos. Ceterum de unitate tamquam valetudine secundâ itemque de binario numero, tanquam morbi fonte, confer quae e veteribus profert Eustathius ad Odyss. XVIII. 53 p. 653 Basil. ubi δύη malum sive τὸ κακοπαθές· ἕνωσις, unitas, tamquam ὑγίεια, laudato etiam Plutarcho. Tu vid. ipsum in animarr. generat. in Tim. p. 1012. Tom. V. p. 124 ed. Wyttenb.

(21) Consimilem vocis μακάριος Etymologiam vid. in Etymolog. M. p. 573, 36. Ed. Lips. p. 519; eandem in Etymolog. Gudiano p. 377. ed. Sturz. cf. Phavorini Lexicon. v. μάκαρ et μακάριος, p. 1206. Ad verba θεοῦ — μακαρίου adhibe Zonar. Lex. gr. p. 1327 et quos ibi laudat Tittmann. [Leg. ἐφάπτονται.]

(22) Est versus Euripideus ex Oreste (vs. 4.) ubi Electra haec de Tantalo dicit.

σκευάσαι καὶ διὰ ἄλλου λόγου [23]· πάλαι μὲν γὰρ διὰ τῶν καθ' ἕκαστα τοῦτο κατασκεύασε [24], νῦν δὲ διὰ τῶν καθόλου προτάσεων· ὅστις καλῶς πράττει, οὐκ [25] εὖ πρᾶττει; Τὴν πρώτην πρότασιν φησὶν, ὅτι ὁ τὰ καλὰ πράττων εὖ πράττει· οὐκ ἐπειδὴ δὲ ταὐτὸν εἶναι φησὶ δίκαιον καὶ συμφέρον, διὰ μέσου τοῦ καλοῦ ἤδη τὰ αὐτὰ ἄντικρυς βούλεται εἶναι. Ἄλλη γὰρ φύσις τοῦ ἀγαθοῦ, καὶ ἄλλη τοῦ καλοῦ. Καὶ γὰρ ἄνωθεν ἐπαναβέβηκε τὸ ἀγαθὸν τοῦ καλοῦ, καὶ κάτωθεν διὰ τὴν ὕλην, αἰσχρὰν οὖσαν, μετασχοῦσαν δὲ τοῦ ἀγαθοῦ, ἀλλ' ὅτι ὡς ἐν ἀνθρώπῳ ἀντιστρέφουσαν· τῷ γὰρ ὑποκειμένῳ ἀντιστρέφουσιν. Ὥςπερ γάρ φαμεν τὸν ἄνθρωπον μηδὲν διαφέρειν τοῦ γελαστικοῦ, οὐχ ὅτι τὸ αὐτό ἐστιν, ἀλλ' ὅτι οὐδὲν ἐκπέφευγεν τὸ ὑποκείμενον τοῦ ἀνθρώπου, οὗ τὸ γελαστικὸν μὴ κατηγόρηται. Οὕτω καὶ ταῦτα, ὡς ἐν ἀνθρώπῳ, ἀντιστρέφει. Καὶ ὅτι τὸ ἐν ἀνθρώπῳ δίκαιον λαμβάνει καὶ ἀγαθὸν, δῆλον, εἴγε καὶ ἀνωτέρω ἔλεγε περὶ ἀνδρείας, ὅτι αὕτη ἀγαθόν. Καὶ ἐνταῦθα δὲ [26] φησὶν, ὅτι οἱ τὰ καλὰ πράττοντες εὖ πράττουσι, τὸ δὲ πράττειν ψυχῶν ἐστι καὶ τὸ εὖ πράττειν. Καὶ ὅτι ἐν τῇ λέξει φησὶν ἔκ γε τούτου τοῦ λόγου ταὐτόν ἐστι καλὸν καὶ ἀγαθόν· κατὰ τὸ ὑποκείμενον τὰ αὐτά ἐστι τῷ μηδὲν ἐκφεύγειν τὸ ὑποκείμενον. Καὶ οὕτω μὲν ὁ φιλόσοφος Πρόκλος. Ὁ δέ γε Δαμάσκιος καὶ ἄλλως αὐτὸ ἐξηγεῖται· ὅτι οὐ κατὰ τὸ ὑποκείμενον ταὐτά ἐστι τὸ καλὸν καὶ τὸ δίκαιον καὶ συμφέρον, ἤδη καὶ κατὰ τὴν ἰδιότητα τὰ αὐτά ἐστιν, ἀλλὰ μείναντα ἀσύγχυτα κατὰ τὴν ἰδιότητα ἑαυτῶν, ἀντιστρέφουσι, καὶ ᾗ ἀντιστρέφουσι, λέγονται τὰ αὐτὰ εἶναι. Ὥςπερ γὰρ αἱ ἀρεταὶ ἀσύγχυτον φυλάξασαι τὴν ἰδιότητα ἑαυτῶν ἀντιστρέφουσιν· οὐ γὰρ ἐπειδὴ ἀντιστρέφουσιν αἱ αὐταί εἰσιν· οὐ ἐπειδὴ ἀντιστρέφει τὸ γελαστικὸν τῷ ἀνθρώπῳ τὸ αὐτό ἐστιν, ἀλλὰ ἀντιστρέψαν ἔμεινεν ἑκάτερον κατὰ τὴν οἰκείαν ἰδιότητα. Οὕτως δὲ τὸ ἀγαθὸν καὶ τὸ κα-

(23) Vid. Scholl. in Plat. p. 72. Ruhnk.
(24) Corr. κατεσκ. (25) Edd. οὐχὶ καί. [πρᾶττει ex pronuntiatione ortum.]
(26) De compositione conjunctionum καὶ δὲ vid. Hermann. ad Viger p. 847. Fortasse melius h. l. scribatur καὶ — δὴ, de quo vid. eund. p. 839.

λὸν ταὐτά ἐστιν, εἰ καὶ ἀντιστρέφει. Διὸ καὶ ἡ λέξις φησὶ, πᾶν, ὃ ἂν εἴη τοιοῦτον, ἀντὶ τοῦ τὰ αὐτὰ ὄντα κατὰ τὸ ὑποκείμενον, διαφέρει κατὰ ἰδιότητα. *Οἱ δὲ εὖ πράττοντες οὐκ εὐδαίμονες;* Ἡ δευτέρα πρότασις· καὶ εἴρηνται αἱ ἀπορίαι αἱ πρὸς ταύτην, καὶ αἱ λύσεις. — *Κτῶνται δὲ ταῦτα τῷ εὖ καὶ καλῶς πράττειν;* Συνέχεεν αὐτὰ, τὸ εὖ πράττειν καὶ καλῶς πράττειν· τούτου [27] δὲ οὐ μάτην, ἀλλ' ὅτι μέσον ἐστὶ τὸ εὖ τοῦ καλοῦ καὶ τοῦ ἀγαθοῦ, καὶ ἐφήκει ἀπὸ τοῦ ἀγαθοῦ ἐπὶ τὸ καλὸν τὸ εὖ. Καὶ δεσμός ἐστι, διὸ καὶ δέον ἐν τῷ συμπεράσματι εἰπεῖν· ὁ ἄρα καλῶς πράττων ἀγαθὰ πράττει, φησὶν ἀντὶ τούτου· *Τὸ εὖ ἄρα πράττειν ἀγαθόν ἐστιν* [28]· ὡς πάντα ταῦτα εἰδώς· *οὐκοῦν καλὸν ἡ εὐπραγία;* Ἰδοὺ ἐνταῦθα ἀντιστρέφει μίαν πρότασιν, ἔννοιαν ἡμῖν διδοὺς καὶ τὰς ἄλλας ἀντιστρέφειν, καὶ διὰ τοῦτο πᾶν συμφέρον εἶναι. Τοῦτο γὰρ προέκειτο δεῖξαι· ἀντέστρεψε γὰρ εἰπὼν, ἡ εὐπραγία καλόν ἐστι. — *Ταὐτὸν ἄρα ἐφάνη ἡμῖν πάλιν* —. Οὐ μάτην τὸ *πάλιν*· ἀλλ' ὅτι δέδεικται τοῦτο ἤδη καὶ διὰ τῶν καθ' ἕκαστα συλλογισμῶν, νῦν δὲ διὰ τῆς καθ' ὅλου προτάσεως. *Ὅτι ἄνδρα οὖν ἂν εὕρωμεν καλὸν, καὶ ἀγαθὸν εὑρήσομεν ἔκ γε τούτου τοῦ λόγου* [29]. — Ἰδοὺ πῶς συμφώνως ἐξηγήσατο ὁ φιλόσοφος Πρόκλος. Φησὶ γὰρ, πᾶν ὃ ἂν εὕρωμεν καλὸν, καὶ ἀγαθὸν εὑρήσομεν· ἀντὶ τοῦ, ὅτι ἀντιστρέφει διὰ τὸ ὑποκείμενον· οὐδὲ γὰρ ἐκφύγειτι [30] τοῦ ὑποκειμένου τῇ δικαιοσύνῃ, ᾧ μὴ ὑπάρχῃ τὸ ἀγαθόν. Χάρις γὰρ τῷ φιλοσόφῳ οὕτω ταῦτα ἐξηγησαμένῳ. *Τί δὲ τὰ ἀγαθὰ συμφέρει ἡτ* [31]. Ἐντεῦθεν προτίθησι τὰς ἄλλας δύο προτάσεις· πρώτην μὲν τὴν κάτωθεν, ὅτι τὰ ἀγαθὰ συμφέρει· ὕστερον δὲ τὴν ἄνωθεν, ὅτι τὰ δίκαια ὁμολόγησας [32] καλὰ εἶναι. Καὶ διὰ τοῦτο πᾶν

(27) Scrib. *τοῦτο*.
(28) Ultima vox non est in editionibus, quarum tamen lectio *ἀγαθόν* confirmatur et hoc Olympiodori loco et vero itidem codicibus Bodlejanis, nuper admodum a Gaisfordio collectis.
(29) Corr. ex Edd. *Ὅ,τι ἂν ἄρα εὕρωμεν* —. p. 116 med. Steph. — Bekk. p. 328.
(30) An scrib. *ἐκφύγοι* an *ἐκφεύγει τι*?
(31) Scrib. ex Edd. *Τί δέ; τὰ ἀγαθὰ συμφέρει ἢ οὔ;*
(32) Scrib. *ὡμολ.*

δίκαιον συμφέρον, καὶ τὸ ἀνάπαλιν. — *Τὰ δίκαια ἄρα, ὦ Ἀλκιβιάδη, συμφέροντά ἐστιν.* Ὅτε ἐπῆγε τὸ συμπέρασμα, εἰκότως καὶ τοῦ ὀνόματος ἐμνήσθη τοῦ Ἀλκιβιάδου, ἵνα τὸ προσεκτικὸν αὐτοῦ διεγείρῃ καὶ δείξῃ, ὅτι αὐτός ἐστιν ὁ ταῦτα δοὺς, καὶ οὐ Σωκράτης. *Τί οὖν; ταῦτα οὐ σὺ ὁ λέγων* [33]; Τίς οὖν, φησὶν, ἀπεκρίθη ταῦτα καὶ δέδωκεν; ἆρα οὐ σὺ, ὁ ἀποκρινόμενός, ἐστιν [34] ὁ λέγων, καὶ οὐχ ὁ ἐρωτῶν; *Εἰ οὖν τις ἀνίσταται συμβουλεύσων.* — Εἰ μὲν ἄλλος συγγραφεὺς ὁ ταῦτα λέγων καὶ οὐ Σωκράτης, πάντως ἂν φορτικὰ ῥήματα ἔλεγεν ἂν πρὸς τὸν Ἀλκιβιάδην μετὰ τὸν ἔλεγχον, ὅτι καὶ πῶς ἐπαγγέλλῃ συμβουλεύειν περὶ ὧν οὐκ οἶδας; Ἀλλ' ἐπεὶ Σωκράτης ἐστὶν ὁ λέγων, φησὶ πρὸς αὐτὸν, ὅτι ἄρα οὖν εἰ ἀνέστη τις συμβουλεύσων περὶ ὧν οὐκ οἶδεν, οὐκ ἂν σὺ παρεστὼς κατεγέλας ἂν αὐτόν [35]; καὶ κατέστησε τὸν γελώμενον γελῶντα ἄλλους. Οὗτος γὰρ καρπὸς τῆς συνουσίας Σωκράτους, τὸ *καταπτῆσαι* [36] ἀντὶ γελῶντος, γελώμενον· τὸ δὲ *εἴτε Πεπαρηθίοις*, διότι ἴσως Πάρηθος [37] εὐτελὴς ἦν νῆσος [38]· ἐνδεικνύμενος ἐντεῦθεν, ὅτι οὐδὲν ὀνήσει τὸ κλεινὸν ὄνομα τῆς Ἀττικῆς πρὸς τὸ ποιῆσαι ἐπιστήμονα τῶν δικαίων τὸν διπλῆ ἀμαθαίνοντα περὶ ταῦτα. Εἰδότος γὰρ περὶ ἕκαστον ἡ συμβουλὴ, ἀλλ' οὐκ ἀθαιναίου [39]· προσφορώτερον γὰρ οὕτω λέγειν ἐνταῦθα· *Ἀλλὰ μὰ τοὺς θεοὺς, ὦ Σώκρατες.* — Ἰδοὺ, ἀπηλλάγη τῆς διπλῆς ἀμαθίας ὁ νέος,

(33) Ita Bekker. In editione Buttmanni aliis additur *εἰ*. Sed idem abest ab optimis codd. Bodlejanis. Vid. Lectt. Platonn. p. 110 ed. Gaisford. (34) Del. vid. *ἐστιν*.

(35) Scribendum videtur *αὐτοῦ*. [Mox articulus ante *γελῶντα* ponendus videtur, sic: *κατ. γελώμ. τὸν γελῶντα.*]

(36) In marg. *πτῦσαι ἴσ.* Neutrum videtur convenire sententiae. Aptius esset *καταφανῆναι* aut simile quid. Moser. Nisi malueris: *καταστῆσαι*, ex antecedente *κατέστησε*, hac sententiâ: Nam illud ponere (sive instruere) pro irridente irrisum — hic fructus est Socraticae consuetudinis, s. disciplinae Socraticae.

(37) In marg. recte *διότι ἡ Πεπάρ.*

(38) De Peparetho insula Heraclides Ponticus de Polit. XIII. p. 22. ed. Crag. p. 13 ed. Koeler. ait: *αὕτη ἡ νῆσος εὔοινός ἐστι, καὶ εὔδενδρος, καὶ σῖτον φέρει.* cf. Scholl. in Plat. p. 73. Ruhnk. Steph. Byzant ibiq. Berkel. p. 635. add. Ovid. Metamorph. VII. 470 — nitidaeque ferax Peparethus olivae. Adde Eckhel. D. N. V. II. p. 115.

(39) Scrib. *Ἀθηναίου*.

καὶ ἐν τῷ μεταξὺ ἐγένετο· φησὶ γάρ, ὅτι ποτὲ μὲν δοκεῖ μοι ἄλλα, ἄλλοτε δὲ ἄλλα. Οὐκ ἄκαιρος δὲ ὁ ὅρκος, ἀλλὰ δηλοῖ ἐν ἀφασίᾳ αὐτὸν ὄντα· ἐπεὶ διὰ τί πάλαι οὐκ ὤμνυεν. Διὸ καὶ ὁ Σωκράτης ἐπεγκαλούμενος αὐτὸν, φίλον ὀνομάζει· καὶ διότι ἕνα βαθμὸν ἀνῆλθεν· ἀπὸ γὰρ διπλῆς ἀγνοίας εἰς μέσην ἕξιν ἁπλῆς καὶ διπλῆς ἐνέπεσεν. — Οἴει ἂν οὖν, εἴ τις ἐρωτῶν σε, δύο ὀφθαλμοὺς ἔχεις ἢ τρεῖς [40]. — Ἐντεῦθεν βούλεται δεῖξαι, ὅτι διὰ τὴν ἄγνοιαν διαφωνεῖ ἑαυτῷ· καὶ κέχρηται πολλοῖς παραδείγμασιν οἰκείοις τῷ προκειμένῳ λέγων, ὅτι εἴτις ἐρωτῶν [41] σε, εἰ δυνήσῃ ἀναθεῖν εἰς τὸν οὐρανόν. Οἰκεῖον δέ πως τοῦτο διὰ Περικλέα, οἰκεῖον ὄντα αὐτῷ, ὃς Ὀλύμπιος ἐλέγετο. Διὸ περὶ αὐτοῦ εἴρηται· ἤστραπτεν, ἐβρόντα, συνεκύκα τὴν ἑλλάδα [42]. Καὶ ταῦτα οὐκ ἐπ' ἀγαθοῖς πράγμασι σεμνυνόμενος, ἀλλ' ἐπὶ χρήμασιν, ὡς ἡ ἐλευθέρα ἡμᾶς κωμῳδία ἐδίδαξεν, ὃς, διὰ τὸ μὴ ποιῆσαι λόγους τῶν ἀνηλωμένων χρημάτων εἰς τὴν Φειδίου Ἀθηνᾶν, ἐκίνησε τὸν Πελοποννησιακὸν πόλεμον [43]. Πάλιν εἴ τις σὲ ἐρωτήσῃ περὶ κυβερνητικῆς, ἀπεκρίνω ἂν αὐτῷ; ἢ περὶ ὀψοποιΐας; καίτοι ἐνταῦθα σὺ διαφωνεῖς σαυτῷ, διότι οἶδας, ὅτι ἀγνοεῖς. Οἰκεῖα δὲ καὶ ταῦτα τὰ παραδείγματα· τὸ μὲν πρῶτον, διότι δηλοῖ, ὅτι δεῖ ἐξῃρῆσθαι τὸν πολιτικὸν τῶν ἐπιτροπευομένων· τὸ δὲ τοῦ κυβερνήτου, διότι δεῖ, ὥςπερ ὁ κυβερνήτης προνοεῖται τῆς νεὼς, πρόνοιαν ποιεῖσθαι τῶν ἐπιτροπευομένων, εἰ καὶ ἐξῃρημένος εἴη. Τὸ δὲ τρίτον τὸ τοῦ ὀψοποιοῦ, διότι δεῖ τὸν πολιτικὸν προςηνῆ εἶναι κατὰ τοὺς λόγους τοῖς συμβουλευομένοις· εἰ μὴ γὰρ πεισθῶσιν οἱ συμβουλευόμενοι, ὅτι ἐφ' ὠφελείᾳ συμβουλεύει ὁ συμβουλεύων, οὐκ ἄν ποτε πεισθεῖεν αὐτῷ. Διὰ γὰρ

(40) Edd. δ. ὀφθ. ἢ τρεῖς ἔχεις. (41) Fort. ἐρωτῴη.

(42) Locus est Eupolidis Comici, ut ait Diodor. Sic. XII, 40. p. 505. Wess., aut potius, ut emendavit Wesselingius, Aristophanis, Acharn. v. 529 sq. ubi est:

ἐντεῦθεν ὀργῇ Περικλέης ὁ ὐλύμπιος
ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα.

Conf. Plutarch. in Pericle c. 8.

(43) Ad rem. vide supra p. 26. [Mox leg. vid. οὐ διαφ. pro σὺ δ. vid. πρᾶξ. ζ praecipue p. 68 sqq. et ipsa sequentia p. 131.]

γὰρ προςηνὲς μόνον καὶ ὁ παρὰ τοῖς Ἕλλησι σύμβουλος ἤκουσε. τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή [44]. Ἐρωτᾷ οὐ τὸ ἐνδεχόμενον, ἀλλὰ τὸ ἀδύνατον. Οὐ γὰρ ἠρώτησεν, ἢ δύο ἢ ἕνα ἔχεις; ἐπειδὴ τοῦτο ἐνδεχόμενον ἦν, καὶ ἠδύνατο ποτὲ μὲν τόδε ἀποκρίνασθαι, ποτὲ δὲ τόδε· ἀλλ' εἰ τρεῖς ἔχῃ [45] ὀφθαλμοὺς, ἢ δύο ἢ τέσσαρας χεῖρας. — Δέδοικα μὲν ἔγωγε ἤδη. Φοβεῖται ὁ Ἀλκιβιάδης καὶ πρὸς τὰ οὕτω σαφῆ ἀποκρίνασθαι. Τοῦτο δὲ ἐνδεικνυμένου ἐστὶ τὴν περιουσίαν διαλεκτικῆς δυνάμεως τοῦ Σωκράτους. Ὡς γὰρ προπειρασθεὶς ταύτης φοβεῖται ἀποκρίνασθαι. Ἴσασι γὰρ Ἀργείων οἱ πεπληγμένοι [46], τὸ δὲ λεγόμενον, ἀναγκαῖον περὶ τούτου πλανᾶσθαι τὴν ψυχήν. Ἐντεῦθεν ἐπειδὴ ὠφελήθη ὁ Ἀλκιβιάδης παχυμερῶς [47], καταδρομῇ κέχρηται ὁ Σωκράτης κατὰ τῆς διπλῆς ἀγνοίας, καὶ λέγει πάντα ἐκεῖνα μικρὸν ὕστερον κατ' αὐτῆς. Ἐννοεῖς οὖν, ὅτι καὶ τὰ ἁμαρτήματα ἐν τῇ πράξει διὰ ταύτην τὴν ἄγνοιάν ἐστι. Καλῶς τὸ

(44) Est versus Homeri Iliad. *α*, 249.

(45) In alio scriptore corrigendum esset: *ἔχει* aut *ἔχεις*. Sed vid. supra p. 6 annotata.

(46) Suidas I. p. 312: *Ἀργείους ὁρᾷς· παροιμία ἐπὶ τῶν ἀτενῶς καὶ καταπληκτικῶς ὁρώντων.* Appendix Vatican. II. 49. in Poverbb. p. 289 Schott. in eodem adagio: *εἴρηται δὲ ἐπὶ τῶν ἐκτενῶς πρὸς ὁτιοῦν βλεπόντων καὶ καταπλησίον τι δοκούντων ὁρᾶν.* Hoc utcunque conveniret sententiae Olympiodori. In Plutarchi Amatorio haec leguntur ex vetere tragico: *τόδ' ἐξοπλίζειν τοὔπος Ἀργεῖον λεών·* quae sic explicantur in Erasmi Adagg. p. 708: „*Exarmat* Argivam gentem hoc oraculum. Accommodari poterit, „quando significabimus, argumento quodam valido aut syllogismi „ariete *destrui atque everti*, quae per se firma antea et certa vide„bantur." Sed vid. locum Plutarchi ipsum. Alia omnia invenies. (*Ἐρωτικ.* p. 752 C. p. 17 Wyttenb.) Proinde nihil restat, nisi ut dicamus, proverbii illius Olympiodorei esse eandem sententiam, quam illius dicti: *παθήματα, μαθήματα.* Utut est: adjicienda sunt illa: *Ἴσασιν — οἱ πεπληγμένοι* Proverbiorum graecorum corporibus.

(47) Id est, *rudius, neque dum subtiliter* s. crassiore adhuc Minerva. Vid. Hesych. II. p. 896; Suidas in *Ἀγνόημα* et in *Παχύνοοι.* Fabricius ad Sext. Empir. adv. Gramm. I. 3. 70 p. 231. Gellius N. A. XIV. 1. p. 634 Gronov. „ — sed conjectari pauca „quaedam, verbo ipsius (Phavorini philosophi) utar, *παχυμερέ„στερον*, *nullo scientiae fundo concepta, sed fusa et vaga et arbitraria.*" Ad Argumentum ejus disputationis adhibe Plotin. II. 3. 1 sqq.

διὰ ταύτην τὴν ἄγνοιαν, διότι τὰ ἐν λόγῳ ἁμαρτήματα διὰ τὴν ἄγνοιαν γίνεται· νῦν δὲ ἁμαρτήματα κατὰ γνῶσιν ἐξετάζομεν, ἔνθα λόγος ἐστὶ διπλῆς καὶ ἁπλῆς ἀγνοίας, ἔστι καὶ ἄλλοθεν γίνεσθαι ἁμαρτήματα, οἷον διὰ βίαν. Διττὰ γὰρ τὰ ἁμαρτήματα, ἢ διὰ ἄγνοιαν ἢ διὰ βίαν. Ἐντεῦθεν δὲ δείκνυσιν, ὅτι καὶ ἁμαρτημάτων αἰτία. Οὐ γὰρ ἁμαρτάνουσιν οὔτε οἱ εἰδότες, διότι ἐπιτυγχάνουσιν, οὔτε οἱ ἁπλῇ ἀγνοοῦντες, διότι οὐκ ἐπιχειροῦσι ποιεῖν. Καὶ ἡ ἐπονείδιστος ἀμαθία· τουτέστιν, ὅτι καὶ ὡς ἐπονείδιστος τοῦ ἀγαθοῦ ἐξέπεσεν. Ἀντίκειται γὰρ τῷ μακαρίῳ τὸ ἐπονείδιστον· τὸ δὲ μακάριον τοῖς θεοῖς πρέπει, παρ' οἷς κῆρες οὔκ εἰσιν [48]. τί οὖν ἔχεις μεῖζον [49] εἰπεῖν δικαίων τε καὶ καλῶν. — Μέγιστα λέγει τὰ δίκαια καὶ ἀγαθὰ καὶ συμφέροντα· διότι πάντα ἐκ παίδων ὡς ἀπὸ κοινῆς ἐννοίας ἐπιχειροῦσι τούτοις χρῆσθαι, καὶ οὐχ ὥςπερ ἐπὶ τῶν ἄλλων τεχνῶν τινὲς ἀφορισμένως [50] ἔχουσι πάντες, οἷόν τινες τῶν ἀγαθῶν, καὶ οὐ πάντες χρῶνται γραμματικῇ ἢ φιλοσοφίᾳ, ἀλλὰ πάντες ἐπιχειροῦσι καὶ προτρέπειν καὶ ἀποτρέπειν, καὶ ἐπαινεῖν καὶ ψέγειν, καὶ κατηγορεῖν καὶ ἀπολογεῖσθαι, καὶ ἁπλῶς τοῖς τρισὶν εἴδεσι τῆς ῥητορικῆς χρῆσθαι. Καὶ οὐδὲν διαφέρουσιν, εἰ μὴ τῷ εὐμεθόδῳ, οἱ ῥήτορες τῶν ἄλλων ἀνθρώπων. Ταὐτὸν δὲ εἰπεῖν τεχνικῷ τε καὶ ἀτέχνῳ· διὸ μέγιστα αὐτά φησι διήκοντα διὰ πάντων. Τοῦτο οὖν ὕμνος ἐστὶ τῆς ῥητορικῆς, ὥςπερ ἑλληνίζειν πάντων ἑλλήνων ἐστίν· τὸ δὲ κατὰ τέχνην ποιεῖν ἑλληνίζειν μόνης γραμματικῆς.

## Πρᾶξις σὺν θεῷ ιε.

Βαβαὶ ἄρα, ὦ Ἀλκιβιάδη, οἷον [1] πάθος πέπονθας. Δύο ὄντων μορίων τῆς ψυχῆς, τοῦ μὲν γνωστικοῦ, τοῦ

(48) Vide quos supra p. 125 ad eandem rem laudavimus Lexicographos. Quae paulo antecedit adverbii forma ἁπλῇ non est in Schneideri Lexico, cum tamen similia v. c. διπλῇ recepta sint.

(49) Scrib. ex Edd. Τί οὖν; ἔχεις μείζω — p. 118. a. — Bekk. p. 333. (50) Scrib. ἀφωρισμένως.

(1) ποῖον Cod. Platon. Clark.

δὲ ζωτικοῦ, καὶ τοῦ μὲν γνωστικοῦ δι' ἐλέγχου καθαιρουμένου [2], τοῦ δὲ ζωτικοῦ δι' ἐπιπλήξεως· τὸ μὲν γνωστικὸν τοῦ Ἀλκιβιάδου καθάρας [3] ὁ Σωκράτης διὰ τοῦ δεῖξαι αὐτὸν διπλῇ ἀμαθαίνοντα, τὸ δὲ ζωτικὸν διὰ τοῦ ἐκτραγῳδῆσαι, πόσα καὶ ποῖα κακὰ ἕπεται τῇ διπλῇ ἀμαθίᾳ· εἶπε γὰρ αὐτὴν ἁμαρτημάτων αἰτίαν αἰσχίστην, ἐπονειδιστοτάτην, κακουργοτάτην. Ἐντεῦθεν μετὰ τὰ κοινὰ ὑπάρχοντα τῇ διπλῇ ἀμαθίᾳ λέγει καὶ τὰ ἴδια ἑπόμενα τῷ Ἀλκιβιάδῃ, λέγων· βαβαὶ, ὦ Ἀλκιβιάδη. Τοῦτο δὲ σχετλιάζοντός ἐστι καὶ ἀποδυρομένου τὸν Ἀλκιβιάδην, ὡς ἀπολόμενον καὶ ὡς περὶ ἀποιχομένου τὸν λόγον ποιουμένου. Τοῦτο δὲ Πυθαγόριόν ἐστιν. Ἐκεῖνοι γὰρ τοὺς ἀνεπιτηδείους ἐξέβαλον ἐκ τοῦ ὁμακοΐου [4] σὺν τοῖς οἰκείοις χρήμασι· καὶ κενοτάφιον αὐτῶν ποιοῦντες ἀπωδύροντο αὐτοὺς καὶ ὡς περὶ ἀποιχομένου [5] διελέγοντο. Καὶ τό· οἷον πάθος πέπονθας· ὅμοιον τῷ τῆς τραγῳδίας. Οὐκ ἔστιν οὐδὲ δεινὸν οὐδὲ εἰπεῖν ἔπος [6]. — Ὃ ἐγὼ μὲν ὀνο-

(2) Scr. *καθαιρομένου.* (3) Scrib. *καθήρας.*

(4) Vid. Porphyr. de Vita Pythag. 20. ib. Kusterus p. 25. sq. et Rittershus. p. 24. Ad rem vide inprimis Jamblich. de Vita Pythag. 73. 74. p. 60 sq. Kust p. 156 Kiessling. Noster ipse in Platonis Phaedon. p. 9. ed. princ. Venet: — *πῶς δὲ καταλέλοιπε τὸ ὁμοκόϊον, ὅπερ ἦν ἐν ἰταλίᾳ πυθαγορικὸν διδασκαλεῖον; ἰστέον δὲ, ὅτι ἔθος ἦν παρ' αὐτοῖς, ὥςπερ ἐν κοινῷ βίῳ ζῆν, τὴν οὐσίαν πᾶσαν κοινὴν ποιουμένους· εἴτις οὖν ἀνεπιτήδειος ηὑρέθη πρὸς φιλοσοφίαν, ἐξῆγον αὐτὸν μετὰ τῆς οὐσίας, καὶ κενοτάφιον ἐποίουν, καὶ ὡς περὶ ἀποιχομένου ἀπωδύροντο. κτλ.* Corrige *εὑρέθη* ex cod. Leid. (in annot. Wyttenbach. p. 130). Idem codex supra exhibet: *πῶς δὲ ἄρα καταλέλοιπε τὸ ὁμακοῖον.* Lege *ὁμακόϊον.* Atque ut hac datâ occasione de reliquis formis videamus: Rittershus. ad Porphyrium l. l. haeret in Jamblichi de Vit. Pyth. VI. 30 (p. 66 Kiessl.) *ὁμακόειόν τι.* Sed eam lectionem tuetur etiam Cod. Cizensis. Proinde recte intactum reliquit Kiesslingius, etsi in ipso Jamblicho bis (p. 156 et 386 Kiessl.) recurrit *ὁμακόϊον*, et usitatius videtur. In Hierocle in Pythag. aur. carm. p. 318 ed. Lond. haec leguntur: — *ὅλον δὲ τοῦ ἱεροῦ συλλόγου, καὶ ὡς ἂν αὐτοὶ εἴποιεν, τοῦ ὁμαΐου παντὸς ἀπόφθεγμα κοινόν.* In margine est: *ἴσως*, et correctum vult Lucas Holstenius ad Porphyr. de Vit. Pythag. p. 26 ed. Kuster. Alia omnia Salmasius in not. mscr. adpositâ ad ed. Arcerian. in biblioth. nostra Heidelb. antiquiorem judicans formam *ὁμάϊον* utpote ab *ἀΐω* ductam. Placet summi viri judicium, et Lexicis accedat ea forma.

(5) Scrb. *ἀποιχομένων?*

(6) Est initium Orestae, fabulae Euripideae, ubi legitur:

*μάζειν* ὀκνῶ [7]· ὃ οἰκεῖον τῇ ἀποσιωπήσει ἐξαίρετον ἔλεγε [8], τουτέστιν· ἀνέκπυστον καὶ ἐξαίσιόν ἐστι καὶ ἄφραστον τοῦτο. Καλῶς δὲ καὶ τὸ *ὀνομάζειν* ὀκνῶ· διότι ὡς πρὸς τῇ ὕλῃ ὂν ἄφραστόν ἐστι τοῦτο καὶ ἄῤῥητον, ὥςπερ ἡ ὕλη ἄῤῥητός ἐστι ἀνείδεος [9]. Εἰ δὲ καὶ τὸ πρῶτον αἴτιον ἄῤῥητόν ἐστιν, ἀλλ' ὡς ὑπερειῶδος [10] ὄν· ἡ δὲ ὕλη, ὡς χείρω [11] παντὸς εἴδους ἄῤῥητός ἐστιν. *Ὅμως δὲ, ἐπειδὴ μόνῳ ἐσμὲν, ῥητέον.* — Πολέμιον γὰρ φιλοτίμῳ ἤθει ἡ ἐπὶ πολλῶν ἔγκλησις. Διὸ καί τις Πυθαγόριος ἐγκαλούμενος ὑπὸ τοῦ διδασκάλου παρὰ πολλῶν μὴ φέρων τὴν αἰσχύνην, ἐξήγαγεν ἑαυτόν [12]. Καὶ

*Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος,*
*οὐδὲ πάθος, οὐδὲ συμφορὰ Θεήλατος,*
*ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.*

Conf. Lucian. Jup. Trag. (Opp. T. II.) p. 642. Hemsth. (T. X Bip.)

(7) Edd. *ὀνομάζειν μὲν.* (8) Antea erat *ἔλεγχεν*

(9) An *καὶ ἀνείδεος*?

(10) Vocabulum *ὑπερειῶδος* inauditum. In promtu foret: *ὑπὲρ εἰωθός*. Sed hoc nihil ad argumentum philosophi nostri, ut qui materiam (*τὴν ὕλην*) tamquam *formae expertem* componat cum prima causâ (sive cum eo quod princeps causale est.) Neutrum, nec materia nec princeps causale, verbis exprimi s. describi potest. Geminus est locus Damascii *περὶ ἀρχῶν* in Parmenidem (in J. Chr. Wolfii Anecdott. graecc. III. p. 238): *τοῦ ἑνὸς ἁπλῶς τὴν ἑαυτοῦ πρώτην ἑνοποιὸν δύναμιν εἰς τὰς μεθ' ἑαυτοῦ συνεχεῖς αὐτῷ ἀρχὰς ἀπερειδομένου καὶ ἀναρπάζοντος αὐτὰς εἰς τὴν ἑαυτοῦ ἄφραστον ἕνωσιν,* ——— *ἢ μὲν γὰρ εἶδός ἐστιν·* (fortasse laçuna latet) *εἰ δὲ μὴ εἶδος, ἀλλά τι διωρισμένον· εἰ δὲ μὴ, ἀλλὰ διωρισμένης τε συστάσεως ἀρχὴ, τὸ δὲ ἡνωμένον, καὶ ὑπὲρ εἶδος, καὶ ὑπὲρ πάντα διορισμὸν, καὶ ὑπὲρ πᾶσαν οὐσίαν τὴν καθ' ἑτερότητα θεωρουμένην.* Idem p. 258: *Τῶν δὲ βαρβάρων ἐοίκασι Βαβυλώνιοι μὲν τὴν μίαν τῶν ὅλων ἀρχὴν σιγῇ παριέναι.* Idem p. 60: *Ἐν Αἰγυπτίοις δή τισι λόγοις ὡς εἴη κατ' αὐτοὺς ἡ μὲν μία τῶν ὅλων ἀρχὴ σκότος ἄγνωστον ὑμνουμένη.* Itaque fidenter scribe in Olympiodoro: *ἀλλ' ὡς ὑπὲρ εἶδος ὄν, tanquam id quod supra formam* (ideam) *est.*

(11) Leg. *χείρων.*

(12) I. e. mortem sibi conscivit. Supra nobis laudatus est Plotini liber *περὶ τῆς ἐκ τοῦ βίου εὐλόγου ἐξαγωγῆς*. Enn. I, 9. Arrian. in Epictet. II. 15. 10 p. 250 Schwgh. *Ἄνευ πάσης αἰτίας ἐξάγῃς ἡμῖν ἄνθρωπον ἐκ τοῦ ζῆν φίλον καὶ συνήθη.* cf. IV. 1. 105. p. 556. Adde Wyttenbach. ad Phaedonem p. 335. Ad quem dialogum in commentario p. 2 ed. Mustoxyd. ipse Noster e reconditâ fabularum disciplinâ hoc repetit: *ὅτι οὐ δεῖ ἐξάγειν ἡμᾶς αὐτοὺς, ὡς τοῦ σώματος ἡμῶν διονυσιακοῦ ὄντος.* Jungit nimirum hoc praeceptum cum morte Bacchi. Qua de re hoc loco dicere non attinet. Decretum *εὐλόγου ἐξαγωγῆς* nuper copiose exposuit Carol. Beier. Vir doctus, ad Ciceron. de Offic. p. 350—355.

παρὰ τοῖς φιλοσόφοις δὲ ἔθος ἦν ἰδίᾳ ἐγκαλεῖν, ἀλλ' οὐ πρὸς τοὺς πολλούς. *Ἀμαθίᾳ γὰρ συνοικεῖς τῇ ἐσχάτῃ* [13], *ὦ βέλτιστε.* — Καλῶς τὸ *συνοικεῖς*, εἴγε διὰ τοῦτο χείρων ἡ στάσις τοῦ πολέμου. Διότι ὁ μὲν ὑπὸ τῶν ἔξωθεν γίνεται καὶ πόῤῥω ὄντων, ὁ δὲ ὑπὸ τῶν ἔνδον καὶ πλησίον ὄντων· περὶ ἧς εἴρηται· ἀφρήστωρ, *ἀθέμιστος* [14] καὶ τὰ ἑξῆς· πολλῷ μᾶλλον χεῖρον τῆς στάσεως τὸ σύνοικον εἶναι τῷ πολέμῳ, ὅσῳ καὶ πλησιαίτερον. Οὐχ ἁπλῶς δὲ φησὶν *ἀμαθίᾳ συνοικεῖς*, ἀλλά· *τῇ ἐσχάτῃ*· *ὡς ὁ λόγος σου καταμαρτυρεῖ* [15] *καὶ σὺ σαυτοῦ.* Καὶ ἰσχυροὺς μάρτυρας ἔχεις τούτου, ὅτε γὰρ λόγος καταμαρτυρεῖ σου. Δέδεικται γάρ, ὅτι ἐρωτήσεως καὶ ἀποκρίσεως οὔσης ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, ἀλλ' οὐχ ὁ ἐρωτῶν. Ἀλλὰ δὲ καὶ ἀνυπόστατον ἔχεις μάρτυρα σαυτοῦ· *Διὸ καὶ ἄττεις ἄρα ἐπὶ* [16] *τα πολιτικά* —. Τουτέστιν, ὅτι τὰ δόγματα ζωὴν γεννᾷ ἐν σοί· ἐπειδὴ γὰρ διπλῇ ἀμαθαίνεις, καὶ οἴει εἰδέναι τὰ δίκαια πρὶν μαθεῖν, ὁρμᾷς ἐπὶ τὰ πολιτικὰ πράγματα [17]. *Πέπονθας δὲ τοῦτο οὐ σὺ μόνος, ἀλλὰ καὶ οἱ πολλοί.* Καὶ Ἀλκιβιάδῃ μὲν παραψυχὴ, μετὰ τῶν πολλῶν εἶναι κακῷ· Σωκράτῃ

(13) Edd. *αἰσχίστῃ*, cod. tamen Clark. *ἐσχάτηι*.
(14) Est locus Homeri, in Codice nostro perperam scriptus, Iliad. ι, 63 sq. ubi est:
*Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,*
*Ὃς πολέμου ἔραται ἐπιδημίου, ὀκρυόεντος.*
(15) Edd. *κατηγορεῖ*.
(16) Edd. *πρὸς* et *ᾄττεις*.
(17) Ad intelligendam hanc Olympiodori explicationem adhibenda sunt haec Platonis de Rep. X. p. 621 p. 515 Bekker. — *καὶ ἐντεῦθεν ἐξαπίνης ἄλλον ἄλλῃ φέρεσθαι εἰς τὴν γένεσιν, ᾄττοντας ὥςπερ ἀστέρας.* Vides usurpari h. l. de lapsu animarum in corpora et in hunc vitae corporeae orbem. Hinc illa Nostri: *ὅτι τὰ δόγματα ζωὴν γεννᾷ ἐν σοί.* Ceterum quod Plato stellarum sursum labentium similitudinem addit: de igne verbum *ᾄττειν* saepiuscule usurpatur, docente Boissonadio ad Philostrati Heroica p. 732 in annot. p. 600. quo in loco Scholiastes pariter atque h. l. Olympiodorus *ᾄττοντα* explicat *ὁρμῶντα.* Ceterum Theodoretus hoc verbo varie utitur. Sic, ut hoc delibem, Tom. I. p. 666 *ᾄττει εἰς παρανομίαν.* IV. p. 777: *ᾄττουσα κατὰ τῆς ἀληθείας γλῶσσα.* — Ad sententiam nostri loci cf. initium Satirae quartae Persii: *Rempublicam tractas,* quem locum ad Proclum adposuimus. Adde Ciceron: de Officc. I. 21. §. 73. ubi Beierus in Animadvv. p. 171 sq. hujus dialogi non est oblitus.

δὲ οὐ τοῦτον [18] ἦν παραψυχή· πάντας γὰρ ἠβούλετο εἶναι ἀγαθούς, εἴ γε κηδεμὼν ἦν ἀνθρωπότητος. Πλὴν ὀλίγων γε [19] καὶ ἴσως τοῦ σοῦ ἐπιτρόπου Περικλέους. Καὶ ζητοῦμεν, πῶς ἐνταῦθα ἐπαινεῖ τὸν Περικλέα, λέγων αὐτὸν σοφὸν, μετὰ μικρὸν δὲ κατατρέχει αὐτοῦ, λέγων αὐτὸν μὴ εἶναι πολιτικὸν, ὥςπερ καὶ ἐν τῷ Γοργίᾳ [20] δείκνυσιν αὐτὸν μὴ ὄντα πολιτικὸν, διότι τὸν Ἀριστείδην [21] πρὸς ἀντιλογίαν ἐκίνησε διὰ τὰ ἐν Γοργίᾳ λεγόμενα. Ὁ μὲν οὖν φιλόσοφος Πρόκλος φησίν· ἐλέγχει αὐτὸν, ὡς μὴ ὄντα ἐπιστήμονα, ἀποδέχεται δὲ αὐτὸν ὡς ὄντα ὀρθοδοξαστικόν. [22] Ὁ δέ γε φιλόσοφος Δαμάσκιος οὐκ ἀποδέχεται τοῦτο, οὐδὲ γὰρ διαφέρει ὁ ὀρθοδοξαστικὸς τοῦ ἐπιστήμονος, εἰ μὴ τὸ [23] εἰδέναι τὴν αἰτίαν· ὥςπερ οὐδὲ ὁ λογικὸς ἰατρὸς τοῦ ἐμπειρικοῦ διαφέρει· ἐν τῇ πράξει γὰρ τὰ αὐτὰ ποιοῦσιν. Εἰ οὖν ἦν ὀρθοδοξαστικὸς οὐκ ἂν ἡμάρτανεν. Λύει οὖν αὐτὸς τοῦτο· ὅτι ἀποδέχεται αὐτὸν ὡς στατηγὸν, διότι τέλος ἐστὶ τούτου τὸ νικᾷν· οὐκ ἀποδέχεται δὲ αὐτὸν ὡς πολιτικὸν, διότι οὐκ ἐποίησε τοὺς ἑαυτοῦ πολίτας καλοὺς καὶ ἀγαθούς. Εἶτα λαβὼν ὀλίγην ἀνάπαυσιν ὁ Ἀλκιβιάδης, ὡς οἰκείου αὐτῷ ἐπαινεθέντος, ἵνα μὴ πάλιν, ἃ ἐρώτησεν αὐτὸν, ἐρωτήσῃ καὶ ἐπὶ τοῦ Περικλέους, ὅτι πόθεν γέγονε σοφὸς, μαθὼν καὶ εὑρὼν, προλαμβάνει καὶ ἀπαριθμεῖται τοὺς διδασκάλους αὐτοῦ. Ἐν μὲν γὰρ φιλοσοφίᾳ γέγονε μαθητὴς Ἀναξαγόρου· ἐν δὲ μουσικῇ Προθοκλεούς [24].

(18) Scrib. aut τοῦτο aut ταὐτόν.

(19) Ita Bekk. itemque cod. Clark. Alii ὀλίγων τε.

(20) Vid. Platon. Gorg. p. 517. d. Bip. T. IV. — Bekk. II, 2. p. 150. — Heind. p. 240.

(21) Vid. Aelii Aristidis Orationn. Platonn. p. 196 sqq. Tom. II. p. 118 sqq. ed. Jebb.

(22) Hoc adjectivo utitur etiam Proclus in hunc dialogum cap. 23 p. 76. Accedat Lexicis. Aristides l. l. de *vita* Periclis *moribusque* similiter — οὕτω δὲ εἶναι (λέγεται) σώφρων, ὥστε καὶ βαδίζειν τεταγμένα, καὶ τὴν ὀρθὴν ὁδὸν σώζειν κατὰ τὴν παροιμίαν. Tangit adagium: Ὀρθὴν βαδίζεις. Vid. Proverbb. Graec. p. 634 vs. 111 Schotti.

(23) Scrib. τῷ.

(24) Perperam scriptum est hoc nomen; Plutarchus enim in Pericle c. IV. ita: Διδάσκαλον δ' αὐτοῦ τῶν μουσικῶν οἱ πλεῖστοι Δάμωνα γενέσθαι λέγουσιν, — — — Ἀριστοτέλης δὲ παρὰ Πυθοκλείδῃ τὴν μουσικὴν διαπονηθῆναι τὸν ἄνδρα φησίν. De Anaxagora

*Εἶτα ἐξαίρων τοὺς αὐτοῦ διδασκάλους φησὶ καὶ νῦν σε*[25] *ὑπάρχων ἐπὶ γήραος οὐδῷ*[26] *φοιτᾷ παρὰ Δάμονι*[27] *τῷ μουσικῷ. Ὁ δὲ φησίν· ἀλλ' οὐδὲ οὗτός ἐστι πολιτικὸς, διότι οὐ δύναται ποιεῖν καλοὺς καὶ ἀγαθοὺς τοὺς πολίτας. Καὶ καλῶς οὐκ εἶπε ποιεῖ, διότι οὐκ ἔστι χαρακτηρίσαι ἐκ τούτου τὸν σοφόν. Τί γὰρ εἰ μὴ περὶ τὰ δεύτερα ἀσχολοῖτο, ἀλλὰ ἢ καθάρσει σχολάζων ἢ θεωρίᾳ, ὅτε χωρίζει ἑαυτὸν ἐκ τῶν πολλῶν; τί δὲ πολιτικῶς ζῶν ἀνεπιτηδείυς*[28] *σχοίη τοὺς ὁμιλοῦντας αὐτῷ; Ἀλλ' [εἶπεν, ὅτι εἰ ἦν σοφὸς, δυνατὸς ἦν ποιῆσαι ἄλλον σοφόν. Καίτοι οὔτε σὲ, οὔτε τὸν ἀδελφόν σου Κλεινίαν οὔτε τοὺς οἰκείους υἱεῖς σοφοὺς ἐποίησεν, οὓς ἔσχεν ἀπὸ Ἀσπασίας τῆς Μιλησίας, ἥτις καὶ διδάσκαλος αὐτοῦ ἐγένετο. Ἦν γὰρ ὁ Περικλῆς γυναικοδίδακτος*[29]*, ὥςπερ Ἀρίστιππος μητροδίδακτος*[30]*. Εἰ δὲ λέγεις, ὅτι ἀλλὰ πολιτικὸς ἦν διὰ τοὺς φόρους, οὓς ἔταξεν· ἀλλ' ὅδε οὕτω σοφὸς ἦν, διότι φλεγμαινούσῃ πόλει*[31] *δυνάμεις περιποιεῖτο, δυνάμενος μεταβάλλειν τὴν οἰκείαν πολιτείαν ἀπὸ*

vide Plutarchum eod. cap., de Pythoclide Scholl. in Plat. p. 73. Ruhnk. et in nostro quoque dialogo recte scribitur hoc nomen in omnibus Edd. itemque in sqq. apud Olympiodorum.

(25) Scr. *γε.* Edd. recentt. et cod. Clark. habent *ἔτι.*

(26) Ex versu Homerico Iliad. *χ*,60.

(27) Scr. *Δάμωνι.* (28) Scrb. *ἀνεπιτηδείους.*

(29) Vocabulum *γυναικοδίδακτος* non est in Lexicis. Ad rem cf. Platon. Menex. p. 235. e. Scholiastes mscr. cod. Leid. ad Aristid. Oratt. Platonn. Tom. II. p. 127 Jebb. ita: *Μιλησίαν δέ φησι τὴν Ἀσπασίαν· ταύτην δὲ θαυμάζει ὡς διδάσκαλον οὖσαν ῥητορικῆς.*

(30) Est Aristippus minor Aristippi illius Cyrenaei aut nepos aut sororis filius. Audivit enim Aretam Aristippi majoris aut filiam aut sororem. Diogenes Laert. II. 86 ibiq. Is. Casaubon. Suidas in *Ἀρίστιππος.*

(31) *Πόλις φλεγμαίνουσα* legitur apud Platonem de Rep. II. p. 372. e. Bip. T. VI. — Bekk. III, 1. p. 86. ubi, quomodo sint haec verba intelligenda, patet. Sumsit inde Pollux in Onomast. IX, 4, 23. ex quo laudat Schneiderus in Lexico v. *φλεγμαίνω*, ubi parum attendens ad orationis contextum perperam vertit: der Hitze ausgesetzt; seductus sine dubio iis, quae paulo antecedunt: [*πόλις*] *δυςχείμερος, δύςθερος κ. τ. λ.* Sed pergit Pollux: *ἄλλως δὲ ἐπαινῶν ἐρεῖς — εὐθηνοῦσαν καὶ εὐθηνουμένην· κἂν ψέγῃς, φλεγμαίνουσαν, ὀχληρὰν κ. τ. λ.* Ad rem consule Plutarch. Pericl. c. IX. Moser. Vim locutionis tralatae *φλεγμαιν. πόλιν* bene explicat Photius in Lex. gr. p. 474, ad quem cf. Schleusneri Cur. noviss. p. 475. Nec minus metaphorica locutio *εὐθηνοῦσα πόλις*, de qua vid. Herodot. I. 66. II. 91. Dio Chrysostom. Orat. XLIV p. 197 ibiq. Reiskii annot. *εὐθηνία* legitur in Inscriptione Rosetanâ lin. 12 et 13.

δημοκρατίας εἰς ἀριστοκρατίαν. ἦν γὰρ ἡ κατ' αὐτὸν πολιτεία, ὡς ὁ συγγραφεὺς [32] φησὶ, λόγῳ μὲν δημοκράτεια, ἔργῳ δὲ ἑνὸς ἀνδρὸς δυναστία. Καλῶς δὲ εἰς ἀριστοκρατίαν ὁ Πλάτων, ἀλλ' οὐκ εἰ [33] βασιλείαν· διότι ὑπόπτως ἔχει ὁ Πλάτων πρὸς τὴν βασιλείαν διὰ τὸν θάνατον τοῦ γινομένου βασιλέως [34]. Διὰ οὖν τὸ σφαλερὸν πλείοσι κατεπίστευσε τὴν ἑαυτοῦ πολιτείαν. Καίτοι φυσικοῦ νόμου κελεύοντος τὰ μὴ καθαρὰ τῶν σωμάτων ὃ κόσῳ [35] ἂν θρέψῃς, μᾶλλον βλάψεις. Ἐν οἷς καὶ κατὰ τὸ γνωστικὸν καὶ κατὰ τὸ ζωτικὸν ἤλεγξε τὸν Ἀλκιβιάδην. Ταῦτα ἔχει ἡ θεωρία.

Διὸ [36] ἀλλὰ καὶ οἱ πολλοὶ τῶν πραττόντων· Διὰ ταῦτα ὁ Σωκράτης κατεδικάσθη Κλεινίου, διότι τοὺς πολλοὺς διέβαλλεν, ὡς μὴ εἰδότας τὸ δίκαιον καὶ ἐπιχειροῦντας αὐτοῖς. Λέγεται γάρ [37] τοι, ὦ Σώκρατες, οὐκ ἀπὸ ταὐτομάτου σοφὸς γεγονέναι. Ἰδοὺ πῶς ἀνανήψας ὁ νέος δείκνυσι τὸν Περικλέα διδασκάλους ἐσχηκότα, ἵνα μὴ καὶ ἐπὶ αὐτοῦ οἱ αὐτοὶ λόγοι ἁρμόσωσιν, οἷοι καὶ ἐπὶ Ἀλκιβιάδου γεγόνασι· διὸ καὶ φησὶν, οὐκ ἀπὸ ταὐτομάτου ἐγένετο σοφὸς, ἀλλ' ἀπὸ διδασκάλων. Καὶ ἰδοὺ πῶς εὐφυῶς ἀπαντᾷ πρὸς τὰς ἐρωτήσεις ὁ Ἀλκιβιάδης· Καὶ πυδοκλεῖ δή [38] καὶ Ἀναξαγόρᾳ· παρὰ μὲν Ἀναξαγόρου ὠφελήθη τὸ ἄρχειν,

(32) Thucydides L. II, c. 65. ita: *ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή.* Cf. Wyttenbach. ad Plutarch. de aud. poëtt. p. 252. (33) Scrib. *εἰς*.

(34) Hipparchum significare videtur, Pisistrati filium, ab Harmodio et Aristogitone necatum. Vid. Thucyd. I, 20. Moser. [Nisi Codrum cogitare malueris, vid. Mitford T. I. p. 329 sqq. Eichst. Lycurgi, ibi laudati, locus est p. 194 sq. Reisk. Schol. Aristoph. Nubb. init. adde Polyaen. I. 18.]

(35) Scribendum *ὁκόσῳ* ex Jonismo Hippocratis. Est autem Aphorismus 10. sect. II. ubi vulgo *ὁκόσον ἂν*. Cui lectioni substituit *ὁκόσων ἂν* Bosquillon, quem vide in not. p. 88. Vulgatam reduxit de Mercy in edit. Paris. 1811 p. 38. Ego nil dubito, quin Olympiodorus veram lectionem praestiterit. Illud *ὁκόσον* et *ὁκόσων* natum ex sequente *ἂν*. Et ita etiam ediderat Foësius, qui tamen et hoc pacto distinxit: *ὁκόσῳ ἂν θρέψῃς μᾶλλον, βλάψεις.* Sed illam alteram interpunctionem agnoscit etiam Galenus *ὑπομν. εἰς τ. Ἀφορ.* p. 258 Basil. Idem tamen *ὁκόσον ἂν*.

(36) Vocabulum *διὸ* non est in dialogo p. 218. Steph. — Bekk. p. 333. et natum videtur ex sequente *Διά*.

(37) Edd. et Cod. Clark. *γε*, hic deinde *τοῦ αὐτομ.*

(38) Scrib. *Πυθοκλείδῃ*.

πρῶτος γὰρ οὗτος τὸν νοῦν εἰςήγαγε*, τοῖς πράγμασιν ἐξῃρημένως ἄρχοντα τῶν μετ' αὐτὸν, μὴ ἐγκατατεταγμένου αὐτοῖς ὄντα. Οὕτως οὖν καὶ ὁ Περικλῆς ἐν δημοκρατίᾳ ἀσύγκριτος ἦν πρὸς τοὺς πολλοὺς, καὶ ἦρχεν αὐτῶν, οἷον νοῦς αὐτῶν γινόμενος. Πυθοκλέους [39] δὲ μέμνηται, οὐχ ἁπλῶς ὡς μουσικοῦ, ἀλλ' ὡς ἁρμόζοντος διὰ τῶν προςηκόντων μελῶν τοὺς πολίτας. Ὥςπερ γάρ εἰσι σωφρονικὰ μέλη, διὸ καὶ ὁ Αἴγισθος οὐκ ἄλλως ἠδυνήθη τὴν Κλυτεμνήστραν [40] διαφθεῖραι, εἰ μὴ πρότερον τὸν ὠδὸν [41] ἀπέκτεινεν ἐν τῇ ἐρήμι [42] νήσῳ, ὃν ὁ Ἀγαμέμνων φύλακα καταλέλοιπεν, ὡς ὁ ποιητὴς φησίν. Οὕτως εἰσὶ καὶ ἁρμόζοντα τοὺς πολίτας μέλη, ἃ ὠφελήθη ὁ Περικλῆς παρὰ Δάμωνος, δι' ὧν ἥρμοξε τὴν πόλιν· καὶ νῦν ἔτι τηλικοῦτος ὢν Δάμωνι· τηλικοῦτος, ἀντὶ τοῦ ἐπὶ γήραος οὐδῷ [43] — παρὰ τῷ Δάμωνι ἐφοίτησεν [44]. τούτου δὲ μέμνηται πάλιν ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ, ὡς παρ' αὐτοῦ ὠφεληθεὶς μουσικήν [45]. — Τί οὖν τινὰ [46] εἶδες σοφόν. Ἐντεῦθεν κατατρέχει τοῦ Περικλέους, καὶ δείκνυσιν αὐτὸν μὴ ὄντα σοφὸν ἐκ τοῦ μὴ ποιῆσαι ἄλλους σοφούς. Τρία γάρ εἰσι χαρακτηριστικὰ σοφῶν· τὸ μὲν ἀπὸ τῶν προηγησαμένων, εἰ ἔχοι εἰπεῖν διδασκάλους· ἀπὸ δὲ τῶν συνόντων, εἰ συμφωνῇ [47] καὶ ἑαυτῷ καὶ τοῖς σοφοῖς· ἀπὸ δὲ τῶν μεθυπαρξάντων [48], εἰ ἔχοι εἰπεῖν, εἰ ἄλλους τοιούτους ἐποίησε. Καὶ ἑκάστου τούτων μέμνηται ὁ Πλάτων, ἐν ἄλλῳ καὶ ἄλλῳ μέρει

[* De Anaxagora mentem rerum esse regem docente praeter Plut. supra laud. vid. Diog. Laert. II. 6. ibique Interprr. Ceterum is *οὐ φροντίζων τῶν πολιτικῶν* dicitur i. e. ut Cicero de Orat. III, 15 de eodem dicit „a regendis civitatibus se ad cognitionem rerum transtulit," qui tamen idem scripsisse videtur *περὶ βασιλείας*. vid. Aelian. V. H. IV. 14. — *ἐξῃρημένως* adde Lexicis et scribe *ἐγκατατεταγμένον*.] (39) Scrib. ex prioribus *Πυθοκλείδου*.

(40) Scr. *Κλυταιμνήστραν*. (41) Scr. *ᾠδόν*.

(42) Scrib. *ἐρήμῃ*. Est locus Homeri, huc pertinens, Odyss. γ, 265 — 271. ubi vid. Eustath. p. 126 Basil. qui Demetrio Phalereo auctore prodit, heroica aetate vates sive poëtas philosophorum officia praestitisse hactenus etiam, ut heroas Graecorum erudirent eorumque mores regerent. (43) Vid. not. 26.

(44) De hac constructione monitum est ad *πραξ*. 9. p. 89.

(45) Vid. Platon. de Rep. III. p. 400. b. c. Bip. T. VI. — Bekk. III, 1. p. 133. sq.

(46) *ἤδη τινὰ* est in Edd. Cod. Clark. — *οὖν δή τιν'*.

(47) Hoc loco fortasse scrib. *συμφωνοῖ*.

(48) Id est ex iis quae postea exsistunt. Verbum compositum apud Patres ecclesiae obvium, neque tamen a Suicero consignatum.

τοῦ διαλόγου. Τοῦ μὲν πρώτου, ὅτε ἐζήτει εἰπεῖν διδασκάλους τῶν δικαίων· τοῦ δὲ δευτέρου, ὅτε ἔλεγεν, οὐκ ἴσασιν οἱ πολλοὶ τὸ δίκαιον, διότι μὴ συμφωνοῦσι· τοῦ δὲ τρίτου ἐνταῦθα, εἰ ἔχοι Περικλῆς εἰπεῖν ἄλλους τοιούτους ἑαυτὸν ποιήσαντα. — Καλὸν γάρ δή που τοῦτο τεκμήριον [49]· κρήγυον γὰρ τοῦτο τεκμήριον σοφοῦ τὸ δύνασθαι ποιῆσαι καὶ ἄλλους σοφούς. — Τί δὲ οὖν; ἔχεις εἰπεῖν ἂν Περικλῆς τινα ἐποίησεν σοφόν [50]; Τί οὖν φησὶν ὁ Σωκράτης, τοὺς υἱεῖς αὐτοῦ ἐποίησε σοφούς; ὁ δὲ φησὶ, τί δὲ, εἰ λίθοι [51] ἐγένοντο καὶ ἀνεπιτήδειοι πρὸς τὸ μανθάνειν; ὁ δὲ ἐρωτᾷ· τί οὖν Κλεινίαν τὸν ἀδελφόν σου ἐποίησεν; Ὁ δὲ κατηγορεῖ αὐτοῦ μανίαν λέγων· τί δὲ, εἰ μὴ δυνατὸς ἦν; — τί δὲ σέ; — ὁ δέ φησί· διὰ τὴν ἐμὴν ῥᾳθυμίαν. Τρία γὰρ αἴτια ταῦτα τοῦ μὴ γίνεσθαι σοφὸν, ἡ λιθίοτις [52], μανία, ῥᾳθυμία. ὅμοιον δέ ἐστι τούτῳ καὶ τὸ ποιητικόν· νήπιος εἶς, ὦ ξεῖνε, τόσον χρόνον, ἠὲ χαλίφρων. Διὰ γὰρ τοῦ πρώτου, ἄνοιαν ἐδήλωσε· διὰ δὲ τοῦ ἠὲ χαλίφρων τὴν μανίαν· διὰ δὲ τοῦ ἠὲ ἑκὼν μεθίῃς καὶ τέρπεαι ἄλγεα πάσχων· τὴν ῥᾳθυμίαν. τὸ δὲ καὶ τέρπεαι ἄλγεα πάσχων, ἐκφράζων ὁ Εὐριπίδης φησὶ, μακρή τε λέσχη καὶ σχολὴ τερπνὸν κακόν. — Ἀλλὰ τῶν ἄλλων Ἀθηναίων ἢ τῶν ξένων —. Ἐρωτᾷ αὐτόν· τί οὖν ἄλλον τινὰ ἐποίησε σοφόν; εἰ γὰρ εἴποις, ὅτι ἀλλὰ πάντες ἀνεπιτήδειοι ἦσαν, ἀλλὰ τοῦτο Τίμωνός ἐστι τοῦ μισανθρώπου, τὸ τὴν

(49) Edd. et cod. Clark. *τεκμήριον τοῦτο.*

(50) In Edd. est *Τί οὖν; — εἰπεῖν Περικλ. τίνα ἐπ. σ.* De Periclis filiis vid. Scholl. in Plat. p. 73. Ruhnk. Vocem *κρήγυον* supra p. 94. attigi. (51) Edd. *ἠλιθίω.*

(52) Scrib. *ἠλιθιότης*, stultitia. In marg. Codicis adscriptus est locus Homeri ex Odyss. *δ*, 371.

*Νήπιος εἶς, ὦ ξεῖνε, λίην τόσον, ἠὲ χαλίφρων,*
*Ἠὲ ἑκὼν μεθίῃς· — —"*

qui versus mox, paulo immutatus, sequitur apud nostrum. Cf. Scholl. in Plat. p. 74. Ruhnk. ad verba *πότερον ἐᾷν*, ubi *μεθίεις* pariter atque cod. Harles. vid. Porson. ad h. l. et ita Wolfius. Locus Euripidis est in Hippolyto v. 384. ubi est: *μακραί τε λέσχαι, καὶ σχολὴ, τερπνὸν κακόν.* Ibique Valckenarius pag. 205. nostrum Olympiodori locum ex cod. MS. exhibuit. In eo codice mendosum *μικρή τε* pro *μακρή τε* idem correxit. [De Timone non est quod moneamus, de dicto vid. Lucian. Tim. §. 47 T. I p. 149.]

ἐπιτηδειότητα ἐξορίζειν ἀπὸ πάντων τῶν ἀνθρώπων· καὶ Καλλίαν τοῦ [53] Καλλιάδου: Καλλίαν φησὶν, οὐ τὸν ἐν τῇ Κωμῳδίᾳ, οὗτος γὰρ ἦν Ἱππονίκου υἱός· τοῦτον δὲ Καλλιάδου φησίν· ἑκατὸν μνᾶς τελέσας, σοφός τε καὶ ἐλλόγιμος—. Ἐλλόγιμον τὸν λόγου ἄξιόν φησιν, ἀλλ' οὐχ ὃν νῦν φαμὲν τὸν λόγους εἰδότα· εἶπε γὰρ περὶ ἐκείνου σοφός. Ἀλλὰ διὰ τί, εἰ φιλόσοφος ὁ ξήνων [54], μισθὸν ἐπράττετο [55]; Ἢ φαμὲν, ὅτι ἵνα συνεθίσῃ τοὺς μαθητὰς καταφρονεῖν χρημάτων; ἢ ἵνα τοῖς δεομένοις ἐπαρκεῖ [56] παρὰ τῶν εὐπόρων λαμβάνων; ἢ ἵνα ἀντανίσωσιν ποιήσηται τῆς περιουσίας καὶ ἰσότητα φυλάξῃ, τοῖς ἧττον ἔχουσι παρέχων. Προςεποιεῖτο γὰρ λαμβάνειν, μὴ λαμβάνων. Τοιοῦτος γὰρ ἦν ὁξήνων [57] προςποιεῖσθαι ἱκανὸς, ὃς καὶ διὰ τοῦτο ἀμφοτερόγλωσσος ἤκουεν [58], οὐχ ὅτι ἑκατέρῳ τῶν ἀντικειμένων συνηγόρει, ἀλλ' ὅτι προςεποιεῖτο. Διὸ καί τινος τυράννου ἐρομένου αὐτὸν τοὺς σὺν αὐτῷ ἐπιβουλεύσαντας τῇ τυραννίδι, τοὺς δορυφόρους αὐτοῦ ὑπέδειξεν· ὁ ἀνελὼν ἐκείνους, ἑτοίμως ἀνηρέθη [59]. Καὶ ἔχεις ἐκ τούτου, ὅτι πρῶτος Πλάτων ἐπετήδευσεν ἀμνισθίαν [60], εἴγε σύγχρονος γέγονε Ζήνωνι εἰςπραττομένῳ μισθούς. Ἀλλὰ διὰ τί μόνη ἡ φιλοσοφία οὐκ εἰςπράττεται μισθοὺς, τῶν ἄλλων τεχνῶν τοῦτο ποιουσῶν; Ἢ ἐπειδὴ οἱ μὲν ἄλλοι τεχνῖται οὐκ ἐπαγγέλλονται ἀγαθοὺς ποιῆσαι τοὺς προςιόντας, ἀλλὰ μόνον τεχνίτας, οἷον οἱ ἰατροὶ ἰατροὺς καὶ ὁ τέκτων τέκτονας· ὁ δὲ φιλόσοφος ἀγαθοὺς ἐπαγγέλλεται ποιεῖν, καὶ ταύτῃ ἐλπίζει μὴ ἀγνωμονη-

(53) Scrib. ex. Edd. τὸν.
(54) Scrib. Ζήνων.
(55) Primus Socraticorum Aristippus mercedem exegisse et quaestu philosophatus ideoque a Socrate reprobatus fuisse dicitur apud Diog. Laërt II, 65.
(56) Scrib. ἐπαρκῇ.
(57) Scrib. ὁ Ζήνων.
(58) Exstant Timonis Sillographi versus in Zenonem Eleaten apud Diog. Laert. IX, 25. et apud Plutarch. in Pericle cap. 4:

Ἀμφοτερογλώσσου τε μέγα σθένος οὐκ ἀλαπαδνόν
Ζήνωνος πάντων ἐπιλήπτορος — —

cf. Scholl. in Plat. p. 73 sq.
(59) Vid. Diog. Laërt. IX, 26. sq. Tyrannus iste aliis dicitur Nearchus, aliis Diomedon.
(60) Leg. ἀμισθίαν, quod vocabulum non est in Lexicis.

*θήσεσθαι ὑπ' αὐτῶν. Ἴσως δὲ ὁ Πλάτων ὡς εὐπορῶν ἀμνισθίαν* [61] *ἐπετήδευσε, διὸ καὶ μέχρι τοῦ παρόντος σώζονται τὰ διαδοχικὰ* [62]*, καὶ ταῦτα πολλῶν δημεύσεων γινομένων.*

*Τέλος σὺν θεῷ τοῦ α' τμήματος* [63].

(61) Scr. ut supra *ἀμισθίαν*.

(62) Voce *διαδοχικὸς* augeri possunt Lexica. *Δήμευσις* publicatio bonorum, quam deinde confiscationen dixerunt. Sed tamen alio quoque sensu usurpatur vocabulum. Vid. Dio Cass. LXII. 2. ibiq. Reimar. p. 1003. Irmisch. Indic. Herodiani in *δημεύειν*. Zonar. L. Gr. 499, qui explicat *ἀπαγή*, ubi vid. Tittmann. Synes. epist. 67. In Steph. Thes. I. p. 977 etiam *δημευσία* annotatur. Adde Theodoret. Tom. I. p. 1283 et Tom. III. p. 925. et 1028. quibus in locis et *δημεύσεις* et *δημοσιεύσεις* promiscue usurpantur de bonorum publicationibus. *Δημεύσεων* quoties in Juris Romani monumentis inque ipso Corpore mentio fiat, non est, quod hoc loco explicem. Potius de Olympiodori sententiâ videamus. Nimirum hoc vult. Philosophos, qui Platonem sectarentur, magistri ad exemplum hanc rationem a successoribus per manus quasi traditam etiam tunc retinere, ut minervalia non exigant a suis discipulis, quantumvis multae publicationes fiant (h. e. quantumvis ipsi illi philosophi multimodis publice bonis suis exuantur). Nimirum tangit Noster varias divexationes, quibus ejus seculi (sexti) Imperatores Christiani gentiles afficiebant, cum templorum reditus possessionesque privatis hominibus passim donarent, ludos literarios expilarent, et avitae religionis cultores, philosophos maxime, spoliarent. Quae res a Constantino Constantioque instituta postea latius in dies serpere coeperat. Vid. Liban. Orat. *ὑπὲρ τῶν ἱερῶν* Tom. II. p. 170 sqq. Reisk. Sozom. H. Eccles. lib. V cap. 5 p. 172 ed. Taurin. et Jacob. Gothofred. ad Cod. Theodosianum XI. tit. XX. Tom. IV p. 249.

(63) Vid. Scholl. in Plat. p. 74. Ruhnk ad verba. *τί οὖν διανοῇ*.

## Πρᾶξις σὺν θεῷ ις.

Εἶεν· τί οὖν διανοῇ [1] περὶ ἑαυτοῦ [2]· πότερον ἐάν [3]. Ἐλέγξας ὁ Σωκράτης τὸν Ἀλκιβιάδην ἐν τῷ πρώτῳ τμήματι, καὶ κατὰ τὸ γνωστικὸν δείξας αὐτὸν διπλῇ ἀμαθαίνοντα, καὶ κατὰ τὸ ζωτικὸν ἐκτραγῳδήσας τὰ ἑπόμενα τῇ διπλῇ ἀμαθίᾳ κακά, καὶ εἰπὼν αὐτὴν αἰσχίστην, κακουργοτάτην, ἐπονειδιστάτην, πλάνης αἰτίαν, ἁμαρτημάτων αἰτίαν, καὶ διὰ τοῦτο ἐπιγραφομένῳ ἐλεγκτικῷ, καὶ καταβαλὼν αὐτὸν διὰ τούτων· ἐν τῷ δευτέρῳ τμήματι καταβληθέντα αὐτὸν ἀνεγείρει καὶ ἀνυψοῖ, λέγων αὐτῷ· Εὔελπις ἔσο [4] ὦ Ἀλκιβιάδη· ἔχεις γάρ τι ἐν σοὶ ἐπιτήδειον πρὸς πολιτικὴν ἐπιστήμην, καὶ πρὸς τὸ διοικεῖν τὰ τῆς πόλεως πράγματα [5] τὸ ἡγεμονικόν· διὸ δεῖ σε πολλὴν πρόνοιαν σαυτοῦ ποιήσασθαι, διὰ τῆς ἐπιμελείας. Ἀνεγείρει δὲ αὐτὸν ἐν τούτῳ τῷ τμήματι, προτρεπτικῷ ὄντι, ἵνα ἐν τῷ τελευταίῳ μαιευόμενος αὐτὸν παρασκευάσῃ αὐτὸν εἰπεῖν, τίς ὁ πολιτικὸς ἄνθρωπος; ὅτι ψυχὴ λογικὴ ὡς ὀργάνῳ χρωμένη τῷ σώματι. Διότι οὗτός ἐστιν ὁ ὁρισμὸς τοῦ πολιτικοῦ. Ὁ γὰρ καθαρτικὸς καὶ ὁ θεωρητικὸς οὐδὲ ὀργάνῳ

(1) Cod. Clark. et Bekk. *διανοεῖ.*
(2) Edd. *σαυτοῦ.* (3) Scr. *ἐᾷν.*
(4) Hanc formam praeter poëtas epicos (ubi est *ἔσσο* Odyss. α. 302. γ, 200) Doricae dialecto propriam ait Buttmannus Ausf. Gr. Sprachl. I. §. 108. p. 548. Cf. Matth. Gr. §. 211. not. 2 et Apollonii Lex. Homer. p. 305 Tollii. [Poeticae dial. dicit Maittair. de dial. p. 312 D. p. 415 ed. Sturz.]
(5) Vid. Scholl. in Plat. p. 74. Ruhnk.

χρῶνται τῷ σώματι, εἴ γε ἐμποδὼν αὐτοῖς γίνεται. Ὁ δὲ, ὡς ῥάθυμος καὶ φιλότιμος, φησὶ, μὴ δεῖν πράγματα ἔχειν ἐπιμελόμενον ἑαυτοῦ· οὐδὲ γὰρ πρὸς ἄνδρας στρατηγοὺς καὶ ἀνταγωνιστὰς ἀξιολόγους ἔχει. Εἰ μὲν γὰρ πρὸς μείζονας εἶχον, ἴσως ἂν ἐφρόντιζον τοῦ περιεῖναι αὐτῶν, ἀλλ' ἐπειδὴ πρὸς ὑποδεεστέρους ἔχω, οὐ δέος ἐστὶ, μὴ περιέσονταί [6] μου, δύναμαι γὰρ τῇ οἰκείᾳ φύσει περιγενέσθαι αὐτῶν· ἄμφω διὰ τούτων πραγματευόμενος· τὸ μήτε πράγματα θέλειν ἔχειν, ἐπιμελόμενον ἑαυτοῦ, μήτε μὴν διὰ τοῦτο ἀδύνατον εἶναι δόξαι διοικεῖν τὰ τῆς πόλεως πράγματα. Ὁ δὲ Σωκράτης ἀποδύρεται αὐτὸν, διότι πρῶτον μὲν τοὺς συναγωνιστὰς ἀνταγωνιστὰς οἴεται εἶναι. Τοὺς γὰρ Ἀθήνησι στρατηγοὺς συναγωνιστὰς ὄντας ἀνταγωνιστὰς οἴεται εἶναι. Ὡς εἴ τις κυβερνήτης ὢν νεὼς, οἴοτο [7] τοὺς ναύτας ἀνταγωνιστὰς ἔχειν πρὸς τὴν τύχην τῆς φθορᾶς τῶν ἀνέμων καὶ τῶν πνευμάτων [8]. Ὥσπερ γὰρ αἱρούμεθα ὑγιαίνειν καὶ πλουτεῖν, εἰ καὶ μηδεὶς εἰδείη, οὕτω δὲ [9] ἡμᾶς ἐπιμελεῖσθαι ἑαυτῶν, κἂν μὴ ἔχοιμεν, πρὸς οὓς ἀγωνισώμεθα. Οὐ γὰρ πρὸς ἑτέρους ἐστιν ἡ ἀρετὴ ἡμῶν, ἀλλὰ πρὸς ἑαυτούς· καὶ καθ' ἑαυτὴν, ἀλλ' οὐ πρός τι ἡ ἀρετή· καὶ διὰ τοῦτο οὐ δεῖ πρὸς ἄλλους ἀφορᾶν. Καὶ ὅτι εἰ δεῖ πρὸς ἄλλους ἀφορᾶν, οὐ δεῖ πρὸς τοὺς πολλὰς [10] ἀλλὰ πρὸς τοὺς ὀλίγους, καὶ τούτους οὐ φαύλους, ἀλλὰ σπουδαίους. Ἐλέγχει δὲ αὐτὸν καὶ κατὰ ἀντιπαράστασιν λέγων, ὅτι εἰ καὶ μὴ πολίτας ἔχει [11] ἀνταγωνιστὰς, ἀλλὰ συναγωνιστὰς, ἀλλὰ ξένους ἔχεις ἀξίους λόγου· τὸν γὰρ Περσῶν βασιλέα μέγαν, καὶ τοὺς Λακεδαιμονίων βα-

(6) De hac constructione, bonis scriptoribus non usurpata, supra p. 108 sq. diximus. Proxime ter repetitum *ἔχειν πρός τινα* et relationem et comparationem designat. V. c. *εἰ μὲν γὰρ πρὸς μείζονας εἶχον.* Nam si rem haberem majoribus cum hominibus. Vernacule: Denn wenn ich es mit groesseren Maennern (als ich bin) zu thun haette, wenn ich groesseren Maennern gegenüberstünde. Vid. Viger. p. 251 cum not. 60.

(7) Scrib. *οἴοιτο*.

(8) Videtur scribendum: *τῆς φορᾶς τ. α. καί τῶν κυμάτων*. Hoc alterum reapse infra legitur.

(9) Leg. *δεῖ ἡμᾶς*. (10) Scrib. *πολλοὺς*,.

(11) Scrib. *ἔχεις*.

σιλεῖς, πρὸς οὓς εἴωθεν ἡ τῶν Ἀθηναίων πόλις διὰ παντὸς ἀγωνίζεσθαι, ὡς δηλοῦσι τὰ Περσικὰ καὶ τὰ Πελοποννησιακά· πάτριον δέ ἐστιν Ἀθηναίοις σοφίᾳ νικᾷν. Ὁ δὲ οὐδὲ οὕτως ἀφίσταται τῆς ῥᾳθυμίας καὶ τοῦ φιλοτίμου ἔθους, ἀλλὰ φησίν, ὅτι οὐδὲ οὗτοι ἄξιοι λόγου εἰσίν. Διὸ τοῦ Σωκράτους διὰ τὸ ἐξογκόσαι [12] τοὺς πολεμίους καλέσαντός που μὲν βασιλέα μέγαν, ποῦ [13] δὲ βασιλεῖς Λακεδαιμονίων, αὐτοὺς τοὺς Λακεδαιμονίων φησὶ στρατηγούς, ἀντὶ δὲ μεγάλου βασιλέως, βασιλέα ἁπλῶς. Ὁ δὲ Σωκράτης βουλευόμενος [14] αὐτὸν ἀπαλλάξαι τῆς τοιαύτης φιλονεικίας καὶ τοῦ ῥᾳθύμου ἤθους, ἐλέγχει κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν· κατὰ μὲν ἔνστασιν λέγων· ὅτι μέγιστοί εἰσιν οἱ πολέμιοι, πρὸς οὓς εἴωθεν ἡ πόλις ἀνταγωνίζεσθαι· κατὰ δὲ ἀντιπαράστασιν, ὅτι εἰ καὶ δοίημεν μηδενὸς λόγου ἀξίους, ἀλλ' οὖν δεῖ ἡμᾶς ὑποθέσθαι αὐτοὺς ἀξίους λόγου, ἵνα οὕτως ἀρετῆς ἀντιποιησώμεθα. Καὶ Ἀριστοτέλης μὲν ἐν τῷ Προτρεπτικῷ [15] ἔλεγεν, ὅτι εἴτε φιλοσοφητέον, φιλοσοφητέον· εἴτε μὴ φιλοσοφητέον, φιλοσοφητέον· πάντως δὲ φιλοσοφητέον. Πλάτων δὲ φησίν· εἴτε ἄξιοι λόγου οἱ Περσῶν βασιλεῖς καὶ Λακεδαιμονίων, φροντιστέον ἀρε-

(12) Scrib. ἐξογκῶσαι i. e. eo quod efferret, s. majorem in modum augeret. Proprie est inflare et onerare. Alciphron. Epist. I. 1. τὸ δίκτυον ἐξωγκωμένον rete inflatum, oneratum. cf. Bergler. et Wagn. p. 4. adde III. 56. p. 171. et universe de voce ὄγκος et inde ductis Segaar. ad Clement. Alex. Quis div. salv. p. 129 sqq. Passivum est nonnumquam *tumere*: Lucian. Philopatrid. IX. p. 265. Bip. Hinc: *gloriari*, vid. Athen. VII. p. 289. a. p. 54. Schwgh.

[13. Scrb. πού μὲν — πού δὲ. vid. Hermann. Viger. p. 794 ed. alt.]

(14) Scrib. vid. βουλόμενος.

(15) Periit hic Aristotelis liber, quem et Diogenes Laert. V. 22 et Anonymus scriptor vitae Aristotelis ap. Menag. ad Laert. V. 35 p. 201 et ap. Buhlium in Aristotel. Prolegg. Vol. I. p. 62 memorant, qui unicum librum fuisse produnt. Teles ap. Stob. Serm. XCIII. p. 516: *Ζήνων ἔφη Κράτητα ἀναγινώσκειν ἐν σκυτίῳ καθήμενον τὸν Ἀριστοτέλους Προτρεπτικόν, ὃν ἔγραψε πρὸς Θεμίσωνα τὸν Κυπρίων βασιλέα, λέγων ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι κτλ.* cf. Fabric. Bibl Gr. III. p. 404. Harles. Inde mirari subit Willetum ad Galeni Protrepticum p. 59 ubi de hoc librorum genere agit Aristotelei operis mentionem omisisse. — Lucramur ex hoc Olympiodori loco exiguum certe illius libri fragmentum. Sententia expedita est.

τῆς, ἵνα οὕτω περιεσώμεθα [16] αὐτῶν· εἴτε μὴ τοιοῦτοί εἰσι, δεῖ ὑποθέσθαι αὐτοὺς τοιούτους, ἵνα ἀρετῆς ἀντιποιησώμεθα· πάντως δὲ ἀρετῆς ἀντιποιητέον. Καὶ πάλιν ἐν Θεαιτήτῳ· εἴτε ψεύδεται Πρωταγόρας, ψεύδεται· εἴτε μὴ ψεύδεται, ψεύδεται· πάντως δὲ ψεύδεται [17]. Πολλὰ γὰρ τοιαῦτα ἔχομεν παρὰ τοῖς φιλοσόφοις. Καὶ ἔχεις ἐντεῦθεν δόγμα Πλατωνικὸν, ὅτι βούλεται οὐχ ὡς Ἀριστοτέλης τὸν νοῦν ἀρχὴν εἶναι [18], ἀλλὰ τὸ ἀγαθὸν, εἴ γε ὁ νοῦς τῷ ψεύδει οὐχ ἱκανὸς γέγονε μεταδοῦναι ἑαυτοῦ· τὸ δὲ ἀγαθὸν καὶ τῷ ψεύδει μεταδέδωκεν ἑαυτοῦ, ἔστι γὰρ ἀγαθὸν ψεῦδος. Ὥςπερ ἐνταῦθα τὸ μὴ τὰ ἀληθῆ ὑπολαβεῖν ὡς ἀληθῆ, διὰ τὸ ἀγαθόν· νοερὸν δὲ ψεῦδος οὐκ ἔστιν, ὥςπερ ἔστιν ἀγαθόν. Πέντε δὲ ὄντων τρόπων καθάρσεως οἱ πέντε παραδέδονται ἐν τῷ παρόντι διαλόγῳ ὑπὸ τοῦ Πλάτωνος. Ἔστι γὰρ καθαρθῆναι καὶ διὰ τοῦ ἀποφυγεῖν εἰς τεμένη, ἢ εἰς διδασκάλους, ἢ διὰ τοῦ ἀσχολεῖσθαι ἐντυγχάνοντα βιβλίοις· τοῦτον δὲ τὸν τρόπον παραδέδωκεν, ἡνίκα ἔλεγεν· Ἀλλ', ὦ μακάριε, πειθόμενος ἐμοί γε [19] καὶ τῷ ἐν Δελφοῖς γράμματι, γνῶθι σαυτόν. Δεύτερος δι' ἐπιπλήξεως, ὃν παραδέδωκεν ἡνίκα καταδρομῇ ἐχρῆτο, ἐλέγχων αὐτοῦ καὶ τὸ γνωστικὸν διὰ τῆς διπλῆς ἀμαθίας, καὶ τὸ ζωτικὸν ἐκτραγῳδῶν καὶ τὰ ἑπόμενα τῇ διπλῇ ἀμαθίᾳ ἐστίν [20]. Τρίτος ὁ πυθαγόριος, ὃς καὶ σφαλερὸς, ἄκρῳ δακτύλῳ ποιῶν ἀπογεύεσθαι τῶν παθῶν· ᾧ καὶ οἱ ἰατροὶ χρῶνται, τὸ σμικρῷ χεῖρον παραλαμβάνοντες· καὶ τοῦτο δὲ παραδέδωκεν ἐνταῦθα λέγων· ὅτι ἔχεις τι ἐπιτήδειον πρὸς τὸ ἄρχειν τῆς πόλεως, τὸ

(16) De hac forma rariore vid. Clenardi Institt. et Meditt. in Gr. Linguam ed. F. Sylburg. p. 158. Neque Fischerus neque Matthiae neque Buttmannus eam commemorant. Moser. De constructione hujus verbi monuerunt Grammatici vid. Phavorin. p. 1479. 1480. Adde Grammaticum gr. ad calc. Hermanni de emendand. rat. Gr. gr. p. 357. Hinc judicandi sunt hujuscemodi loci, qualis est Josephi Antiqq. Judd. XVII. 4. p. 833 περιουσῶν αὐτῇ (alii libri αὐτῆς) τῶν ἀλγηδόνων.

(17) Vid. Platon. Theaet. p. 170. e. Bip. T. II. — Bekk. II, 1, p. 235. qui locus convenit ad sensum. Verba enim, uti ea noster posuit, non sunt apud Platonem.

(18) Vid. Aristot. Analyt. poster. II. 28. p. 269. Sylb.

(19) Edd. ἐμοί τε. p. 124. a. — Bekk. p. 345.

(20) Vid. del. ἐστίν.

φύσει ἡγεμονικὸν, εἰ βουληθείης τοῦτο διὰ παιδίας [21] ἐπικοσμῆσαι· διὰ τούτων γὰρ ὕψωσε τὸ φιλότιμον αὐτοῦ. Τέταρτος ὁ Ἀριστοτελικὸς ὁ κακῷ τὸ κακὸν ἰώμενος καὶ τῇ διαμάχῃ τῶν ἐναντίων εἰς συμμετρίαν ἄγων. καὶ τοῦτον δὲ ἐνταῦθα παραδέδωκε, ποτὲ μὲν διὰ τοῦ ἐγκλιτικοῦ [22] καταβάλλων αὐτὸν, καὶ οὕτως αὐτὸν ἀπογεννῆσαι ποιῶν τὸν ὁρισμὸν τῆς πολιτικῆς ἐπιστήμης. Πέμπτος, ὁ [23] καὶ ἀνυσιμώτατος, ὁ Σωκρατικὸς, ὅτι τοῦ ὁμοίου μεταβάσει χρώμενος· καὶ τούτῳ δὲ χρῆται ἐνταῦθα, λέγων· δυνάμεως ἐρᾷς; μάθε, τίς ἡ ὄντως δύναμις, ἥτις ἀναφαίρετός ἐστιν ὑπὸ τυράννου· ἡδονῆς ἐρᾷς; μάθε, τίς ἡ ὄντως ῥαστώνη, ἥτις καὶ παρὰ θεοῖς θεωρεῖται.

Ταῦτα ἔχει ἡ θεωρία. — Εἶεν· τί οὖν διανοῇ [24] περὶ σαυτοῦ; Καὶ τὸ εἶεν διεγείροντός ἐστιν, τί ποιεῖς; ἐπειδὴ ἠλέγχθη καὶ κατὰ τὸ γνωστικὸν κακῶς ἔχων, διπλῇ γὰρ ἀμαθαίνων, καὶ κατὰ τὸ ζωτικὸν, διὰ τοῦ δειχθῆναι, πόσων κακῶν ἐστιν αἰτία ἡ διπλῆ ἀμαθία, ὁ δὲ φησὶν κοινὴ βουλὴ [25], ἀντὶ τοῦ, κοινῶς βουλευσόμεθα [26], τί ὃ ὀφείλω ποιῆσαι· τὸ ποιητικὸν λέγων· χρειὼ βουλῆς ἐμὲ καὶ σὲ, διοτρεφές [27]. Καὶ τέως ἀπηλλάγη τῆς διπλῆς ἀμαθίας καὶ ἦλθεν ἐπὶ ἁπλῆν. Οὔτε γὰρ ὁ διπλῇ ἀμαθαίνων βουλεύεται, οὔτε ὁ ἐπιστήμων. Ὁ γὰρ τεχνίτης, ὡς τεχνίτης οὐ βουλεύεται. Εἰ γὰρ καὶ βουλεύεται ὁ τέκτων, οὐχ ὡς τέκτων, ἀλλ' ὡς ἄνθρωπος· ἔνδεια γὰρ φρονήσεώς ἐστιν ἡ βουλή· περὶ ὧν γὰρ οὐκ οἶδεν, ἔστιν ἡ βουλή. Καὶ λοιπὸν ἀπογυμνοῖ τὰ οἰκεῖα πάθη, τὸ ῥάθυμον καὶ φιλότιμον, καὶ φησὶν· ὅτι πάντες πλὴν [28] ὀλίγων, οἱ τὰ τῆς πόλεως διοικοῦντες [29] ἀπαίδευτοί εἰσιν· τὸ δὲ πλὴν ὀλίγων διὰ Περικλέα. Οὐ πρὸς

(21) Scrib. *παιδείας*.
(22) Videtur scribendum *ἐγκλητικοῦ*, quod vocabulum, quamquam non compareat in Lexicis, non dubito, quin iis addendum sit. Moser. Nisi forte scribi malueris *ἐλεγκτικοῦ*.
(23) An scribendum *ὃς*? (24) Cod. Clark. et Bekk. *διανοεῖ*.
(25) Scrib. ex Edd. *κοινῇ βουλῇ*.
(26) An scrib. *βουλευσώμεθα, ὅ,τι*?
(27) Est locus Homericus, Iliad. *κ*, 43. ubi scribitur:
*Χρεὼ βουλῆς ἐμὲ καὶ σὲ, διοτρεφὲς ὦ Μενέλαε.*
(28) Edd. *ἐκτὸς*. (29) Edd. *πράττοντες*.

*μεγάλους οὖν ἡμῖν ὁ ἀγών* — *μαθόντα καὶ ἀσκήσαντα*· μάθησις λέγεται ἐπὶ λόγου, ἄσκησις δὲ ἐπὶ τῶν ἀλόγων ζώων, διότι δι' ἐπιμελείας καὶ ἀσκήσεως ταῦτα τιθασσεύεται [30]. *Καὶ μανθάνοντα πράγματα ἔχειν*· πράγματα ἔχειν καὶ κατὰ τὸν λόγον, καὶ κατὰ τὸ ἄλογον, καὶ ἁπλῶς κατὰ πᾶσαν ἡμῶν τὴν οὐσίαν. *Οἶδα γὰρ ὅτι* φησὶ, *τῇ φύσει τούτων περιέσομαι* [31]. Καὶ ἰδοὺ, πῶς θαυμαστῶς ὑπογράφει [32] ἄμφω τὰ πάθη τοῦ νέου: *Βαβαὶ, οἷον, ὦ ἄριστε, τοῦτο εἴρηκας· ὡς ἀνάξιος* [33] *τῆς ἰδέας*: πάλιν ἀποδύρεται ὁ Σωκράτης τὸν νέον καὶ ἑαυτὸν, καὶ σχετλιάζει λέγων, ὅτι *ἀγανακτῶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἐμαυτοῦ* [34]. Ὑπερ σοῦ μὲν, διότι σμικροπρεπὴς ὑπάρχεις· ὑπὲρ ἐμαυτοῦ δὲ, διότι σμικροπρεποῦς ἐρῶ. Τὸ δὲ *οἷον τοῦτο εἴρηκας*, τὸ ποιητικὸν πάλιν παρῳδεῖ· *ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων* [35]· καὶ τὸ· *καί τι ἔπος προςέηκεν, ὅπερ τ' ἄῤῥητον ἄμεινον*. Τὸ δὲ *ἀνάξιον τῆς ἰδέας*, τουτέστιν· εἶδος ἔπεστιν, ἀλλ' οὐκ ἔστι *βίη φρεσὶν οὐδέ τις ἀλκη* [36]. — *Πῶς δὲ λέγεις, οὐ πρὸς τούτους μοι ἀγάν* [37]; Ὁ Ἀλκιβιάδης ἐρωτηματικῶς τοῦτο προσάγει· οὐ πρὸς τοὺς τῆς πόλεως ἐστὶν ὁ ἀγών; ὁ δὲ φησὶν, ὅτι εἰ ἐβούλου τριήρη κυβερνᾷν, ἆρ' ἂν πρὸς τοὺς συνναύτας ἦν σοι ὁ ἀγών; ἢ τούτους μὲν ἔχων συναγωνιστὰς πρὸς ἄλλους ἐποίου [38] τὸν ἀγῶνα, οἷον πρὸς τὴν τύχην τῆς φθορᾶς [39] τῶν ἀνέμων καὶ τῶν κυμάτων. Ἐπίτηδες δὲ ὁ Πλάτων τῇ τριήρει ἐχρήσατο παραδείγματι, ἀλλ' οὐ τῇ τυχούσῃ νηῒ, διότι πρὸς τὸ πολεμεῖν ἐστιν αὕτη ἐπιτηδεία. *Πάνυ ἄρα σοι* [40]

(30) Ita scrib. pro *τιθασεύ*.
(31) Edd. *τῇγε φύσει πάνυ πολὺ περιέσ.*
(32) Id est adumbrat, primis lineis describit. Platonicum. Vid. Budaei Comment. l. gr. p. 737 et Ast. ad Platon. Rempubl. VI, 16. p. 550 itemque ad de Legg. V. 7. p. 249.
(33) Edd. et mox Olymp. *ἀνάξιον*.
(34) Edd. *ὑπέρ τε τοῦ σοῦ καὶ τοῦ ἐμαυτοῦ ἔρωτος.*
(35) Est versus Homericus ex Iliad. δ, 350. Qui sequitur est ex Odyss. ξ, 466, ubi scribitur *προέηκεν*, neque vero *προςέηκεν*.
(36) Vid. Iliad. γ, 45. (37) Edd. *ὁ ἀγών*. (38) L. *ἐποιοῦ*.
(39) Conjicio: *φορᾶς*. Vid. supra p. 143.
(40) Cod. Clark. et Bekker. *σοι ἄρα*.

*ἄξιον ἀγαπᾷν εἰ τῶν στρατιωτῶν* —. Οὐ γὰρ δεῖ τὸν στρατηγὸν ἁμιλλᾶσθαι πρὸς τοὺς στρατιώτας, ὅπως βελτίων αὐτῶν γένηται, ἀλλὰ τούτους συναγωνιστὰς ἔχειν, πρὸς δὲ πολεμίους ἀνταγωνίζεσθαι μετ' αὐτῶν. *Ἀλλὰ πρὸς Μειδίαν σε δεῖ τὸν ὀρτυγοκόπον* [41] —. Ὁ Μειδίας οὗτος ὀρτυγοκόπος ἤκουεν, ὅτι τοὺς ὄρτυγας μαχίμους ἔτρεφε· Ἅμα δὲ καὶ πληκτικὸν τοῦτο πρὸς τὸν Ἀλκιβιάδην· διότι φασὶν Ἀλκιβιάδου ποτὲ ἐφ' ὑψηλοῦ βήματος συνηγοροῦντος, ἀποπτῆναι ἐξ αὐτοῦ ὄρτυγα [42]. μηδίαν [43] δὲ φησὶν, οὐ τὸν δόντα Δημοσθένει τὸν κόνδυλον [44]· οὗτος γὰρ ἐκείνου προγενέστερος ἦν. *Ἔτι τὴν ἀνδραποδώδη τρίχα ἐν τῇ κεφαλῇ*· [45] τουτέστιν ἔτι τὴν δουλικὴν τρίχα ἔχεις· πάλιν γὰρ καὶ τοῖς

(41) Edd. *ὀρτυγοτρόφον*, melius, ut patet ex ipsa Olympiodori explicatione. Quis sit *ὀρτυγοκόπος* videsis apud Pollucem Onomast. IX, 7, 107. p. 1095. Hemst. ib. interprr. cf. Schol. in Plat. p. 74. Ruhnk. Annotationes Editorum ad hunc locum dialogi. Adde Ast. ad Platon. de Legg. VII. 1. p. 340. Heindf. ad Lysidem p. 23. Ceterum eadem lectionis varietas est in Antonino I. 6. ubi est *ὀρτυγοτροφεῖν*. vid. Gatacker. p. 5. cf. Kuster. ad Suid. II. 718 ubi ex eodem Antonini loco profertur *ὀρτυγοκοπεῖν*. Nec aliter in Photii Lex. gr. p. 255 sq.

(42) Vid. Plutarch. in Alcib. c. X. itemque in Reipubl. gerend. praeceptt. p. 799. D. p. 211 Wyttenb. (43) Scrib. *Μειδίαν*.

(44) Vid. Libanii et item Anonymi Argumentum in Orat. Demosth. contra Midiam p. 509 et 511 Reisk. cf. Plutarch. Demosth. 12. [De verbis vid. Hemsterh. ad Luc. Prom. c. 10 p. 195. p. 146. Bipont.]

(45) Edd. priores *ἐπὶ τῇ ψυχῇ*. Sed Ast. et Bekker. *ἐν τῇ ψυχῇ* et ita codd. Venet. et Clark. itemque ex parte Olympiodor. et Scholiast. Ruhnken. p. 75. Hunc locum ex Codice Olympiodori Vossiano s. Leidensi exscripsit Ruhnkenius ad Tim. p. 36. et ex eo Etwall. ad Alcib. I. p. 17. sq. et Buttmannus p. 144 sq.; quem, quia plenior est nostro et ad veram lectionem restituendam non nihil facit, hic repetere visum est: *Παροιμία ἐστὶ γυναικῶν ἐπὶ τῶν ἐλευθερουμένων δούλων, καὶ ἐπιμενόντων ἐν τῇ δουλείᾳ· ὅτι ἔχεις τὴν ἀνδραποδώδη τρίχα ἐν τῇ κεφαλῇ, τουτέστιν, ἔτι τὴν δουλικὴν τρίχα ἔχεις. Πάλαι γὰρ καὶ τοῖς ὀνόμασι διεκέκριντο οἱ ἐλεύθεροι τῶν δούλων, καὶ ταῖς θριξί. Γέται γὰρ καὶ Δάοι καὶ Φρύγες ὠνομάζοντο· νῦν δὲ καὶ ταῦτα συνεχύθησαν. κτλ.* [cf. Hadr. Junius de coma p. 499 sqq. ed. Hag.] Olympiodori loco unice inserviunt et locus Strabonis et super eo disputata a magno Salmasio. Qui quidem ita in Exercitt. plinianis p. 559 sq: „Strabo alio loco (lib. VII p. 304. p. 376. sq. Tzschuck.) vocatos „antiquis *Δάους* scribit, qui postea dicti sunt *Δάκοι* his verbis, „quae sic legenda sunt: *Δάκους δὲ τοὺς εἰς τἀναντία πρὸς Γερμα-* „*νίαν καὶ τὰς τοῦ Ἴστρου πηγὰς, οὓς οἶμαι Δάους καλεῖσθαι τὸ κα-*

ονόμασι διεκέκριντο οἱ ἐλεύθεροι τῶν δούλων καὶ ταῖς θριξί. Γέται γὰρ καὶ δ'οι [46] καὶ Φρύγες ουομάξοντο [47]· νῦν δὲ καὶ ταῦτα συνεχύτησαν [48]. Ὁ δὲ, ἀντὶ τοῦ εἰπεῖν ἐν τῇ κεφαλῇ,

„λαιόν· ἀφ' οὗ καὶ παρὰ τοῖς Ἀττικοῖς ἐπεπόλασε τὰ τῶν
„οἰκετῶν ὀνόματα. *Γέται καὶ Δάοι.* Perperam *Δαύους* et
„*Δαῦοι* hodie legitur apud Strabonem (in edit. Tzschuckii haec
„emendata sunt pro ratione Salmasianâ). Graecum *Δάος*, Latinum
„Davus. Ut *ὠὸν* ovum, et similia. Metrodorus:
„*Ὀγδώκοντα Σύρος, Δάος δέκα, Τίβιος ὀκτώ*:
„Addit Strabo — probabilius videri servos qui in comoedia
„Attica vocabuntur *Δάοι*, Latine *Davi*, a Daïs Europaeis dictos
„ac deductos fuisse, quam ab illis Asiaticis et Hyrcanis, quia verisi-
„mile non sit, ex tam longinquis locis in Graeciam advecta manci-
„pia. Atqui idem ille Strabo est, qui libro undecimo tradit, non pror-
„sus in confesso esse, an ulli exstiterint *Δάοι* vel *Δάαι* supra Mae-
„otim. Ipse certe secum pugnat. Quod autem non putat tam longe
„in Atticam importata mancipia, ratio eum fugit. Quippe valde
„simile veri est, Alexandrum Magnum, subjugatis ac devictis Daïs,
„frequentes in exercitu suo fecisse inde loci servos, ac postea in
„Graeciam translatum eorum nomen et usum fuisse. Profecto nova
„tantum comoedia, non etiam vetus, mentionem habet servitii hujus
„generis. In Eupolidis, Cratini, Aristophanis et antiquiorum comoe-
„diis *Δάου* nomen pro mancipio non visebatur. Sed *Καρίων*, *Λυδός*,
„*Φρύξ*, *Τίβιος*, et alia hujusmodi. Apud Menandrum et Apollodo-
„rum, aliosque, qui post Alexandri Magni aetatem fabulas in scena
„dictaverunt, frequentia *τὰ τῶν οἰκετῶν ὀνόματα Δάοι καὶ Γέται.*
„Hinc Latinis comicis, qui novam Graecorum comoediam imitati
„sunt, atque etiam reddiderunt, *Davi* et *Getae* servorum nomina.
„Non igitur *Δάκοι* iidem, qui et *Δάοι* antiquis. Et *Δάοι* nulli vel
„*Δάαι* Getis et Germanis vicini. Sed. qui *Δάαι*, fuere ad Caspium
„mare.“ Haec Salmasius. Tiberius autem Hemsterhusius ad Luciani
Timon. §. 22 p. 381 Bip. ita: „Quae vero in usu quotidiano fre-
„quentissima fuerunt servorum nomina, ad scenam eadem sunt tra-
„ducta: hinc *Davi*, Syri, *Phryges*, *Getae*, Sacae. Scholiast. Ari-
„stoph. ad Acharn. v. 242: *Εἰσὶ δὲ καὶ ἐν τῇ κωμῳδίᾳ οἰκέται, Ξαν-*
„*θίας, Τίβιος, Σωσίας, Δάος, Γέτας. Porro nominibus olim*
„*liberi servique distinguebantur, postea discrimen illud sic confu-*
„*sum est, ut ista nota non amplius posset dignosci.* Insignis est
„Olympiodori locus ad Alcib. I Platonis a Casaubono productus
„ad Persium V. 116. (Sequitur pars nostri loci.) Hinc jam patet,
„ob quam causam Lucianus mancipium infame, postquam obsequio
„flagitioso luculentam hereditatem crevit, repente mutato nomine
„scribat in publicum prodire, et pro Pyrrhia, Dromone vel Tibio
„salutari Megaclem, Megabyzum aut Protarchum, haud secus ac
„Simon ille coriarius in Gallo divitiis auctus Simonidem se dici
„postulavit.“ De Daïs illis Asiaticis, ad mare Caspium habitantibus
cf. Strabo XI p. 511 p. 473. Tzsch. Arrian. Exped. Alex. III. 11. 4. III. 28. 13. V. 12. 3. et Larcher. ad Herodot. Tom. VIII. p. 167 sq.

(46) Sic. Scrib. *Δάοι*. [Ubique corrigendum est *Δᾶοι*, unde Davus producitur, et vid. supra Metrodori versum.] (47) Scrib *ὠνομάζοντο.*
(48) Scrib. ex cod. Voss. — *θησαν.*

φησὶν, ὅτι τὴν ἀνδραποδώδη τρίχα ἔχεις ἐν τῇ ψυχῇ [49], ὑπὸ ἀμουσίας. — Καὶ πᾶσαν παρασκευὴν παρασκευασάμενον [50]. Τουτέστιν ὅτι δεῖ φροντίδα ποιήσασθαι τῶν ὀργάνων, δόρατος καὶ ἀσπίδος, τῶν πρὸς τὰ πολεμικὰ συμβαλλομένων· εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω [51]. Καὶ μὴ ἀμελεῖν, ἵνα τοῦτο δὴ, ἐν πίθῳ τὴν κεραμίαν [52], καὶ τὴν τῶν πολεμικῶν ἐπιστήμην ἐκμάθομεν [53]. Οὕτω δὲ καὶ οἱ Ἀθηναῖοι ἀμελεῖς ὄντες, τύχῃ μᾶλλον ἢ παρασκευῇ τοὺς πολέμους μετήρχοντο [54], οἱ δὲ Λακεδαιμόνιοι σπουδῇ μᾶλλον καὶ ἀσκήσει κατώρθουν. — Τούς τε Λακεδαιμονίων στρατηγούς. — Ἰδοὺ ἀντὶ μὲν βασιλέων στρατηγοὺς τούτους φησὶν, ἀντὶ μεγάλου δὲ βασιλέως βασιλέα τὸν Περσῶν. — Ποτέρως ἂν οἴει σαυτοῦ μᾶλλον ἐπιμεληθῆναι; Ἰδοὺ, τῇ ἀντιπαραστάσει κέχρηται· εἰ καὶ μὴ εἰσὶ τῷ ὄντι ἄξιοι λόγου, ἀλλ' οὖν δεῖ αὐτοὺς τοιαύτους οἰηθῆναι, ἵνα ἐπιμέλειαν ἑαυτῶν ποιησώμεθα. —

## Πρᾶξις σὺν θεῷ ιζ'.∴

Πότερον εἰκὸς ἀμείνους γενέσθαι [1] φύσεις ἐν γενναίοις γένεσιν, ἢ μή; Ἔδει μὲν τὸν Ἀλκιβιάδην κατὰ τὴν ὑφήγησιν τοῦ Σωκράτους, εἰ καὶ μὴ ἦσαν ἄξιοι λόγου οἱ ἀνταγωνισταὶ, ὑποθέσθαι αὐτοὺς τοιούτους, ἵνα πολλὴν φροντίδα ποιήσηται τοῦ ἀρετῆς ἀντιποιήσασθαι. Ὁ δὲ, ὡς ῥάθυμος, καίτοι ἀξίους λόγου ὄντας, ὅμως οὐχ ὑποτίθεται αὐτοὺς

(49) Hinc superiora in vitio esse intelligitur.
(50) Cod. Venet. Clark. et Bekker. παρεσκευασμένον.
(51) Est versus ex Iliad. β, 382.
(52) Id est, ut secundum illud: *in dolio figulinam discamus.* Tangit Proverbium: ἐν πίθῳ τὴν κεραμείαν μανθάνεις, quod in eos dici solitum, qui primis neglectis artibus graviora aggrediuntur et discunt. Vid. Diogenian. Cent. IV. §. 44 p. 211. Libanii epist. 1069 p. 508 Wolf. Δεῖ δὲ μὴ τὰ μέγιστα εὐθὺς ζητεῖν, μηδ' ἐν πίθῳ τὴν κεραμείαν φασὶν, ἀλλὰ κἂν μικρὰ διδῷ τις, μεθ' ἡδονῆς δέχεσθαι κτλ.
(53) Scrib. ἐκμάθωμεν. [54. De fortuna secunda Atheniensium, oraculis promissa et fidenter credita, vid. Aristophan. Eccles. 476. Nubb. 585, Demosthen. passim v. c. Philipp. I. p. 43. 17. Reisk. de cor. p. 311. 20. Epist. p. 1466. 26. p. 1487. 1. Unde ἀγαθῆς τύχης νεὼς prope Prytaneum. Vid. Meurs. Fortun. Attic. I. c. VIII. p. 53.]
(1) Edd. γίγνεσθαι.

τοιούτους ὄντας, ἵνα μὴ πράγματα ἔχῃ ἑαυτοῦ ἐπιμελόμενος. Διὸ καὶ κατασκευάζει, ὅτι κρείττους εἰσὶ Λακεδαιμόνιοι καὶ Πέρσαι Ἀλκιβιάδου, καὶ δείκνυσι τοῦτο ἀπὸ τεσσάρων ἐπιχειρημάτων. Ἀπὸ γένους· συμπεριλαμβάνει δὲ ἐν τῷ γένει καὶ τὴν πατρίδα· γένος γὰρ καὶ ἡ πατρὶς, ὡς ὁ Πορφύριος φησίν· ἀπὸ γενήσεως [2], ἀπὸ παιδείας, καὶ ταύτης διττῆς, ἢ προπαιδείας, ἢ παιδείας. Ἀπὸ μὲν γένους· ὅτι ἐκεῖνοι ἀπὸ Διὸς κατάγονται, σὺ δὲ ἐξ ἀνθρώπων. Ἦν γὰρ Περσεὺς Διὸς καὶ Δανάης [3]. Περσέως δὲ καὶ Ἀνδρομήδας, τῆς κατ' οὐρανὸν, Ἀχαιμένης [4], διὸ καὶ οἱ Πέρσαι Ἀχαιμενίδαι λέγονται. Ὁ δὲ Ἀλκιβιάδης φησὶ καὶ αὐτὸς ἐκ Διὸς κατάγεσθαι· ἦν γὰρ ἀνέκαθεν Αἰακίδης [5]. Ὁ δὲ Σωκράτης ἀστεϊζόμενος καὶ ἑαυτὸν φησι Δίϊον εἶναι, διότι Δαιδάλου ἦν ἀπόγονος, ὁ δὲ Δαίδαλος Ἡφαίστου τοῦ τοῦ Διὸς ὑπῆρχε [6]. Δαιδάλου δὲ ἔλεγεν ἑαυτὸν εἶναι, διότι πρῶτος ὁ Δαίδαλος τῶν ἀγαλμάτων συνηγμένους ἐχόντων τοὺς πόδας διέστησε [7], σύμβουλον δῆτα βαδίσματος τοῦ αὐτοκινήτου. Καὶ Σωκράτης δὲ πρῶτος τοὺς ἀνθρώπους ἐποίησεν αὐτοκινήτους, μὴ ἐάσας αὐτοὺς διὰ διδαχῆς ἐπιστήμας εἰδέναι, ἀλλὰ διὰ μαιείας καὶ εὑρέσεως, διὰ

(2) Scrib. γεννήσεως.

(3) Cf. Herodot. VII. 150 ibique Interprr. et Buttmann ad ipsum Platon. Alcib. p. 146.

(4) Vid. interpretes ad Horat. Od. II, 13, 21. inprimis autem Wesselingium ad Herodot. 1, 125, qui de Achaemenidis et vocis origine laudat disputantem Hyde in Histor. Relig. Persar. p. 416. cf. Wesseling. et Schweigh. ad Herodot. VII, 11. Achaemenem Persam, ἀφ' οὗ κάτεισιν ἡ τῶν Περσῶν εὐγένεια, Aelianus Hist. Animal. XII, 21. ἀετοῦ τρόφιμον dictum esse ait, quo origo ejus a Jove significari videtur. In primis autem hic conferendus Scholiasta Platon. in Alcib. 1. p. 75. Ruhnk. ubi Schema genealogicum exhibetur. Qui nosse cupiat, quae alia omnia nuper scriptor Brittannus hac de gente Achaemenidarum excogitavit, is consulat: the monthly. Review. mens. Maj. ann. 1820 p. 38 — 47.

(5) Vid. Plutarch. in Alcib. 1. Scholl. in Plat. p. 76. Ruhnk. Adde de Aeaci genere Muelleri Aegineticorum librum §. 6 p. 21 sqq.

(6) Vid. Buttmannum ad hunc Alcibiadis 1. locum p. 146. sq. Adde Schol. in Plat. p. 76. Ruhnk.

(7) De hac re vid. Diodor. Sic. IV, 76. T. I. p. 319. Wess. ejusque annot. 85. Quod sequitur σύμβουλον pro eo haud dubie corrigendum σύμβολον. Ad argumentum consule Fr. Thierschii Viri docti Commentatt. vernaculo sermone scriptas, de Epochis artis ap. Graecos I. p. 5 sq. p. 16 sqq. II. p. 23. et p. 52.

τούτων αὐτοκινήτους αὐτοὺς ποιήσας. Καὶ φησὶν, ὅτι ἡμεῖς μὲν, εἰ καὶ ἐκ Διὸς καταγόμεθα, κακεῖνοί, ἀλλ' οὐχ ὁμοίως ἐπ' ἀμφοῖν τὸ γένος ἐστίν· ἡμεῖς μὲν ἐξυδαρώσαμεν [8] τὸ ἡμέτερον γένος ταῖς μεταξὺ γενεαῖς, καὶ [9] μὴ φυλάξαντες ἀκέραιον τοῦτο· ἐκεῖνοι δὲ οὐχ οὕτως, ἀλλ' ἀνόθευτον τοῦτο τετηρήκασι τῇ διαδοχῇ τοῦ γένους ὄντες βασιλεῖς. Λοιπὸν δὲ καὶ ἀπὸ πατρίδος, ὡς ἀπὸ γένους, κατασκευάζει, ὅτι κρείττους ἐκεῖνοι· φησὶν [10], ὅτι οὐκ Ἀθηναῖος εἶ τὸ ἀνέκαθεν, ὦ Ἀλκιβιάδη, εἴγε ἐξ Αἰακοῦ τὸ γένος εἴληφας. Ἦν γὰρ Αἰγινήτης ὁ Αἰακός· καὶ ὁ Αἴας ἐκ Τελαμῶνος Σαλαμίνιος ἦν καὶ εὐρυσάκης [11] ἐκ τούτου γενόμενος· καὶ ὅτι ἄδηλον μὴ οὐχ ὑπάρχεις [12] Διΐος, ἀλλὰ μοιχίδιος, διότι ἀπαραφύλακτοί εἰσιν αἱ τῶν Ἀθηναίων γυναῖκες, αἱ δὲ τῶν Λακεδαιμονίων ἐφυλάττοντο, ὡς ἐδήλωσεν ἡ πάντολμος κωμῳδία λέγουσα· Λακωνικὴ κλείς ἐστι καὶ οὐ περιοιοτέα [13]. Ἐφυλάττοντο δὲ, διότι χρησμὸν ἔλαβον

(8) Id est: *vitiavimus*. Proprie *ἐξυδαρόω* est in aquosam naturam converto. Vid. H. Stephan. Thes. l. gr. III. p. 1790. Idem est *ἐξυδατόω*. Geoponicc. IV. 8 p. 285 ed. Niclas. ubi de sarmento (*κλήματι*) in textu *ἐξαδροῦται*, in var. lect. *ἐξυδατοῦται*, aquosum fit, degenerat. Quae lectio editoribus arridet. Eodem verbo utitur Dioscorides lib. I. cap. 88. Cf. Gatacker. ad Marc. Antonin. VI. 30. p. 189, qui de vi hujus praepositionis in hoc verborum genere copiose exposuit. Simplicius in Epictet. p. 221. p. 354 Schwgh. — *ἀλλὰ καὶ ἐξυδαροῖ τὴν τῶν γινομένων δύναμιν ἡ τοῦ ποιοῦντος ῥαθυμία.*

(9) Delendum vid. *καὶ*.

(10) An scrib. *καί φησιν*.

(11) Scrib. *Εὐρυσάκης* et vid. Sophocl. Aj. 570. (575) et Suid. in v. *πόρπαξ*; in primis autem huc pertinet schema genealogicum, quod exhibet Scholiasta p. 76. Ruhnk.

(12) Scrib. vid. *ὑπάρχῃς*. Universe de hac constructione exposuit Hermannus: De Elips. et Pleonasm. p. 212. sqq. (in Museo Antt. Stud. 1) et accuratius ad Vigerum p. 796. sqq. Ed. 2.

(13) Laudat hunc versum Suidas v. *Λακωνικαὶ κλεῖδες* itemque alium Menandri ex Inviso (*Μισουμένῳ*), qui fere cum nostro convenit. *Λακωνικὴ κλείς ἐστιν, ὡς ἔοικέ μοι.* Vid. Menandri et Philemonis reliquiae cum notis Grotii et Clerici p. 126. Huc pertinet etiam locus ex Aristoph. Thesmophor. 421 sqq. *οἱ γὰρ ἄνδρες ἤδη κλειδία*
*αὐτοὶ φοροῦσι κρυπτὰ, κακοηθέστατα,*
*Λακωνίκ' ἄττα, τρεῖς ἔχοντα γομφίους.*
Noster versus ita scribendus: *Λακωνικὴ κλείς ἐστι κοὺ περιοιστέα*, ut est in marg. correctum. Conf. Erasmi et all. Adagia p. 352; inprimis vero Salmasium Pliniann. Exercitatt. pag. 651 — 656. Moser. [Adde Pallast des Scaurus p. 182. Ed. vernac. Mox. scr. *οἱ Λακ.*]

ὁ Λακεδαιμόνιοι ἀτυχήσειν, εἰ προβάλλοιντο βασιλέα χωλὸν τῷ γένει, τουτέστι μὴ ὄντα ἐκ τῶν Ἡρακλειδῶν [14]. Διὸ Λεοτυχίδου [15] βασιλεύσαντος Λακεδαιμονίων ἐπιμοιχιδίου [16] ὄντος κατόπιν ἔπραξαν οἱ Λακεδαιμόνιοι. Ὁ γὰρ Ἀλκιβιάδης λακωνίσας συνεγένετο τῇ τούτου μητρὶ, γυναικὶ τοῦ Ἄγιδος, ὅθεν ἐγένετο. Παρὰ δὲ Πέρσαις ἠξίουν φυλάττειν ἀρκούμενοι φυλακῇ τῷ δέει τῶν ἑπομένων κολάσεων. Καὶ οὕτω μὲν ἀπὸ γένους· Ἀπὸ δὲ γενέσεως, ὅτι παρὰ μὲν Πέρσαις ἐκ πρώτης ἀφετηρίας καὶ πρώτης βαλβίδος [17] συναίσθησιν παρέχει τῆς ἑαυτοῦ βασιλείας ὁ μέλλων βασιλεῦσαι πᾶσι τοῖς ὑπηκόοις. Νόμος γὰρ ἦν τὸ πρεσβύτερον βασιλεύειν· εὐθὺς γοῦν μύουσιν [18] αὐτῷ καὶ σπένδουσι, τιμῶντες ὡς θεὸν Πέρσαι τε καὶ πᾶσα ἡ Ἀσία. Ἦν γαρ πρὸ Ἀλεξάνδρου ὑπὸ Περσῶν [19] πᾶσα ἡ Ἀσία. Ἀλκιβιάδου δὲ τεχθέντος οὐδὲ τοῖς γεποσὶ [20] συναίσθησις γίνεται. Ἀπὸ δὲ τῆς τροφῆς, ὅτι παρ' ἐκείνοις μὲν τεχθέντος τοῦ βασιλέως εὐθὺς ἐν τοῖς βασιλείοις ἐπεμελοῦντο οἱ δοκοῦντες ἄριστοι τῶν εὐνούχων, καὶ τὰ τούτου μόρια εἰς κάλλος διαπλάττουσι, γρυπὴν καὶ τὴν ῥῖνα ποιοῦντες, ἐνδεικνύμενοι τὸ ἡγεμονικὸν εἶναι καὶ βασιλικὸν τὸν παῖδα· οὕτω

(14) Exstat hoc oraculum apud Plutarchum in Agesilao c. 3. et ap. Pausan. III. 8. 5. cujus duo priores versus sunt:

*Φράζεο δὴ, Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,*
*Μὴ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασιλεία.*

Universe hoc caput conf. de Alcibiadis cum Timaea, regis uxore, adulterio. Qua de re vide praeterea Plutarch. Lysandr. cap. 22. Alcib. cap. 23. et cf. Cragium de Rep. Lacedaem. II, 2. p. 59. [p. 86. ed. 8vo.] Moser.

(15) Scrib. *Λεωτυχίδου*. Plutarch. Agesil 3 et 4.

(16) Vocabulum *ἐπιμοιχίδιος* non est in Lexicis. De similibus Adjectivis cf. Lobeck. ad Phrynich. p. 556. De voce *κατόπιν* vid. Suid. II. p. 281 et Tim. Lex. Platon. p. 154 ibiq. Ruhnken. Hoc loco est: *minus prospere* quod vernacule dicitur: ihre Sachen giengen hinter sich.

(17) Tangit proverbium, *ἀπὸ βαλβῖδος*, *a carcere*, i. e. a principio. Vid. Zenob. II. 7. Pollux. III. 147. Harpocration in *βαλβίς* ibiq. Valesium. Cf. etiam J. Chr. Wolf. ad Liban. epist. p. 650. — Ad argumentum hujus loci consule viri nobilissimi ac doctissimi Hammeri disputata in annalibus vernaculis Vindobonensibus; Vol. VIII. p. 381.

(18) Leg. *θύουσιν* ex Dialogo. (19) Supr. lin. *αις*.

(20) Sic. in marg *ἴσ. γείτοσι.* et ita leg.; in dialogo enim est *γείτονες*.

γὰρ καὶ ὁ ἀετος γρυπός ἐστι, ὡς βασιλικός [21]. Καὶ διὰ Κύρον [22] δὲ τοῦτο ἐπετήδευον, γρυπὸν γενόμενον· ὁ δὲ βασιλικώτατος ἦν καὶ πραότατος. Σὺ δὲ τεχθεὶς Θράττης ὠνητῆς τὴν ἐπιμέλειαν εἶχες, ἥτις οὔδε [23] ἐφρόντισε τοῦ κάλλους σοῦ· οὐδὲ γὰρ ἔχεις πλείω ὧν ἡ φύσις ἐδωρήσατό σοι. Ἀπὸ δὲ παιδείας, ὅτι ἐκεῖνοι καὶ προπαιδεύονται καὶ παιδεύονται. Μετὰ γὰρ ἕβδομον ἔτος διδάσκονται θήρας ποιεῖσθαι οὐκ ἰχθύων οὐδὲ πτηνῶν, ἀλλὰ τετραπόδων. Ἐν δὲ τῇ δευτέρᾳ ἑβδομάδι [24] τέσσαρας παιδαγωγοὺς τούτοις ἀφωρίζουσι· καὶ ὁ μὲν αὐτῶν σοφίαν διδάσκει, ὁ δὲ δικαιοσύνην, ὁ δὲ ἀνδρίαν, ὁ δὲ σωφροσύνην. Ταύτην γὰρ ὁ Ξενοφῶν ἱστορεῖ [25] περὶ τῆς τῶν Περσῶν παιδείας. Σὺ δὲ οὐδὲν τούτων ἔμαθες, εἰ μὴ γράμματα, κιθαρίζειν, παλαίειν, Περικλέους τάξαντός σοι παιδαγωγὸν Ζώπυρον, ἀνάπυρου [26] ὄντα τὸ σῶμα καὶ ἀχρεῖον

(21) De aquila, ave regia, vid. Diod. Sic. I, 87. extr. p. 98. ib. Wess. Nimirum Oromasdes (Ormusd), qui idem est qui Jupiter apud Persas (Diogen. Laërt. I. 8), sacram alitem eandemque sui ipsius tesseram habebat accipitrem et aquilam. Vid. quae posui in Mythologiâ I. 723 sq ed. alt. ubi Olympiodorum adhibui. Cf. ad antecedentia ibid. p. 730 et notam 84. Adde Josephum de Hammer in Annalib. Vindobonn. Vol. IX p. 64.

(22) Scrb. Κῦρον.

(23) Legendum aut οὐδέ aut οὐδέν.

(24) Respicit ad illud dialogi δὶς ἑπτὰ δὲ γενομένων ἐτῶν. Laudat haec eadem usque ad vocem βασιλικὰ Appulejus et ipse Platonicus in Apologia p. 447. p. 290 Elmenh. Cf. etiam Ciceron. de Divinat. I, 41 ibiq. Davisium.

(25) Vid. Cyripaed. I. 2. cf. Schol. Platon. p. 77 Ruhnken. et praecipue quae ex ipsis Persarum aliorumque orientalium scriptorum monumentis huc facientia nuper protulit Jos. de Hammer in Annalib. literarr. Vindobonn. Vol. VII. p. 221 et Vol. VIII. p. 382. Ceterum quae h. l. memorantur sunt quatuor illae virtutes primariae (cardinales vulgo dicunt) de quibus quae plurima disputarunt veteres philosophi strictim apteque congessit, nec Platonico loco omisso, Carol. Beier. in Excurs. X. ad Cic. de Officc. p. 330 sqq. De Magorum disciplinâ auctore Zoroastre per manus traditâ vid. Hemsterhus. ad Luciani Necyom. cap. 6. p. 338 sqq. Bipont. et Mytholog. nost. Vol. I. p. 667—678.

(26) Ἀνάπυρος esse videtur vox nihili, scribendumque ἀνάπηρον quod infra de Zopyro usurpatur. Ita mox γήρους mutandum in γήρως, quod est in dialogo; cum antiquissimam formam γῆρος hoc sensu nonnisi LXX. interpretes habeant; vid. Sturz. de Dialect. Maced. et Alexandrin. p. 155. Deinde paulo inferius ἐπίστησε mutandum in ἐπέστησε, quod est in Edd.

ὑπὸ γήρους· ὃν εἰ μὴ τοιοῦτος ἦν, οὐδὲ αὐτῷ ἂν σε ἐπίστησε καὶ παρέσχεν. Ἀλλὰ ποίας ἀρετὰς ἐπαιδεύοντο οἱ Πέρσαι; Φαμὲν ὅτι οὐ τὰς φυσικάς· αὗται γὰρ ἀδίδακτοί εἰσιν· οὐδὲ μὴν τὰς πολιτικάς, ἐπεὶ οὐκ ἂν ἔλεγον, ὅτι ὁ μὲν τόδε, ὁ δὲ τόδε διδάσκει, ἀλλὰ πάσας εἷς μόνος ἱκανὸς ἦν διδάξαι, διότι αὗται ἀντιστρέφουσιν ἀλλήλαις. Ἀλλὰ τὰς ἠθικάς, αὗται γὰρ καὶ παιδεύονται καὶ οὐκ ἀντιστρέφουσιν. Ἀλλὰ πῶς ἂν ἀληθεύσει ὁ Πλάτων νῦν μὲν λέγων αὐτοὺς σοφίαν παιδεύεσθαι, ἐφεξῆς δὲ λέγων τῷ Ἀλκιβιάδῃ, ὅτι δεῖ σε ἐπιμελήσασθαι σαυτοῦ, πάτριον γὰρ τῇ πόλει σοφίᾳ νικᾶν. Εἰ οὖν κἀκεῖνοι σοφίαν ἐπαιδεύοντο, διατί κατ' ἐξαίρετον περὶ τῶν Ἀθηναίων φησίν; Ἢ δύναται ἀληθεύειν ὁ χρόνος, καὶ μὴ ἀληθεύειν κατ' ἄλλον καὶ ἄλλον χρόνον· οὐδὲ γὰρ ἄτοπον πάλαι μὲν τοιαύτην πολιτείαν αὐτοὺς ἔχειν, ἐπὶ δὲ τῶν χρόνων Σωκράτους μεταπεσεῖν, καὶ μὴ δυσχερὲς εἶναι τὸ ἐπεγκαλέσασθαι τὴν πολιτείαν ταύτην. Διὸ οὔτε τὸ ἀπὸ τοῦ γένους ἀληθὲς ἦν· ὁ γὰρ Δαρεῖος ἐβασίλευσεν αὐτῶν διὰ χρεμετισμοῦ ἵππου [27], μὴ ὢν Ἀχαιμενίδης· ὥστε παλαιὰν πολιτείαν ἱστορεῖ. Ἢ δυνατὸν λέγειν, ὅτι ἴσως καὶ Δαρεῖος Ἀχαιμενίδης, εἰ καὶ μὴ υἱωνός, ἀλλ' ἐκ πλαγίου γένους· οἷον, εἰ καὶ μή, ὡς φησὶν ὁ ποιητής· υἱός, υἱωνός τε, Διὸς νεφεληγερέταο [28]· ἀλλ' οὖν ἢ θυγατριδοῦς [29] ἦν, ἢ καὶ ἄλλως συγγενής, ἐπεὶ οὐκ ἂν ισ [30] ἐμάχετο περὶ βασιλείας μὴ ὢν Δίϊος.

Ταῦτα ἔχει ἡ θεωρία: — Πότερον εἰκὸς ἀμείνους γίνεσθαι [31] φύσεις; Ἐρωτᾷ αὐτὸν ὅτι νομίζεις ἀμείνους εἶναι τοὺς καταγομένους ἐκ γενεῶν καὶ προγόνων γενναίους

(27) Vid. instar omnium Herodot. III, 84. sqq. ib. interpp. et Iustin. I, 10. Quod paulo antecedit vocabulum ἐπεγκαλεῖσθαι, non est in Lexicis.

(28) Vid. Homeri Iliad. ε,631. ubi est Υἱός θ' υἱωνός τε κ. τ. λ. Ad argumentum consule Herodotum I. 209 sq. III. 70. et praecipue VII. 11 ubi stemmate exhibito Darii Hystasp. fil. origo ab Achaemene repetitur.

(29) Scr. — δοῦς.

(30) Voluit librarius sine dubio ἴσως, sed commode abest haec vox.

(31) Edd. γίγνεσθαι.

δὲ [32] φήσεις τοὺς εὐγενεῖς, ἀλλ' οὐ τοὺς ἰσχυρούς; ὡς ἐπίπαν γὰρ οἱ ἐξ εὐγενῶν ἀμείνους εἰσί. Διὸ καὶ παρὰ τῷ ποιητῇ· Λάθρα Λαομέδοντος ὑποσχὼν θηλέας ἵππους [33]. Πεπεισμένοι γάρ εἰσι πάντες τοὺς ἐξ εὐγενῶν, εὐγενεῖς ἔσεσθαι. Τοῖς οὖν ἐκείνων τὰ ἡμέτερα ἀντιθιθέντες [34] οὐ πολιτείαν Ἀθηναίων πρὸς Περσικὴν ἠβουλήθη συγκρῖναι, ἀλλὰ πολιτείαν πρὸς Ἀλκιβιάδην. Ὡς δὲ ἐρωτικὸς οἰκειοποιεῖται τὸν νέον· οὐ γὰρ βούλεται ὁ ἐρωτικὸς μόνος ἀνάγεσθαι [35], ἀλλὰ μετὰ τῶν παιδικῶν. Τὸ δὲ Ἡρακλέους [36] καὶ τὸ Ἀχαιμένους. Ἐκ γὰρ Διὸς καὶ Δανάης Περσεύς· Περσέως δὲ ἀπὸ μὲν Ἀνδρομήδας Ἀχαιμένης, ἐξ ἄλλων δὲ Ἀλκαῖος καὶ Ἐλεκτρύων [37]· καὶ Ἀλκαίου μὲν Ἀμφιτρύων, Ἠλεκτρύονος δὲ Ἀλκμένη [38], Ἀμφιτρύονος δὲ καὶ Ἀλκμήνης Ἡρακλῆς. Διὸ Ἡρακλῆς ἑκατέρωθεν Δΐος, καὶ γὰρ ἐκ πατρὸς καὶ μητρὸς πολὺ τὸ Δΐον εἶχε καὶ τὸ γόνιμον. Λέγεται οὖν ἐν μιᾷ νυκτὶ πεντήκοντα γυναιξὶ συγγένεσθαι καὶ πάσας ἐξ αὐτοῦ τετοκέναι [39]. Καὶ ἀπορεῖ ὁ φιλόσοφος Πρόκλος διατὶ καὶ τοὺς Λακεδαιμονίους δυνάμενος δεῖξαι δι' Ἡρακλέους ἀπὸ Διὸς καταγομένους [40], τοῦτο μὲν οὐ ποιεῖ, διὰ δὲ τοῦ ἀνάγειν εἰς Περσέα δείκνυσιν αὐτούς [41]. Καὶ λύει αὐτὸς, ὅτι τοῦτον εἰκὸς καὶ ὡς πτερωτὸν προετίμησεν. Ἑκάτερος μὲν

(32) Lacuna videtur expleri posse scribendo *καὶ τούςδε.* Moser.

(33) Est versus ex Iliad. ε,269. ubi scribitur *Λάθρῃ.* [et recte *θήλεας.*] (34) Scrib. *ἀντιτιθέντες* vel potius *ἀντιτιθείς.*

(35) Cf. Plotin. p. 57. et Scholiast. Platon. ad Gorg. p. 129 ed. Ruhnken.

(36) Edd. add. *τε γένος.*

(37) De Alcaeo vid. Herodot. I. 7. Apollod. II, 4. 4. De Electryone vero (scrb. *Ἠλεκτρύων*) Hesiod. Scut. Herc. 3. Apollon. Rhod. I, 746. ib. Schol. Apollod. II, 4, 5. sq. ubi etiam Amphitryonem Alcaei (*Ἀγκαίου* est in Schemate genealogico apud Schol. in Plat. p. 75. R) filium fuisse edocemur, itemque Alcmenam Electryonis et Anaxus filiam.

(38) Scr. *Ἀλκμήνη.*

(39) Vid. Apollodor. II. 4. 10 p. 156 et II. 7, 8 p. 226 ibiq. Heyn. p. 192. de his quinquaginta filiabus Thespii, regis Thespiarum in Boeotiâ. [Scrib. *συγγενέσθαι.*]

(40) Vid. Herodot. VI. 56—61 p. 599. cf. Cragius de rep. Laced. I, 3. p. 11. et Nonni Narrat. prima in Gregor. Naz. de orat. in Basil. in Meletemm. nostris I. p. 68.

(41) Aut addendum aut supplendum *ἐκ Διὸς εἶναι.*

γὰρ ἐπὶ καθάρσει τῶν κακῶν γέγονε, καὶ γὰρ καὶ ὁ Ἡρακλῆς· διὸ φησὶ περὶ αὐτοῦ ὁ Πείσανδρος· δικαιοτάτου δὲ φονῆος [42]. Ἐπὶ γὰρ καθαρότητα φόνους ἐποίει· ἀλλὰ καὶ ὁ Περσεὺς τοιοῦτος· εἶχε δὲ καὶ τὸ εἶναι πτερωτὸς, ὡς ἐδήλωσεν ἡ κωμῳδία καὶ ἡ Γοργὼ καὶ ἡ ἅρπη· οἱ μὲν Ἄργους τε καὶ Λακεδαίμονος, ἐξαίρων τὴν Πελοπόνησον [43]· τοῦτο φησὶ διότι πάλαι αὕτη εἰς πέντε μοίρας διῄρητο· Ἀργολικὴν, Μεσσηνιακὴν, Ἀρκαδικὴν, Ἠλιακὴν, Λακωνικήν. — Ὧν αἱ γυναῖκες δημοσίᾳ [44] φυλάττονται. Διὰ γὰρ τὸ φυλάττεσθαι τὸ τῶν Ἡρακλειδῶν γένος τῇ βασιλείᾳ οἱ ἔφοροι τὰς γυναῖκας τῶν βασιλέων ἐφύλαττον. τρία δὲ ἦν παρ᾽ αὐτοῖς ἐπιτίμια γάμου· ἀγαμία, βραδυγαμία, κακογαμία. Κακογαμίαν δὲ ἔλεγον τὴν διὰ χρημάτων γινομένην· πρῶτον μὲν ἑορτάζουσι πάντες· ἐντεῦθεν ἀπὸ τῆς γενέσεως δείκνυσιν· ἐξ αὐτῆς γὰρ βαλβίδος συναίσθησιν παρέχεται ὁ τικτόμενος τοῖς ὑπηκόοις· διὸ πάντες εὐθὺς θύουσι καὶ τὰ γενέθλια [45] κατ᾽ ἐνιαυτὸν ἕκαστον τιμῶσι τοῦ βασιλέως. Διὸ τιμῶσιν οἱ Πέρσαι τὰ κατ᾽ οὐρανὸν, καὶ τούτων μάλιστα τὸν ἥλιον· διότι καὶ κατ᾽ ἐνιαυτὸν ἐν τοῖς γενεθλίοις ἑορτάζουσιν, ὡς τοῦ ἐνιαυτοῦ συμβόλου ὄντος τοῦ ἡλίου· ἐνιαυτὸς γὰρ λέγεται, ὡς ἐν ἑαυτῷ ποιῶν τὸν ἥλιον [46]. — Τὸ τοῦ κωμῳδοποιοῦ, οὐδ᾽ οἱ γείτονες [47]. — Πλάτων γὰρ ὁ κωμικὸς [48] τοῦτο παρατίθε-

(42) Fragmentum Heracleae Pisandri Camirensis Rhodii, de quo poëta cyclico ejusque carmine dicendi otium nobis fecit Heynius. Vid. ejus Excurs. I. ad Aeneid. II. Adde Procli Chrestomath. ad calc. Hephaestionis de Metris pag. 377. ed. Gaisford. ibiq. not. Ad argumentum consule Mytholog. nostram I. p. 795. sqq. ubi haec ipa Olympiodori verba adhibui.

(43) Scr. Πελοπόννησον. (44) Scrib. δημοσίᾳ.

(45) Cod. Clark. et Bekker: τὰ γενέσια. Scholiastes Ruhnkenii p. 77 cum Olympiodoro facit. Tu vid. interprr. ad h. l. dialogi; adde Lobeck. ad Phrynichi Eclogg. p. 103: De die natali a Persis celebrari solito vid. Herodot. I. 133 quae inde sumsit Athenaeus IV. 143 f. p. 62 ed. Schwgh.

(46) J. Laur. Lydus de menss. p. 30 ὁ ἐνιαυτὸς ὠνομάσθη παρὰ τὸ ἐν ἑαυτῷ κινεῖσθαι αὐτόν. De qua etymologiâ ipsi viderint.

(47) De hoc proverbio vide Erasmi et all. Adagia p. 660 et 548 qui, cujusnam Comici haec sint, acquirunt, cujus nomen exhibet nobis Olympiodorus. Sed binos fuisse constat Platones poetas comicos. Vid. Fabricii Bibl. Gr. II. p. 485 Harles.

(48) Vid. Scholl. in Plat. p. 77. Ruhnk. quae item videnda pag. ead. ad sequentia Ἐπειδὰν δὲ κ. τ. λ.

ται. Ἐπειδὰν δὲ ἑπταέτεις [49] γένωνται —. κατά γὰρ ἑπτὰ ἔτη ἐνήλλαττον τὴν ἐπιμέλειαν· διότι μία ἐστὶν ἑβδομὰς ὡς κρίσιμος [50], καὶ ὅτι τὰ ἑπτάμηνα ζώσιμα· καὶ ὅτι ἑπτὰ λέγεται ὡς σεπτά. Διὸ καὶ οἱ Ῥωμαῖοι τὸν ἀριθμὸν σεπ-

(49) Edd. ἑπτέτεις. Cod. Clark. ἑπτέτεις γένωνθ'.

(50) Fluxerunt haec de antiquorum hominum opinione, medicorum etiam; cf. Hippocrat. de opt. partu p. 258 sq; de carn. p. 254. Qua de re quae nuper ad Herodot. VI. 69 apposui in Commentt. Herodott. I. p. 240. repetere nolo. Alia adscribam, ad quae Olympiodori adjecta est mentio. Q. Serenus Samonicus de Medicina vs. 625 sq.

„At qui olim menses minus octo moratus in alvo“
„Inrumpit thalamos, et nexus solvit inertes:“

Ad haec Keuchenius in notis p. 222 ed. Amstel. 1662: „In libris „περὶ ἑβδομάδων habet Hippocrates, septenarium numerum creandis „inesse corporibus. Nam semen fusum et fomitè matris exceptum „septimo die in sanguinem commutari, septimo mense perfici ac ple- „num nasci, legitimamque partus dinumerationem mansuram, infanti- „umque dentes a septimo mense prorumpere. [Cum Aristotel. hist.anim. Lib. VII. C. 1. §. 1. C. 4. §. 1 et 5. cf. Censorinus de die natali. c. 14. ubi etiam de κρίσιμος.] „Idem Hippocr., pergit Keuchen., περὶ ὀκταμήνου. „οἱ ἑπτάμηνοι ἐκ τοῦ ἡμίσεος τοῦ ἐνιαυτοῦ γίνονται, quam anni par- „tem dimidiam censet, initio libelli περὶ ἑπταμήνου clare docet, „nempe centesimum octogesimum secundum diem. — Olympiodorus „in Alcibiadem Platonis commentario: τιμία ἐστὶν ἡ ἑβδομὰς ὡς „κρίσιμος, καὶ ὅτι ἑπτάμηνα (sine articulo) ζώσιμα.“ Hactenus Keuchenius, cujus lectio reddenda est Olympiodoro. Vid. sequens τιμιωτέρου. Illud διότι hausit priorem syllabam τι. Illud κρίσιμος explicat J. Laur. Lydus de menss. p. 33 cum de septenario numero dicit: λέγεται δὲ καὶ κρίσις κτλ. Proxima ex his lucem nanciscuntur: Theologumena Arithmett. p. 44. p. 43 Ast. Ὅτι τὴν ἑπτάδα οἱ Πυθαγορικοὶ οὐχ ὁμοίως τοῖς ἄλλοις φασὶν ἀριθμοῖς, ἀλλὰ σεβασμοῦ φασὶν ἀξίαν· ἀμέλει σεπτάδα προσηγόρευον αὐτήν, καθὰ καὶ Πῶρος ὁ Πυθαγορικὸς ἐν τῷ περὶ τῆς ἑβδομάδος φησί· κτλ. Cf. Animadvv. p. 184. ed. Ast. ubi commode hic locus Philonis adponitur de mundi opific. p. 21 F: — Ῥωμαῖοι δὲ καὶ προστιθέντες τὸ ἐλλειφθὲν ὑφ' Ἑλλήνων στοιχεῖον τὸ σ τρανοῦσιν ἔτι μᾶλλον τὴν ἔμφασιν ἐτυμωτέραν, σέπτεμ προσαγορεύοντες ἀπὸ τοῦ σεμνοῦ, καθάπερ ἐλέχθη καὶ σεβασμοῦ. Adde Etymolog. Gud. p. 197. Proinde in proximis Olympiodori, pro σεπτοὺμ repone: σέπτεμ. Reliqua fortasse sic expedias: ἀπὸ τοῦ Σ (pro Ζ) ὡς τιμιωτέρου τὸ ὅλον, ὡς τὸ ——— κεφαλή. „Quapropter etiam Romani hunc numerum *sep-* „*tem* appellant ab S (scil. incipientes), quod in toto honorificen- „tius est velut illud: *Teucre carum caput.*“ Nimirum hac sententia: litera S (Σ), tanquam *caput* vocabuli *septem*, hoc totum vocabulum venerabilius reddit. Nisi malueris legere: σέπτεμ καλοῦσιν ἀπὸ τοῦ Σ, ὡς τιμιωτέρου τοῦ ὅλου (sc. ὄντος quod fortasse etiam excidit) „Romani *septem* vocant ab S (incipientes), quoniam „(sic) totum (vocabulum) venerabilius redditur.“ Videlicet praefixa hac litera initiali, tanquam *capite*. Quomodo Homericus versiculus illuc pertineat, facile intelligas, si adhibueris quae apud Eustathium ad hujusmodi Homericos locos leguntur: ἀπὸ τοῦ τιμιωτάτου μέρους (κεφαλὴν explicat) ὅλος ὁ ἄνθρωπος λέγεται.

*τουμ* καλοῦσιν, ἀπὸ τοῦ Ζ, ὡς τιμιωτέρου τὸ ὅλον· ὡς τό· Τεῦκρε φίλη καφαλή [51]. — *Οὓς ἐκεῖνοι βασιλείους παιδαγωγούς* —. εἰ μὴ πρὸς Ζώπυρον παρέβαλλον τούτους, παιδαγωγὸν ὄντα εὐτελῆ, ἐπεὶ διδασκάλους ἂν αὐτοὺς ἐπωνόμαζον διδάσκοντας αὐτοὺς τὰς ἠθικὰς ἀρετάς. — *Οἱ ἄριστοι δόξαντες·* ἀντὶ τοῦ καθ' ἑκάστην ἡλικίαν οἱ πεῖραν δεδωκότες ἑαυτῶν ἐν ταῖς πράξεσι· τούτους γάρ φησι τοὺς ἄριστα δόξαντες. [52] — *Ὅ τε σοφώτατος καὶ ὁ δικαιότατος.* — Προτάττει τὴν σοφίαν ὡς τοῦ τιμιωτέρου ἐν ἡμῖν μορίου οὖσαν, τοῦ λόγου· εἶτα εὐθὺς τὴν δικαιοσύνην, ὡς δι' ὅλης τῆς οὐσίας ἡμῶν διελθοῦσαν· καὶ τὸν μὲν σοφίαν διδάσκοντα φησὶ μαγίαν διδάσκειν. Ἵνα δὲ μήτις οἰηθῇ μαγίαν λέγειν τὴν μαγγανίαν [53] καὶ γοητείαν, ἐπάγει. *Ἔστι δὲ τοῦτο θεῶν θεραπεία.* Ἐτίμων γὰρ οἱ Πέρσαι, ὡς εἴρηται, τὰ κατ' οὐρανὸν, οὓς θεοὺς καλεῖ παρὰ τὸ ἀεὶ θεῖν [54]. Οὐ γὰρ τὴν γοητείαν φησὶ τὴν παρὰ Δημοσθένει λεγομένην, περὶ τῆς μητρὸς Αἰσχίνου [55]· ἦν γὰρ οὗτος μητραγύρτης. — *Διδάσκει δὲ καὶ τὰ βασιλικά·* εἰ γὰρ διδακτὴ ἡ βασιλεία, οὐκ ἄρα κατὰ κλῆρόν ἐστιν αὕτη, ἀλλὰ κατ' ἐπιστήμην· καὶ οὐ δεῖ ἀποδέχεσθαι τὴν κατὰ κλῆρον γινομένην βασιλείαν. — *Ὁ δὲ δικαιότατος ἀληθεύειν διὰ παντὸς τοῦ βίου.* — Οὐ γὰρ μόνον ἐν ταῖς πράξεσι θεωρεῖται ἡ δικαιοσύνη, ἀλλὰ καὶ ἐν τοῖς λόγοις· ὁ δὲ δίκαιος τὰ προσήκοντα ἑκάστῳ ἀπονέμει, καὶ τοῖς λόγοις ἄρα τὸ προσῆκον ἀπονέμων ἀληθεύσει· οὐ γὰρ

(51) Est versus ex Iliad. Θ. 281 desumtus. (52) Scrib. *δόξαντας*.

(53) Scr. *μαγείαν* et *μαγγανείαν*. Sic certe optimi libri mscr. Plotini Enneadum. De re cf. quae congessi ad libr. de pulcrit. p. 348 sqq. (54) Vid. Symbolik u. Mythol. I. p. 169. Ed. 2.

(55) De Aeschine vide, praeter multa in eum contumeliose dicta apud Demosthenem, Libanii Argumentum Orationis Demosth. de falsa legatione p. 197. ed. Wolf. [Ed. Francf. anni 1604 p. 291.] Vol. I. p. 333 Reisk. [Inprimis de coron. c. 41. p. 270: *τὴν δὲ (Αἰσχίνου) μητέρα, ἣν Ἔμπουσαν ἅπαντες ἴσασιν καλουμένην*. vid. quos laudat Tayl. Nisi dixeris Olympiodorum *μνημονικῷ ἁμαρτήματι* Theoridem spectare c. Aristog. p. 793 sq. ubi de parentibus Aristogitonis locutus haec adiecit Orator: *οὑτοσί (ὁ τοῦ Ἀριστογείτονος ἀδελφός)* —, *ἐφ' οἷς ὑμεῖς τὴν Θεωρίδα* (sic Harpocr. qui addit: *εἰ γνήσιος ὁ λόγος*), *τὴν Λημνίδα, τὴν φαρμακίδα, καὶ αὐτὴν καὶ τὸ γένος ἅπαν ἀπεκτείνατε, ταῦτα λαβὼν τὰ φάρμακα καὶ τὰς ἐπῳδὰς παρὰ τῆς θεραπαίνης αὐτῆς, ἣ κατ' ἐκείνης τότ' ἐμήνυσεν (ἐξ ἧςπερ ὁ βάσκανος οὑτοσὶ πεπαιδοποίηται), μαγγανεύει καὶ φενακίζει καὶ τοὺς ἐπιλήπτους φησὶ ἰᾶσθαι.*] De voce *μητραγύρτης* vid. Ruhnken. ad Tim. Lex. Platon. p. 11. et cf. Porsoni. Adversaria p. 125 p. 109 ed. Lips.

τὰ ψευδῆ ἀπονέμει. — *Μηδὲ ὑπὸ μιᾶς ἄρχεσθαι τῶν ἡδονῶν.* — Ἄτοπον γάρ ἐστι κρατήσαντα τῶν πολεμίων ὑπὸ τῶν λαφύρων νικᾶσθαι, εἰ τύχοιεν ὡραῖαι γυναῖκες οὖσαι, μὴ κρατούμενοι δὲ ὄντως ἐλεύθεροι εἴημεν, μηδένα δεδείοτες [56]. Δοῦλος γὰρ εἴρηται παρὰ τὸ δέος [57]· ὁ γὰρ δοῦλος, ἢ δοῦλος, δέδιε καὶ ὅλως ἐστὶ τοῦ δεσπότου, ὡς ἐν νῷ αὐτὸν ἔχων. — *Τὸν ἀχρειότατον ὑπὸ γήρως* [58]· ἀλλὰ καὶ ἀνάπηρον ὄντα, ὃν οὐκ ἂν κατέστησέ σοι παιδαγωγὸν, μὴ τοιοῦτον ὄντα καὶ ἀχρεῖον· καὶ γὰρ καὶ νῦν τοιοῦτοί εἰσιν οἱ παιδαγωγοὶ τῶν παίδων. — *Διῆλθον δὲ ἄν σοι καὶ τὴν ἄλλην* [59] *τῶν ἀνταγωνιστῶν.* — Τὸ κατὰ παράλειψιν σχῆμα, ὃ καὶ ἐξογκοῖ τὸν λόγον καὶ τὸν λέγοντα, καὶ τῆς σιωπήσεως μείζονα αἰνίττεται. Φησὶν οὖν, ὅτι εἶχον ἄν σοι εἰπεῖν καὶ τὰ ἄλλα, εἰ μὴ ἐνόμιζον ἀρκεῖν ταῦτα. — *Εἰ μή* [60] *τις ἐραστής σου τυγχάνει ὤν.* — Ἔδει εἰπεῖν αὐτὸν, τῆς σῆς ἐπιμελείας οὐδεὶς φροντίζει· ὁ δὲ διὰ τὸ φιλοκάθολον [61] τῶν φιλοσόφων φησὶν, ὅτι οὐδὲν φροντίζει σοῦ, πλὴν εἴ τις τύχοι ἐραστής σου τυγχάνων [62].

## Πρᾶξις σὺν θεῷ ιη'.

*Εἰ δ' αὖ ἐθέλεις εἰς πλοῦτον* [1] *ἀποβλέψαι.* — Παραβαλὼν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τῷ Περσῶν βασιλεῖ καὶ δείξας αὐτὸν ἔκ τεσσάρων τινῶν ἡττόμενον [2] ἐκείνου,

(56) Scr. *δεδιότες.*

(57) Alia vocis *δοῦλος* etyma proferunt Etymol. M.. Etymol. Gud. et Phavorinus, hoc omisso. (58) Sup. ut est in Edd. *ως.*

(59) Edd. *δὲ καὶ τὴν ἄλλην ἄν σοι.* (60) Edd. *εἴ τις.*

(61) Vox *φιλοκάθολος* non est in Lexicis.

(62) Mira loquendi ratio: *τυγχάνω τυγχάνων*, pro vocabulo posteriore videtur legendum *ὤν*. Sed fortasse ipse Olympiodorus ita lapsus est; si modo hoc est labi. Plato enim in Phaedro p. 242. b. c. Bip T. X. Bekk. I, 1. p. 32. ait *καὶ τὸ εἰωθὸς σημεῖόν μοι γίγνεσθαι ἐγένετο.* Similis paronomasia est in Phaedone p. 4 *τύχη — ἔτυχε*, de qua exposuit Wyttenbach. in Annot. p. 113 et p. 335. cf. eundem ad Eunapium in Proaeresio p. 86.

(1) Edd. *πλούτους.* Pro *ἐθέλεις* cod. Bodlej. *ἐθέλοις.* De hac formula vid. Heindf. ad Cratyl. p. 166 et ad Phaedon. p. 56. Quod idem in sequenti membro nostri dialogi pro *εἰ δ' αὖ ἐθελήσεις* mavult *ἐθέλεις*, in eo nec codd. Bodlejanos neque Bekkerum adsentientes habet. (2) Sup. recte *τω.*

ἀπὸ πατρίδος, ἤτοι γένους, ἀπὸ γενέσεως, ἃ γενέθλια ἐκάλει, ἀπὸ τροφῆς, ἀπὸ παιδείας, καὶ διελὼν τὴν παιδείαν εἰς προπαιδείαν καὶ παιδείαν· ἐπειδὴ μὴ παρέβαλεν αὐτὸν καὶ τοῖς τῶν Λακεδαιμονίων βασιλεῦσι, καὶ ὑπέδειξεν ἐκ τῶν αὐτῶν τεσσάρων ἡττώμενον καὶ τῶν Λακεδαιμονίων. Νῦν παραβάλλει τὸν νέον εἰς δίαιταν καὶ πλοῦτον, κοινῶς ἀμφοτέροις, καὶ δυσχεραίνει μὲν, ἐφ' οἷς ὅλως ἐν τούτοις παραβάλλει τὸν Ἀλκιβιάδην. Εἰ γὰρ ὁ ἄνθρωπός ἐστιν ἡ ψυχὴ, οὐ δεῖ ἐν τούτοις τὴν παραβολὴν ποιεῖσθαι· δυσχεραντικὸς δὲ μᾶλλόν ἐστιν ἐν τῇ παραβολῇ τοῦ πλούτου, διότι ἔξωθεν ἡμῶν μᾶλλόν ἐστιν οὗτος. Ἡ μὲν γὰρ δίαιτα περὶ σῶμα, ὁ πλοῦτος δὲ ἔξωθεν· διὸ ἐπὶ μὲν τῆς διαίτης φησὶ τὸ εἰ δ' αὖ ἐθέλεις, ἐπὶ δὲ τοῦ πλούτου· μὴ δὲ τοῦτο [3] ἡμῖν ἄῤῥητον ἔστω. Καὶ φησίν· εἰ καὶ σὺ, ὦ Ἀλκιβιάδη, τῇ τρυφηλῇ διαίτῃ χαίρεις· (τοιοῦτος γὰρ ἦν ὁ Ἀλκιβιάδης, ὡς δηλοῦσιν οἱ γράψαντες περὶ τῆς Ἀλκιβιάδου τρυφῆς πολύστιχα βιβλία [4], ὥςπερ φέρεται ἔτι νῦν μαγειρικὰ βιβλία) ἀλλ' οὖν ὑπερβαίνει τὴν σὴν δίαιταν ἡ Περσικὴ τράπεζα, καὶ τῆς Συβαριτικῆς τρυφηλοτέρα οὖσα· εἰ δὲ Λακεδαιμόνιοι μὴ χρῶνται τρυφῇ, ἀλλ' οὖν νικᾷ καὶ ὑπ' ἐκείνων τῇ λιτῇ διαίτῃ. Ὅθεν ἀποροῦσι, πῶς ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τοῖς Πέρσαις παραβάλλει κατὰ τὴν τρυφήν· μᾶλλον γὰρ αὐτὸν ποιεῖ ζηλοῦν αὐτοὺς κατὰ ταύτην, καὶ μιμεῖσθαι αὐτοὺς ταύτῃ. Λύομεν δὲ ἡμεῖς τοῦτο λέγοντες, ὅτι ἀλλ' οὐ πρὸς Πέρσας παραβάλλει αὐτὸν μόνον τρυφῶντας, ἀλλὰ καὶ πρὸς Λακεδαιμονίους λιτῇ τῇ διαίτῃ χρωμένους· καὶ ὅτι ἐκ τοῦ παρὰ Ἀλκιβιάδῃ φαινομένου ἀγαθοῦ τὸν λόγον ποιεῖται· παρ' ἐκείνῳ γὰρ ἀγαθὸν ἡ τρυφή. Ἀλλὰ καὶ κατὰ πλοῦτον ἧττον εἶ τῶν Λακεδαιμονίων· τριττοῦ γὰρ ὄντος τοῦ πλούτου ἢ αὐτοκινήτου, ἢ ἑτεροκινήτου, ἢ ἀκινήτου· καθ' ἕκαστον τούτων ἡττᾶται ὁ νέος τῶν Λακεδαιμονίων πλούτου. Κατὰ μὲν γὰρ τὸν ἀκίνητον, ὅτι Μεσσήνην ἑλόντες ἠφόρισαν [5] αὐτοὺς εἶναι πρὸς τὴν ἀνάγκην χορηγίαν·

(3) Edd. μηδὲ τοῦτο ἄν.
(4) Fragmenta scriptorum, qui de Alcibiadis luxuria et libidine exponunt, hodieque legimus apud Athenaeum lib. XII. p. 534 sq. p. 484 sqq. ed. Schwgh. (5) Scr. ἀφώρισαν.

περὶ ἧς ἔφη Τυρταῖος ὁ ποιητής. Μεσσήνην ἀγαθὸν μὲν ἀροῦν, ἀγαθὸν δὲ φυτεῦσαι [6]. ἦν γὰρ εὔγεος ἡ χώρα. Ἀλλὰ καὶ τῷ πλούτῳ τῶν αὐτοκινήτων μέγα ἐφρόνουν, εἴ γε ὅλῳ ἔθνει τῷ τῶν Εἱλότων πρὸς ὑπηρεσίαν ἐχρῶντο. Ἀλλὰ καὶ κατὰ τὸ φαινόμενον αὐτοκίνητον· εἴ γε ἱππικώτατοι ἦσαν, ὡς δηλοῖ τό· Ἄργος ἐς ἱππόβοτον [7]. Καὶ τῷ ἑτεροκινήτῳ δὲ πλούτῳ ὑπερεῖχον, εἴ γε λέγεται περὶ αὐτῶν, ὅτι δύο μοίρας τῶν προσόδων ἀπήτουν τοὺς ὑπηκόους, καὶ ὅτι λέγονται εἶναι φλέβες ἀργυρίτιδες καὶ χρυσίτιδες· καὶ τὸ πολυχρυσοίο Μυκήνης [8]. καὶ ὅτι λέγεται περὶ αὐτῶν· ὅτι εἰσιὸν τὸ χρυσίον παρ' αὐτοῖς οὐκ ἔτι ἐξῄει. Διὸ καὶ κεχρηται μύθῳ τοιούτῳ προςφόρῳ [9], ὅτι λέγεταί ποτε λέων γηράσας προςποιήσασθαι νόσον, καὶ εἰςελθεῖν τὰ ἄλλα θηρία εἰς ἐπίσκεψιν αὐτοῦ, καὶ ταῦτα ἐκεῖνον λαμβάνοντα ἐσθίειν καὶ ἀπολλύναι· τὴν δὲ ἀλώπεκα κερδὼ [10] οὖσαν μὴ ἀνασχομένην εἰςελθεῖν, ἀλλ' ἐπὶ τοῦ ὀυδοῦ [11] στῆναι· αὐτοῦ δὲ παρακελευομένου εἰςιέναι, εἰπεῖν, μηδαμῶς τοῦτο ποιῆσαι, διότι ἴχνη μὲν ὁρᾷ τῶν εἰςιόντων πρὸς αὐτὸν, οὐ μὴν δὲ τῶν ἐξιόντων· καὶ ἀπὸ τοῦ μὲν οὐδοῦ προςιόντων ἴχνη βλέπειν, οὐ μὴν ἐπὶ τὸν οὐδὸν μετερχομένων. Οὕτω οὖν καὶ παρὰ Λακεδαιμονίοις τὸ νόμισμα

(6) Hic versus, quod jam Buttmannus monuit in Ed. hujus dialogi p. 151, non est in editis Tyrtaei fragmentis apud Klotzium. Ceterum bis videtur scribendum ἀγαθήν. In Schol. Plat. p. 78 Ruhnk. scribitur ut apud nostrum, nisi quod ibi est *Μεσήνην*, uti scribit etiam Bekkerus in Ed. p. 342. In Codd. Bodlejann. est *μεσσήνης* et *μεσσήνην*. In seqq. statim scribendum *εὔγειος* aut *εὔγεως*, et paulo inferius *Εἱλώτων*, de quibus vid. Schol. in Plat. p. 78.

(7) Est locus Homericus Iliad. γ,75.

(8) Ex Iliad η. 180. unde habet Sophocles Electr. 9. cf. Will. Gell. Argolis p. 29. 45. Diodor. Sicul. V. 37. de metallis Hispanicis —— *ἀεὶ μᾶλλον εὑρίσκουσι λαμπροτέρας φλέβας γεμούσας ἀργυροῦ τε καὶ χρυσοῦ.* De re vid. Salmasium in Exercitt. Plinianis. p. 757 sq. et ad proxima p. 841.

(9) Vid. Fabul. Aesop. 137. Phaedr. Fabb. Append. 30. Horat. Epp. I, 1, 73 — 75 et Schol. in Plat. p. 78. sq.

(10) Est haec vox Aristophanea ex Eqq. 1067 sq. ubi est:

*Αἰγείδη, φράσσαι κυναλώπεκα, μή σε δολώσῃ,*
*Λαίθαργον, ταχύπουν, δολίαν κερδώ, πολύϊδριν.*

Tu cf. Huschkii Disput. de fabull. Archilochi p. 26 sq. (in Matthiae. Miscell. philolog. I.) Adde Etymolog. Gud. p. 316.

(11) Scrib. *οὐδοῦ.*

εἰςιέναι μὲν φησὶν, οὐκ ἔτι δὲ ἐξιέναι. Ἀπεικάζει δὲ αὐτοὺς λέοντι γεγηρακότι, διότι κατὰ ἀριστοκρατίαν ζῶντες· [12] οἰκεῖος ὁ λέων ἐκνενευρισμένην αὐτὴν ἐποίησαν· ὡς κινδυνεύειν ἀπὸ ἀριστοκρατίας εἰς ὀλιγαρχίαν μεταπεσεῖν. Εἰ δὲ οἱ Λακεδαιμόνιοι νικῶσι πλούτῳ τὸν Ἀλκιβιάδην, πολλῷ μᾶλλον οἱ Περσῶν βασιλεῖς ὑπερέχουσι καὶ ἐν τούτῳ τοῦ Ἀλκιβιάδου· λέγεται γὰρ περὶ αὐτῶν, πόλεις ὅλας, ἡμερησίας ὁδοῦ διάστημα ἐχούσας, εἰς ἕκαστον κόσμον ἀφορίζειν τῶν γυναικῶν, ὡς ἐκ τῶν προςόδων ἕκαστον κόσμον γίνεσθαι· διὸ καὶ ὀνόματα συνέβαινεν ἀπὸ τούτων ἔχειν τὰς πόλεις· ποῦ μὲν γὰρ ἐλέγετο ζώνη βασιλίδος [13], ποῦ δὲ καλύπτρα, ἢ τί ἄλλο τοιοῦτον. Καὶ οὐκ ἀπείθανον [14], ὅπου καὶ Θεμιστοκλεῖ αὐτομολήσαντι τρεῖς πόλεις ἀφόρισεν [15] ὁ βασιλεὺς πρὸς τὴν χρείαν τῶν ἐπιτηδείων, αἰτήσαντι ἐνιαυτὸν ποιῆσαι παρ' αὐτοῖς, ἄχρις ἂν τὰ Περσῶν ἐκμάθοι, καὶ οὕτω περὶ τῆς προδοσίας τῆς Ἑλλάδος διαλέγεσθαι αὐτός. Ὡς γὰρ φησὶν ὁ συγγραφεὺς [16], Μαγνησίαν καὶ Μυοῦντα καὶ Λάμψακον αὐτῷ παρέσχεν. Καὶ πάλιν ἀποροῦσι, πῶς φαίνεται ὁ Σωκράτης προτρέπων μὴ ὄντα τοι-

(12) Lacunam ita expleas et interpungas: — *ζῶντες, ἢ οἰκεῖος ὁ λέων, ἐκνενευρισμένην ἐποίησαν, ὡς κινδ. — μεταπεσεῖν.* hac sententiâ: „Comparat Lacedaemonios cum leone decrepito, quoniam ii optimatum imperium, quo utebantur, et cui leo cognatus est, enervatum reddiderant, ut proinde periculum esset, ne in paucorum potentiam (tanquam in pejus) inciderent.“

(13) In dialogo est *τῆς βασιλέως γυναικός*. p. 123. b. — Bekk. p. 313. Conf. annot. Wesseling. ad Diod. Sic. I, 52. p. 62. ubi plura ad hunc morem confirmandum citantur exempla.

(14) Scr. *ἀπίθανον*. [et *ποὺ μὲν — ποὺ δὲ — ἤ τι.*]

(15) Scr. *ἀφώρισεν*.

(16) Thucydid. I, 138. Corn. Nep. II, 9 cf. v. Hammer in Wiener Jahrbüch. der Liter. VIII. p. 387. sq. Proxime — *ἀφώρισεν* et supra *πόλεις — εἰς κόσμον ἀφορίζειν* i. e. urbes a reliquo imperio sejunctas uxorum proprias iisque vectigales reddere, sive uxoribus separatim attribuere. Ita Theodoretus I. 260 Schulz. *ἀφορίζεσθαι* commutat cum *ἀπονέμεσθαι*. Theophilus in Paraphr. Institutt. II. 1. 75 *τὰς μὲν ἐπαρχίας ἐκράτησε αὐτὸς ἑαυτῷ, τὰς δὲ ἀφώρισε τῷ δήμῳ.* Idem II. 20 *ἔστι ῥήματά τινα τυπικὰ ἑκάστῳ γένει ληγάτου ἀφωρισμένα,* ubi Reitzius p. 443 recte vertit *propria*. Sed idem, quem modo laudavi, Theodoretus III. p. 193 *τοὺς ἀφοριζομένους* usurpat de sacrorum societate exclusis. De qua vi vocis vid. Grotium et Valckenar. ad Evang. Luc. VI. 22 (in Schol. N. T. I. p. 121.) Suicer. in Thes. eccles. I. p. 600 et praecipue doctissimum Hasium, qui de hoc verborum genere haud vulgaria protulit ad Leon. Diacon. p. 226 sq.

οὗτον τὸν Ἀλκιβιάδην, ὥστε γενέσθαι τοιοῦτον, παραβάλλων αὐτὸν τοῖς Πέρσαις, καὶ ἀνυψῶν τὰ Περσῶν. Ἦ οὐκ ἐξογκοῖ τὰ τούτων, ἀλλ' εἰς γυναῖκας μᾶλλον αὐτοὺς παραπέμπεται, φιλοχρημάτους ὄντας, διὰ τὴν δυςγένειαν τῆς φύσεως οὔσας τοιαύτας· ὡς γὰρ ἀσθενέστεροι τὴν φύσιν καὶ φιλοχρήματοι μᾶλλόν εἰσι. Καὶ ὅτι οἱ Πέρσαι τοιοῦτοι θηλύμορφοι· διὸ καὶ ἑλκεσίπεπλοί εἰσι καὶ κοσμίοις χρῶνται. Οὐ μόνον δὲ οὗτοι τοιοῦτοι, ἀλλὰ καὶ Ἰνδοὶ ἔχονται τῷ πάθει τούτῳ· οὔτε δὲ τοὺς Λακεδαιμονίους ἐξογκοῖ καὶ θαυμάζει, ἀλλὰ τοὐναντίον ὀνειδίζει τὰ τοῦ χρησμοῦ λέγων· Ἁ φιλοχρημοσύνα τὰν Σπάρταν ὀλεῖ ἄλλο κοὐδέν [17]. Καὶ ὅτι διὰ τοῦτο ὁ Λυκοῦργος ἐπέτρεπε τὰ νομίσματα παρ' αὐτοῖς σιδηρᾶ [18] χαλκᾶ εἶναι, καὶ ὄξει βρέχειν, ἵνα ταχέως διαφθαρῶσι καὶ μὴ μένωσι πολὺν χρόνον παρ' αὐτοῖς. Καὶ ὅτι λέγεται Φερεκύδης ὁ διδάσκαλος Πυθαγόρου, οὗ καὶ βίβλος θεολόγος φέρεται [19], ἀφίκεσθαι [20] παρὰ Λάκωσι, καὶ θεάσασθαι ὄναρ, εἰπεῖν τοῖς Λακεδαιμονίων βασιλεῦσι μὴ φείδεσθαι χρημάτων [21], καὶ τῇ αὐτῇ νυκτὶ λέγεται φανῆναι τῷ ἑτέρῳ τῶν βασιλέων, πείθεσθαι Φερεκύδει· καὶ ἀναστάντος Φερεκύδου, καὶ εἰρηκότος τῷ βασιλεῖ, λέγεται μεταβαλεῖν αὖθις μέλλουσαν εἰς ὀλιγαρχίαν μεταπεσεῖν τὴν ἑαυτῶν πολιτείαν. Ἐφ' οἷς ἐλέγξας τὸν Ἀλ-

(17) Vid. Plutarch. Instit. Lacon. 42. p. 239. F. p. 960 Wytt. Cic. de Offic. II, 22. ib. Heus. cf. Cragius de Rep. Laced. III, 10, 1. Delendus vero in nostro versu articulus τὰν et scribendum ἄλλο δέ κ' οὐδέν ut est in sequentibus. Scribitur etiam apud Plutarchum φιλοχρηματία pro φιλοχρημοσύνα. Adde Euripidis Andromach. 452 ibiq. Barnes.

(18) Delendum vid. χαλκᾶ aut interponendum ἤ. Vid Plutarch. Lysandro c. 17. Cragius l. c. III, 10, 2.

(19) Diog. Laërt. I, XI, 116. 119. Suid. v. Φερεκύδης. Plotin. Ennead. I. S. 9. Alii Θεολογίαν, alii Θεοκρατίαν, alii Θεογονίαν hunc librum appellare videntur. Vid. Sturzium V. C. in fragmm. Pherecyd. §. 6 p. 29 sq.

(20) Scr. ἀφικέσθαι.

(21) Diog. Laërt. I, XI, 17. ita: καὶ Λακεδαιμονίοις εἰπεῖν, μήτε χρυσὸν τιμᾶν μήτε ἄργυρον, ὥς φησι Θεόπομπος ἐν τοῖς θαυμασίοις· προστάξαι δὲ αὐτῷ ὄναρ τοῦτο τὸν Ἡρακλέα· ὃν καὶ τῆς αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι Φερεκύδῃ πείθεσθαι. Ferebatur etiam alia fama de hoc Pherecyde a Lacedaemoniis occiso Plutarch. Pelop. p. 289 A. cf. Sturzii libr. laud. p. 16.

κιβιάδην ὁ Σωκράτης, καὶ διὰ τοῦ κατὰ ἀποτάδην λόγου, διότι ἐν ταῖς ἱστορίαις τῷ κατὰ ἀποτάδην λόγῳ δεῖ κεχρῆσθαι, ἐπειδὴ περὶ μερικῶν ἐστὶν ὁ λόγος· ἐν δὲ τοῖς καθ' ὅλου πρέπει ἡ κατὰ πεῦσιν καὶ ἀπόκρισιν διάλεκτος. Διότι ὁ μὲν κατὰ πεῦσιν λόγος πρέπει τοῖς ἀσωμάτοις, ἀμέρεσιν οὖσιν· ὁ δὲ κατὰ ἀποτάδην λόγος τοῖς σώμασιν ἔοικε μεριστοῖς οὖσι καὶ διαστατοῖς [22]. Διὸ καὶ οἱ ῥήτορες τῷ κατὰ ἀποτάδην χρῶνται λόγῳ, ὡς περὶ μερικὰ καταγινόμενοι. Ἐλέγξας οὖν αὐτὸν διὰ τοῦ πρώτου τμήτατος ἀγνοοῦντα ἑαυτὸν, ἐντεῦθεν ἀρχόμενος τοῦ τρίτου τμήματος φησίν· Ἀλλ', ὦ μακάριε, πειθόμενος ἐμοί τε καὶ τῷ ἐν Δελφοῖς γράμματι· γνῶθι σαυτόν· ἐφ' οἷς σὺν θεῷ πληροῦται τὸ δεύτερον τμῆμα, καὶ ἡ παροῦσα θεορία [23]. —

Εἰ δ' αὖ ἐθέλεις εἰς πλοῦτον [24] ἀποβλέψαι [25]. — Ἰδοὺ πῶς δυσχεραίνει ὁ Σωκράτης παραβάλλων τὸν Ἀλκιβιάδην τοῖς Περσῶν βασιλεῦσι κατὰ δίαιταν, διὸ καί φησιν· Εἰ δ' αὖ ἐθέλεις. Ἐφεξῆς ἔτι δυσχεραντικώτερος ὀφθήσεται, ὅτε εἰς πλοῦτον παραβάλλει αὐτὸν, διότι ἔτι ἐκτὸς ἡμῶν ἐστὶν ὁ πλοῦτος, διὸ καὶ ὡς ἔτι δυσχεραίνων φησί· μηδὲ τοῦτο ἄῤῥητον ἡμῖν ἔστω [26]. Καὶ ὅρα πῶς ἐν καιρῷ ῥητορεύει ὁ Σωκράτης καὶ πομπεία [27] χρῆται, ἀντὶ ἑνικοῦ πάντα πληθυντικῶς παραφέρων, πλούτους λέγων καὶ τρυφάς· ἱματίων δὲ ἕλξεις φησὶ, δύο μέρη λέγων διότι ποδήρεις χιτῶνας φοροῦσιν οἱ Πέρσαι, διότι καὶ ἑλκισίπεπλοι [28]· καὶ Ἰνδοὶ καθάπερ καὶ οἱ Ἴωνες [29]. Καὶ θεραπόντων πλήθους ἀκο-

(22) Scr. διαστάτοις. (23) Scr. θεωρία.
(24) Edd. πλούτους, ut noster ipse paulo inferius.
(25) Ἀλλ', ὦ μακάριε κ. τ. λ. est p. 124. a. Bekk. p. 345. — Εἰ δ' αὖ ἐθέλεις κ. τ. λ. est p. 122. b. — Bekk. p. 341.
(26) Edd. μηδὲ τοῦτο ἂν ἡμῖν ἄῤῥητον ἔστω. Cf. Ast. annot. ad h. l.
(27) Scr. πομπείᾳ. (28) Scr. ἑλκεσ.
(29) Ad vocem ἕλξεις vid. Schol. in Plat. p. 78. Ruhnk. Ceterum locus noster mancus videtur, requiritur enim ad sensum: διότι καὶ ἑλκεσίπεπλοι· ἑλκεσίπεπλοι δὲ καὶ Ἰνδοὶ κ. τ. λ. Proxima καθάπερ καὶ οἱ Ἴωνες explicanda ex hymno Homerico in Apollin. vs. 147:

ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται.

Cf. etiam Scholiast. Thucyd. ad I. 124: διαβέβληται γὰρ τὸ ὄνομα ὧν Ἰώνων εἰς μαλακίαν.

λουθίας. — Ἰδοὺ καίτοι μιᾶς οὔσης τῆς ἀκολουθίας πληθυντικῶς προήγαγε, διὰ τὸ ἐξογκῶσαι. Εἰ δ' αὖ ἐθελήσειας [30] εἰς σωφροσύνην καὶ κοσμιότητα· τρέπεται μετὰ τὴν παραβολὴν τὴν πρὸς Πέρσας, καὶ παραβάλλει αὐτὸν τοῖς Λάκωσι. Καὶ ζητητέον πῶς σώφρονας λέγει τὰς Λακαίνας, εἴ γε ἀληθές ἐστι τὸ τῆς κωμῳδίας· Λακωνικὴ κλεῖς ἐστι, κοὐ περιοιστέα· καὶ τ' οὗ [31] παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς [32]· ἐκεῖθεν γὰρ ἦν ἡ Λαΐς. Λάκαινα δὲ ἡ Ἑλένη. Ἢ σώφρονας λέγει τοὺς Λάκωνας, ὡς ὑποκατακλινομένους τοῖς ἄρχουσιν. Οὕτω γὰρ καὶ ὁ ποιητὴς περὶ μὲν τῶν Τρώων φησίν· Τρῶες δὲ κλαγγῇ [33] καὶ τὰ ἑξῆς· περὶ δὲ τῶν Ἑλλήνων· Σιγῇ δειδιότες σημάντορας. Οἰκεῖον δὲ τοῦτο τῇ σωφροσύνῃ, τὰ χείρω ὑποκατακλίνειν τοῖς κρείττοσι. Περὶ γὰρ τὸ ἔσχατον μόριον καταγινομένης τῆς ψυχῆς, ὑποκατακλίνεσθαι τοῦτο ποιεῖ τῷ λόγῳ. Καὶ φιλοπονίαν, καὶ φιλονεικίαν [34], καὶ φιλοτιμίαν· φιλόπονοι γὰρ καὶ οἱ Λάκωνες, διὸ ἐκ παίδων ἐθίζοντες ἑαυτοὺς πονεῖν, ἐμαστιγοῦντο· ἀπὸ γὰρ τετραέτους χρόνου αἱ μαστιγώσεις παρελαμβάνοντο [35]. Ἀλλὰ καὶ φιλογυμναστίαν ἤσκουν παρὰ τὸν Εὐρώταν [36], ὡς φησὶν ὁ Εὐριπίδης· κοινῶς ἄνδρες καὶ

(30) Edd. *ἐθελήσεις* et *τε καὶ κοσμ.* (31) Scr. *τό· οὐ.*

(32) De illo versiculo *Λακωνικὴ κλεῖς* p. 152 vidimus. Proverbium de Corintho ad ipsam Laidem et consimiles *ἑταίρας* Corinthias multi e veteribus referunt. Vid. Zenob. V. 37 ibiq. Schott. p. 129 et cf. Interprr. ad Horat. Epist. I. 17. 36. De Laide majore Corinthia vid. Athen. XIII. 570 p. 59 sqq. Schwgh. coll. IV. 137. p. 38; de juniore, Damasandrae aut Timandrae filia XIII. 174. e. p. 76, ibiq. annott. Adde Jacobsii disputatt. in Museo Attico vernacule scripto III. 2. p. 173—191.

(33) Vid. Iliad. γ,2. ubi est: *Τρῶες μὲν κτλ.* Qui sequitur versus est ex Iliad. δ,431.

(34) Schol. in Plat. p. 78. Ruhnk. ait: *Σημείωσαι φιλονικίαν διὰ τὸ ι, τὴν φιλίαν τῆς νίκης*; plane uti mox noster. Editiones: *φιλονεικίαν* recte. Eaedem *φιλοτιμίας.*

(35) Veterum locos huc pertinentes congessit Cragius l. c. III, 9, 8. Adde Interprr. ad Pausan. XVI. 6. p. 249 Kuhn. Eudociae Violar. p. 274 et Commentt. Herodott. I. p. 245. sq. De obedientia Crag. ibid. III, 7, 2. et de exercitationibus III, 9, 4. 5. 6.

(36) Vid. Cic. Tuscul. Disp. V, 34. ibiq. Davis. Vocabulum *φιλογυμναστία* Platonicum est ex Sympos. p. 182. c. Bip. T. X. — Bekk. II, 2. p. 388. Ad proxima consule Lucian. de gymnasiis 38.

*γυμναζόμενοι.* Τὸ δὲ φιλονικίαν διὰ τοῦ ῑ γραπτέον· ἔχαιρον γὰρ τῇ νίκῃ. Καὶ ἰδοὺ κατήντησεν εἰς τὴν φιλοτιμίαν, διότι κατὰ τὴν τοιαύτην πολιτείαν ἐπολιτεύοντο· κατὰ γὰρ τὸ φιλότιμον· *γῆν μὲν γὰρ ὅσην ἔχουσι τῆς τε* [37] *ἑαυτῶν καὶ Μεσσήνης.* Ἰδοὺ ἄρχεται ἀπὸ τῆς συγκρίσεως τοῦ πλούτου· καὶ πρῶτον συγκρίνει κατὰ τὸν ἑτεροκίνητον πλοῦτον· πεντατεροῦς δ' οὔσης τῆς Πελοπονήσου [38], ἓν μέρος ἦν τὸ τῆς Μεσσήνης. Τὸ δὲ ῥητὸν ὑπερβατῶς ἀναγνωστέον· *γῆν μὲν γὰρ ὅσην ἔχουσι πλήθει οὐδὲ ἀρετῇ τῆς τε ἑαυτῶν καὶ Μεσσήνης, οὐδ' ἂν εἷς ἀμφισβητήσειεν* [39]. — *Πολλὰς γὰρ ἤδη γενεὰς εἰσέρχεται μὲν αὐτοῖς ἐκ πάντων* [40] *τῶν Ἑλλήνων.* Ἰδοὺ καὶ ἐκ τούτων ἔστι δεῖξαι, ὅτι ὀνειδίζει αὐτοῖς μᾶλλον ὁ Πλάτων, εἴ γε φθονερὸν τὸ μεταλαμβάνειν μόνον καὶ μὴ μεταδιδόναι [41]· καὶ ἔνυλον γὰρ ποιεῖ τὸν πλοῦτον αὐτῶν· οἰκεῖον γὰρ τῇ ὕλῃ τοῦτο τὸ μεταλαμβάνειν μόνον καὶ μὴ μεταδιδόναι· διὸ καὶ ὁ Πλάτων οὐκ ἄλλως αὐτὴν καλεῖ ἐν τῷ Τιμαίῳ, εἰ μὴ μεταληπτικόν. Πῶς οὖν ἀποδέχεται αὐτούς, ὃς ὀνειδίζει αὐτοῖς μετὰ τῆς Πυθίας καὶ Φερεκύδου καὶ Λυκούργου [42] καὶ παράγει λοιπὸν τὸ παράδειγμα τῆς ἀλώπεκος, χαριέντως καὶ προσφόρως πεφρασμένον. Ἡ γὰρ Πλατωνικὴ χάρις ἀεὶ ἀκμάζει, μηδέποτε γηρῶσα. — *Καὶ τοῦ εἰς Λακεδαίμονα νομίσματος.* — Μετέβαλε τὸ ὄνομα τοῦ λέοντος εἰς τὸ νόμισμα· θηρίῳ γὰρ ἀπείκασεν αὐτό. *Ἐπεί ποτε ἤκουσα ἐγὼ* [43] *ἀνδρὸς ἀξιοπίστου·* περὶ Ξενοφῶντος φασὶ λέγειν αὐτὸν [44]· οὗτος γὰρ ἐν τῇ Ἀναβάσει ἱστόρηκε τὰ Περσῶν, Κύρῳ συνανελθὼν ἐπὶ τὸν ἀδελ-

Tom. VII. p. 200 Bip. ibiq. Solan. et Barnes. ad Euripid. Andromach. vs. 596. cf. Euripid. Fragg. p. 421 ed. Beck.

(37) Edd. θ'. (38) Scr. Πελοποννήσου.

(39) Videlicet in legendo sic transponenda esse dicit Olympiodorus verba dialogi. Vid. p. 122. c. Bekk. p. 342.

(40) Edd. αὐτόσ' ἐξ ἁπάντων.

(41) Ad haec et sequentia confer Platonis Timaeum p. 29 sq. III. 2. p. 25 sq. Bekker.

(42) In Cod. perperam est λυκύργου.

(43) Edd. ποτ' ἐγὼ ἤκουσα.

(44) Vid. Schol. in Plat. p. 79 Ruhnk., qui plane iisdem verbis, quibus noster, utitur. Ad rem cf. Xenoph. Anab. I, 1—8.

φὸν Ἀρταξέρξην. — *Ζώνης*[45] *τῆς βασιλέως γυναικός.* — Οὐκ ἄτοπον ἀφορίσθαι[46] πόλεις πρὸς κόσμον ἕκαστον τῶν παρὰ Πέρσαις βασιλίδων, εἴ γε καὶ παρ' ἡμῖν ἡ Τύρος πορφυρία λέγεται ἀφ' ἧς ἡ πορφύρα[47], διὰ τὸ αὐτὴν μόνην ἀφωρίσθαι πρὸς τὴν ἁλουργίδα τοῦ βασιλέως. Καὶ ἰδοὺ εἰς γυναῖκας ἀπέπεμψε τὸν τοιοῦτον λόγον· διὰ γὰρ τὴν δυσγένειαν τὴν ἑαυτῶν αὗται καὶ τὴν ἀσθενῆ φύσιν φιλόπλουτοί εἰσιν. Διὸ καὶ οἱ Πέρσαι θηλύμορφοί εἰσι, χαίροντες τῷ τοιούτῳ κόσμῳ. Εἰ δὲ καὶ παρ' ἡμῖν κοσμίοις χρῶνται οἱ στρατευόμενοι, ὡς μεταβάλλοντες τὸ ἑαυτῶν ἦθος εἰς βάρβαρον τοῦτο ποιοῦσιν. *Εἴ τις εἴποι τῇ βασιλέως μητρί.* — Ἐξογκοῖ τὸν λόγον ἀπὸ τῶν προϋπαρχόντων καὶ συνυπαρχόντων καὶ μεθυπαρχόντων, βασιλέως λέγων μητρὶ, γυναικὶ, θυγατρί. Φησὶ δὲ, ὅτι εἴ τις εἴποι, ὅτι Ἀλκιβιάδης διαγωνίσασθαι θέλει τῷ αὐτῆς υἱεῖ, ὅτῳ ποτὲ τρόπῳ σὲ ἔδει θαῤῥοῦντα αὐτῷ ἀγωνίσασθαι· οὐδενὶ γὰρ ἄλλῳ ἐπιχειρητέον σοι τοῦτο ποιεῖν, ἢ τῇ ἐπιμελείᾳ τῇ ἀπὸ σοφίας· πάτριον γάρ ἐστι τὸ τοὺς Ἀθηναίους σοφίᾳ νικᾶν. Ὅτε ἄρα ἄνω ἔλεγεν, ὅτι παιδεύουσι τοὺς Περσῶν βασιλεῖς οἱ δ̄, ὕστερον καὶ ὁ μὲν ἐδιδάσκει ἀνδρείαν[48], ὁ δὲ φρόνησιν, οὐ τὰς κυρίας ἀρετὰς χρὴ ἀκούειν. (;) Εἶτα οὐκ αἰσχρὸν, φησὶν, ὦ Ἀλκιβιάδη, ἡττᾶσθαι ἡμᾶς ὑπὸ πολεμίων, καὶ οὐ μόνον ὑπὸ πολεμίων, ἀλλὰ καὶ ὑπὸ γυναικῶν τοιούτων; καὶ μὴ μόνον τοῦτο, ἀλλ' ὅτι κα-

(45) Edd. *ζώνην*. (46) Scr. *ἀφωρίσθαι·*

(47) *Πορφυρία.* Etsi usitatior forma *πορφύρειος* et *πορφύρεος*: tamen in Olympiodoro ego illam non damnaverim. Eunapius in Porphyr. p. 16: *Πορφύριον δὲ αὐτὸν ὠνόμασε Λογγῖνος, ἐς τὸ βασιλικὸν τῆς ἐσθῆτος παράσημον τὴν προσηγορίαν ἐπιτρέψας.* Cf. Porphyr. de vit. Plotin. 17 p. 119 sq. Fabric. Ad argumentum hujus loci vid. Append. ad Palaephat. ex Chronico Paschali. cap. 52. p. 193 — 196 ed. Fischer (ubi tamen §. 7. *πορφυρεῖα* displicet Lobeckio ad Phrynich. p. 147 et reapse *πορφύρεα* in eadem narratione habet Cedrenus.) Plin. H. N. IX. 6. ibiq. Harduin. Salmas. in Scriptorr. Hist. Aug. p. 343. Idem in Exercitt. Plinn. p. 192 et p. 936. Adde Eckhel. Doctr. N. V. Tom. III. p. 391 sq. Joann. Laur. Lydum de menss. VII p. 9 et inprimis eundem de Magistratt. Romm. II. 13 p. 116.

(48) Scrib. vid. *διδάσκει ἀνδρίαν* aut *ἐκδιδάσκει ἀνδρ.* Formam *ἀνδρείαν* tamen in dialogo p. 122. c. retinet. Cod. Bodlej.

κεῖναι ἴσασι τὸν τρόπον τῆς ορίας [49] ἡμῶν, ἡμεῖς δὲ ἀγνοοῦμεν. — Ὁ Δεινομάχης υἱός. — Καὶ τοῦτο ἐμφαντικόν· τοῦ [50] μὲν γὰρ ἐξόγκωσε τὸν λόγον ἀπὸ τῶν προϋπαρχόντων, καὶ μεθυπαρχόντων. Νῦν δὲ φησὶν ὁ Δεινομάχης υἱός. — Οὗτος ὁ Ἀλκιβιάδης. Καὶ τοῦτο ὡς ἐμφαντικόν· τουτέστιν ὁ μήπω γεγονώς, ἐν τῇ γ' μοίρᾳ τάξας ἑαυτόν. Κεῖνος γὰρ πανάριστος, ὃς αὐτὸς πάντα νοήσει· ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πέπειθεν [51]. Ὁ δὲ Ἀλκιβιάδης ἐν τῇ γ' μοίρᾳ ἔῤῥιπται, ὡς μήτ' ἄλλῳ πειθόμενος, ἔπειτα παντάπασιν ἀπαίδευτος, ἀντὶ τοῦ διπλῇ ἀμαθαίνων, ἢ [52] ἀγνοῶν ἑαυτὸν καὶ τὰ πράγματα. — Μαθόντα καὶ ἐπιμεληθέντα αὐτοῦ [53] καὶ ἀσκήσαντα. Ἡ μὲν μάθησις ἐπὶ λόγου εἴρηται, ἡ δὲ ἄσκησις ἐπὶ τῆς ἀλόγου ψυχῆς. Ἀντιδιήρηται γὰρ ἡ μάθησις τῇ ἀσκήσει· καὶ γὰρ καὶ τὰ ἄλογα δι' ἀσκήσεως παιδεύονται· κοινὴ δ' ἀμφοῖν ἡ ἐπιμέλεια. Οἶμαι δὲ καὶ [54] Λαμπιδὼ τὴν Λεωτυχίδου [55] θυγατέρα. Ἄλλην πολιτείαν ὑπογράφει Λακεδαιμονίων πολιτείαν, καὶ πάλιν ἐξογκοῖ τὸν λόγον ἀπὸ τῶν προϋπαρχόντων καὶ συνυπαρχόντων καὶ μεθυπαρχόντων. Καίτοι οὐκ αἰσχρὸν δοκεῖ εἶναι, εἰ [56] αἱ τῶν πολεμίων γυναῖκες. — Τὸ εἰρημένον φησὶν, ὅτι αἰσχρόν ἐστιν ἡττᾶσθαι τῶν πολεμίων, ἀλλὰ καὶ τῶν γυναικῶν τούτων, καὶ ἔτι αἰσχρότατον, τὸ ἐκείνας μὲν εἰδέναι τὸν τρόπον τῆς θεραπείας, ἡμᾶς δὲ ἀγνοεῖν.

(49) In Cod. MS. est compendium scripturae, quod in libris MSS. significare solet σωτηρίας, et ita videtur legendum, cum mox in fine hujus sectionis p. 175 legatur: ἐκείνας μὲν εἰδέναι τὸν τρόπον τῆς θεραπείας, ἡμᾶς δὲ ἀγνοεῖν. Moser.

(50) An τοῦτο aut τούτῳ, aut πρὸ τοῦ? Proxime scr. ἐξώγκωσε.

(51) Sunt versus Hesiodi ἐργ. κ. ἡ. 269 sq. (Ed. Cleric. 293 et 295); ubi scribitur οὗτος μὲν πανάριστος — πίθηται. Vid. ib. Heinsii not. et Graevii Lectt. Hesiodd. p. 31. In Ed. Spohnii sunt vv. 295 et 297. q. v. ad h. l. De lectione horum versuum consule etiam Gaisford. in Poëtis graecc. minorr. Vol. I. p. 23 sq.

(52) Sup. melius καί.

(53) Scr. ex Edd. αὑτοῦ.

(54) Edd. κἂν.

(55) Vid. Schol. in Plat. p. 97. Ruhnk. Alii scribunt Λαμπιτώ et ipse Herodotus VI, 71. ubi vid. Wesseling. In cod. Bodlej. est λευτιχίδου.

(56) εἰ omisum sed suprascriptum in cod. Bodl.

## *Πρᾶξις σὺν θεῷ θ.*

### Ἀρχὴ τοῦ τρίτου τμήματος.

Ἀλλὰ [1], μακάριε, ἐμοὶ πειθόμενος καὶ τῷ ἐν Δελφοῖς γράμματι, γνῶθι σαυτόν. Ἐπειδὴ καινὸν καταγώγιον ὑπῆρχε τὸ ά καὶ τὸ β' τμημάτων [2], ἐλέγχων τοῦ Ἀλκιβιάδου. Ἐν μὲν γὰρ τῷ πρώτῳ ἔδειξεν ἑαυτὸν [3] ἀγνοοῦντα ἑαυτὸν κατὰ ψυχήν· ἐν δὲ τῷ β' κατὰ σῶμα καὶ κατὰ τὰ ἐκτός. Κατὰ μὲν ψυχὴν, ὡς ὅτι μὴ εἰδὼς οἴεται εἰδέναι, καὶ διπλῇ ἀμαθαίνει· ἢ ὥς τις [4], ἰατρὸς ὑπάρχων, οἴοιτο ἑαυτὸν φιλοσοφεῖν, πρὸς ὃν καὶ ἔγραψεν ὁ Ἀλέξανδρος· μένε ὦ ταλαίπωρε ἀτρέμας σοῖς ἐν σπληνίοις, οὐδὲν γὰρ οἶδας, ὧν δοκεῖς σάφ' εἰδέναι [5]. Ἢ κατὰ τὸ σῶμα· ὡς

(1) *Ἀλλ', ὦ* Edd.

(2) Videtur scribendum *τμῆμα τῶν ἐλ.* De forma *αἰσχρότατος*, bonis scriptoribus non usitata, quae est in fine sectionis 18. vid. Fisch. ad Well. II. p. 103.

(3) Scr. *αὐτὸν.* (4) Scr. vid. ut in seqq. *ὡς εἴ τις.*

(5) Sunt duo versus senarii Jambici, ita scribendi:

*Μέν', ὦ ταλαίπωρ', ἀτρέμα σοῖς ἐν σπληνίοις·*
*Οὐδὲν γὰρ οἶδας, ὧν δοκεῖς σάφ' εἰδέναι.*

Moser. Quibus verbis redarguere voluit alicuius medici arrogantiam. Quam in rem alia leguntur apud Athenaeum IX. p. 378 f. p. 395 Schwgh. et in Erasmi Adagg. p. 65. Ipse tamen Alexander medicinam factitare ausus est, uti prodit in ejus vitâ Plutarchus cap. 8, ubi ejus regis epistolae laudantur, ad quas etiam hic locus est referendus. *Σπληνίον* autem est linteolum, ligamen vel emplastrum, vulneribus superinduci solitum. Vid. Foës. Oeconom. Hippocrat. in *σπλήν.* Tib. Hemsterh. ad Aristophan. Plut. 1083 p. 403. Interprr. ad Hesych. II. p. 1250 Albert. et Photii Lex. graec. p. 392. Ad si-

εἴ τις, Θερσίτης ὤν, νομίζοι ἑαυτὸν ὡραῖον εἶναι. Ἢ κατὰ τὰ ἐκτός· ὡς εἴ τις ἄσωτος ὑπάρχοι, διὰ τὸ οἴεσθαι ἑαυτὸν πλούσιον εἶναι, μὴ ὄντα. Διὰ ταῦτα οὖν ἐν τῷ τρίτῳ τμήματι προοιμιαζόμενος ἀπαντᾷ πρὸς τοὺς δύο ἐλέγχους, τοὺς παραδοθέντας ἐν τοῖς δύο τμήμασι, λέγων· Ἀλλά, ὦ μακάριε, ἐμοί τε πειθόμενος καὶ τῷ ἐν Δελφοῖς γράμματι, γνῶθι σαυτόν. Μακάριον δὲ αὐτόν φησιν, ὡς μέλλων αὐτὸν συνάπτειν θεοῖς· ἐν τούτοις γὰρ ἡ μακαριότης διὰ τὴν στέρησιν τῆς κηρός· τὸ γὰρ μα̅ [6] στερητικόν. Προτάττει δὲ αὐτὸν [7] τοῦ θεοῦ, ὡς προςεχὲς αἴτιον [8] ὢν τῆς τοῦ Ἀλκιβιάδου σωτηρίας. Διὰ δὲ τοῦ γνῶθι σαυτόν ἐδήλωσε τὸ προςταττόμενον· διὰ γὰρ τῆς προςτάξεως τὸ προςταττόμενον ἐδήλωσεν. Διὰ μὲν τοῦ γνῶθι, ὅτι οὐκ ἐσμὲν σῶμα· τοῦτο γὰρ οὐ γινώσκει· οὐ συναμφότερον· οὔτε γὰρ τοῦτο, καθ' ὃ συναμφότερον, γινώσκει· οὐ γὰρ δὴ κατὰ τὸ σῶμα· ἀλλὰ ψυχή [9]· καὶ ψυχὴ οὐ φυσική, αὕτη γὰρ οὐ γινώσκει. Διὰ δὲ τοῦ σαυτόν, ὅτι οὐδὲ ἄλογος, (ἀνεπίστροφος γάρ ἐστι πρὸς ἑαυτὴν ἡ ἄλογος) ἀλλὰ λογική· καὶ λογικὴ οὐκ ἀεὶ τελεία, ἀλλὰ ποτὲ καὶ ἀγνοῦσα [10]. Διὸ καὶ προστάττει τὸ γνῶθι· οὐδεὶς γὰρ τῷ ποιοῦντι προςτάττει ποιεῖν· νῦν δὲ προςτάττει αὐτῷ γνῶναι ἑαυτόν· πολλῆς γάρ, φησὶν, ἐπιμελείας χρείαν ἔχεις καὶ οὐ μόνον σὺ ἀλλὰ καὶ ἐγώ. Πάντες μὲν γὰρ ἄνθρωποι μᾶλλον τῶν ἄλλων ζώων πολλῆς ἐπιμελείας δέονται, κατ' ἐξαίρετον δὲ καὶ μάλιστα ἐγώ τε καὶ σύ. Καὶ ζητήσωμεν,

militudinem accommodavit Philemon Comicus ap. Stob. Floril. Tit. LXXXI. in Reliquiis p. 308 Cleric.:

*Ὡς σπληνίον πρὸς ἕλκος οἰκείως τεθέν,*
*Τὴν φλεγμονὴν ἔπαυσεν, οὕτω καὶ λόγος.*

(6) μα̅ i. e. syllaba vel vocula *μὰ* i. e. *μή*. De re supra locuti sumus p. 125.

(7) Scr. *προςτάττει δὲ αὐτὸν.*

(8) An scrib. *αἴτιος*?

(9) Basilius Magn. T. II. p. 18 C. *Ἄλλο ἐσμὲν ἡμεῖς αὐτοί, καὶ ἄλλο τὰ ἡμέτερα, καὶ ἄλλο τὰ περὶ ἡμᾶς· ἡμεῖς μὲν οὖν ἐσμεν ἡ ψυχὴ καὶ ὁ νοῦς —. ἡμέτερον δὲ τὸ σῶμα, καὶ αἱ δι' αὐτοῦ αἰσθήσεις.* De hoc primario placito Platonicorum inprimis philosophorum dicendi nobis otium fecit doctissimus Segaar in copiosa annotat. ad Clement. Alex. quis dives salv. p. 290 sqq.

(10) Scr. *ἀγνοοῦσα.*

ὅπως ἔχει τὰ τρία δόγματα ταῦτα· πῶς γὰρ ἀγνοεῖ ἑαυτὸν ὁ Σωκράτης; πῶς δὲ μόνος ἄνθρωπος [11] τῶν ἄλλων ζώων ἐπιμελείας δεῖται; πῶς δὲ καὶ τὸ τρίτον κατεξαίρετον [12] τῶν ἄλλων ἀνθρώπων ὁ Σωκράτης καὶ Ἀλκιβιάδης δέονται ἐπιμελείας; Τὸ μὲν οὖν πρῶτον, ὅτι πολλαχῶς ἔστι γνῶναι ἑαυτόν· ἔστι γὰρ γνῶναι ἑαυτὸν κατὰ τὰ ἐκτός, ἀλλὰ δὴ καὶ κατὰ σῶμα ἔστι γνῶναι ἑαυτὸν πολιτικῶς, ὅτε τις γνῷ ἑαυτὸν κατὰ τὴν τριμέρειαν τῆς ψυχῆς· ἔστι γνῶναι ἑαυτὸν καθαρτικῶς, ὅτε τις γνῷ ἑαυτὸν ἀπολυόμενον τῶν παθῶν· ἔστι γνῶναι ἑαυτὸν θεωρητικῶς, ὅτε ἀπολελυμένον ἑαυτόν τις θεάσηται· ἔστι καὶ θεολογικῶς, ὅτε τις γνῷ ἑαυτὸν κατὰ τὴν ἰδέαν τὴν ἑαυτοῦ· ἔστι καὶ ἐνθουσιαστικῶς, ὅτε τις γνῷ ἑαυτὸν κατὰ τὸ ἕν, καθ' ὃ συναπτόμενος τῷ οἰκείῳ θεῷ ἐνθουσιᾷ. Ἠγνόει οὖν ἑαυτὸν ὁ Σωκράτης ἐνθουσιαστικῶς [13]. Διὸ καὶ ἐν Φαίδρῳ φησί· γελοῖόν ἐστι τὰ μὲν ἄλλα εἰδέναι, ἑαυτὸν δὲ ἀγνοεῖν [14]. Πρὸς δὲ τὸ β' φασί, ὅτι μᾶλλον τῶν ἄλλων ζώων ἐπιμελείας δεῖται ὁ ἄνθρωπος, οὐ μόνον κατὰ τὸ σῶμα, διότι γυμνὸν τοῦτο ἐποίησεν ἡ φύσις, τοῖς ἄλλοις ζώοις δι' ὅλου τρίχας καὶ κέρατά τισι καὶ ὁπλὰς ποιήσασα. Οὐ μόνον κατὰ τὰ ἐκτός, διότι δεῖται τοῦτο μόνον τὸ ζῶον σκέπης τῆς ἀπὸ τῶν οἴκων, ἀλλὰ καὶ κατὰ τὸν λόγον, διότι δριμύταταί εἰσιν αἱ κακίαι τῶν ἀνθρώπων, τῶν ἄλλων ζώων πλέον, διότι ἔνδον ἐστὶν ὁ πολυμήχανος λόγος, οἷόν τις Ὀδυσσεὺς ἐξυπηρετῶν τῇ ἐπιθυμίᾳ καὶ ποικίλλων τὰ πάθη· διὸ καὶ εἴρηται· Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο [15]. Διὰ

(11) Vid. scr. *μᾶλλον ἄνθρωπος* aut fortasse adjiciendum *πολλῆς* post *ζώων*.

(12) Scribendum *κατ' ἐξαίρετον* pro *ἐξαιρέτως*.

(13) Vid. Schol. in Plat. p. 79. ad *Νῷ γε*.

(14) Non ipsa Platonis verba Olympiodorus laudat, sed sensum tantum exprimit. Apud Platonem est in Phaedro p. 230. a. Bip. T. X. — Bekk. I, 1. p. 8. *γελοῖον δή μοι φαίνεται, τοῦτ' ἔτι ἀγνοοῦντα τὰ ἀλλότρια σκοπεῖν.* — Ceterum cum his et sequentibus compone quae multa apud Stobaeum collecta exstant in Florilegii sermone XXI. *περὶ τοῦ γνῶθι σαυτόν* et quae alia Wyttenbachius *ὁ μακαρίτης* ex vett. scriptoribus collegit ad Plutarch. Moral. T. VI. 1 p. 421.

(15) Est versus Homericus Odyss. *σ*,130, ubi vid. Clark. et Ernest. Adhibe etiam Apollonii Lex. Homer. p. 79 Toll. et Eustath. p. 661. 36.

τοῦτο οὖν, φησὶ, μᾶλλον ὁ ἄνθρωπος δεῖται ἐπιμελείας. Τὸ δὲ τρίτον, ὅτι μᾶλλον τῶν ἀνθρώπων Ἀλκιβιάδης καὶ Σωκράτης. Ἀλκιβιάδης μὲν, διότι αἱ μεγάλαι φύσεις ἀμελούμεναι μεγάλων κακῶν αἴτιαι γίνονται, ὥςπερ, ἐπιμελείας τυγχάνουσαι, μεγάλων ἀγαθῶν. Καὶ γὰρ ὥςπερ ὁ πίειρα γῆ, ἐπιμελουμένη μὲν καὶ γεωργουμένη, ἀγαθοὺς καρποὺς ἐκδίδωσιν, ἀμελουμένη δὲ ἀκάνθας πέφυκεν ἀποτίκτειν [16]. Οὐδὲν γὰρ οἶδεν ἡ γεννᾷν μὴ προςλογισαμένη τὸ κάρπιμον, εἴτε ἀκανθῶδές ἐστιν, εἴτε ἕτερον. Οὕτω καὶ αἱ δεξιαὶ φύσεις διάκεινται. Ὅθεν καὶ, ὅπου ἔρεψεν [17] ὁ Ἀλκιβιάδης, τροπὴν ἐποίησεν. Καὶ παρὰ Λάκωσι γενόμενος, συνεγένετο τῇ τοῦ βασιλέως γυναικί τε καὶ μητρὶ καὶ θυγατρί [18]. Γενόμενος δὲ ἐν ταῖς Ἀθήναις συνεβούλευσε τῷ ἐπιτρόπῳ Περικλεῖ βουλεύσασθαι, ὅπως μὴ ποιήσοι λόγους Ἀθηναίοις τῶν ἀναλωθέντων χρημάτων εἰς τὴν Φειδίου Ἀθηνᾶν. Διὸ κἀκεῖνος ἔλεγε πρὸς τοὺς ἐξετάζοντας τὴν δαπάνην τῶν χρημάτων, ὅτι εἰς τὸ δέον ἀνηλώθη [19]. Καὶ ἡ κωμῳδία περὶ αὐτοῦ φησίν· εἰ τὸ δέον ἀνήλωσα [20], οὐκ ἀνήλωσα. Ὅθεν ἐκινήθη ὁ Πελοποννησιακὸς πόλεμος. Διὰ ταῦτα πολλῆς ἐπιμελείας ἐδεῖτο ὁ Ἀλκιβιάδης· ἀλλὰ καὶ Σωκράτης ὁμοίως διὰ τὸ ὑψηλὸν τῆς αὐτοῦ φιλοσοφίας. Ἢ καὶ ὡς ἐρωτικὸς βούλεται τὰ αὐτὰ ἔχειν τοῖς παιδικοῖς, καὶ σὺν αὐτοῖς φησιν ἑαυτὸν πολλῆς ἐπιμελείας δεῖσθαι.

Ταῦτα ἔχει ἡ θεωρία: — Πειθόμενος ἐμοί τε καὶ τῷ ἐν Δελφοῖς· — Συνάπτει ἑαυτὸν τῷ θεῷ πολλαχοῦ δὲ

(16) Τίκτειν proprie de terra bona, *producere*; de mala: ἐκφέρειν *ejicere* velut abortum, de quo etiam ἐκβάλλεσθαι usurpatur, docente Hug. Grotio ad Epist. Hebr. VI. 7. 8, qui locus cum nostro comparari debet, et ad illum Valckenarius in Scholl. N. T. II. p. 502 sq., qui Grotii Observationem ab Elsneri reprehensione naviter vindicavit. Ἀποτίκτειν pro τίκτειν pariter usurpavit Theodoret. in haeret. fabb. compend. I. 13 Tom. IV. p. 304, ut alios scriptores praetermittam. (17) Scrib. ἔρρεψεν.

(18) Qui huc et ad sequentia pertinent loci, eos p. 153 laudavimus. Adde de ingenio Alcibiadis Wyttenbachii copiosam animadvers. ad Plutarch. de discern. adulat. ab amico Tom. VI. 1. p. 444. sqq.

(19) Vid. Aristoph. Nub. 856. ib. Schol.

(20) Scribendum ut est apud Aristophanem l. c. εἰς τὸ δέον ἀπώλεσα. De re cf. Brunck. in Commentar. p. 297. ed. Beck. De causis belli Peloponnesiaci qui exposuerunt, eos supra p. 26 laudavi.

τοῦτο ποιεῖ· Οὕτως ἐν τῷ Φαίδρῳ ὁμόδουλον ἑαυτὸν τοῖς κύκνοις φησίν [21]· οὕτως ἐν τῷ παρόντι διαλόγῳ συνέταττεν ἑαυτὸν τῷ Ἀπόλλωνι, ὀνειδίζων τοῖς Λακεδαιμονίοις τὸ φιλοχρήματον. Ἦν γὰρ ὁ χρησμὸς δοθεὶς περὶ αὐτῶν ἁ φιλοχρημοσύνα τὰν [22] Σπάρταν ὀλεῖ, ἄλλο δέ κ' οὐδέν. Οὕτως ἐν τῷ Θεαιτήτῳ [23]· θεὸς οὐδεὶς δύσνους ἀνθρώπῳ, οὐδὲ ἐγὼ τοῦτο δυσνοίᾳ ἐρῶ, ἀλλὰ μὲν [24] ψευδές τε συγχωρῆσαι καὶ ἀληθὲς ἀφανίσαι οὐδαμῶς θέμις. — Ὅτι οὗτοι ἡμῖν ἐστιν: οὗτοι ἀντίπαλοι [25]. Οἱ γὰρ Πέρσαι καὶ Λάκωνες ἡμῖν εἰσιν ἀντίπαλοι καὶ ἀνταγωνισταί, ἀλλ' οὐχ ὡς σὺ ᾤου· ἐκεῖνοι γὰρ συναγωνισταὶ ἦσαν, ὧν οὐ δυνάμεθα περιγενέσθαι ἄλλῳ τινί, ἢ σοφίᾳ καὶ ἐπιμελείᾳ [26]. Καὶ ἰδού, καὶ ἑαυτὸν εἶπεν ἀγνοεῖν ἑαυτόν: Ἐν Ἕλλησί τε καὶ βαρβάροις, οὗ μοι δοκεῖς ἐρᾷν. — Ἡ θεραπεία ἡ Σωκρατική, ὅτι εἰ ὀνομαστὸς ἐφίλη [27] γενέσθαι μάθε, τίς ἡ πολιτικὴ ἐπιστήμη· αὕτη γὰρ μόνη ὀνομαστόν σε δύναται ποιῆσαι. Ἀπὸ γὰρ τῶν ὁμοίων ἡ Σωκρατικὴ ἴασις γίνεται ἐπὶ τὰ ὅμοια, δίκην τῶν ἰατρῶν τῶν τὰ ὅμοια φάρμακα τοῖς χυμοῖς προσαγόντων καὶ ταύτῃ κενούντων τὴν

(21) Vid. Plat. Phaedon. (Scribendum enim *Φαίδωνι* pro *Φαίδρῳ*) p. 85. b. Bip. T. I. — Bekk. II, 3. p. 60. p. 46 Wyttenbach. cujus Annotationem Proclo in Alcib. adhibui.

(22) Delendum *τὰν*. Vid. supra. p. 164.

(23) Vid. Platon Theaetet. p. 151. c. d. Bip. T. II. — Bekk. II, 1. p. 194. Heindf. p. 312. Ubi est — *ἀνθρώποις, οὐδ' ἐγὼ δυςνοίᾳ τοιοῦτον οὐδὲν δρῶ, ἀλλά μοι ψεῦδός τε ξυγχωρῆσαι κ.τ.λ.* Cf. supra Olympiodor. sect. 6. p. 53. Ceterum hunc Platonis locum tractavit etiam Plutarchus in Quaestt. Platonn. p. 999. D. E. Tom. V. p. 67 sqq. ed. Wyttenb.

(24) Corr. sec. manus *μοι*.

(25) Scrib. ex nostro dialogo p. 124. b. Bekk. p. 345. *Ὅτι οὗτοι ἡμῖν εἰσιν ἀντίπαλοι.* Pronomen *ἡμῖν* omissum in cod. Bodlejano.

(26) Edd. *ὧν ἄλλῳ μὲν οὐδ' ἂν ἑνὶ περιγενοίμεθα εἰ μὴ ἐπιμελείᾳ τε ἂν καὶ τέχνῃ.* Cod. Bodlej: *εἰ δ' ἔπερ* [*μὴ*] *ἐπιμελ.* In Astii contextu *ἂν* post *τε* omissum fortasse operarum vitio; neque enim de ea re monitum est. Ceterum *εἰ ἂν* cum optativo junctum idoneis exemplis monstravit *Dissen* vir amicissimus in Disquisitt. philoll. I. p. 24, ubi etiam nostri loci lectorem admonuit.

(27) An scrib. *φιλῇ* aut: *ἐφίλεις?*

πλεονάζουσαν κακοχυμίαν. — *Ἔχεις ἐξηγήσασθαι; παντὸς γὰρ μᾶλλον ἔοικας* —. Εὐφυῶς ὁ νέος ἀπεκρίνατο, ἐξηγητὴν γὰρ αὐτὸν καλεῖ, διότι ἐτιμᾶτο Ἀθήνησιν ὁ Ἀπόλλων ὡς ἐξηγητὴς [28], διότι διὰ τῆς τῶν χρησμῶν ἐξηγήσεως σωτηρίας αἴτιος ὑπῆρχε τοῖς Ἕλλησιν. Ὡς οὖν συντάξαντα ἑαυτὸν τῷ θεῷ ἐξηγητὴν αὐτὸν εἶπεν. — *Ναί· ἀλλὰ γὰρ κοινῇ βουλῇ* —. Ἰδοῦ ἀγνοεῖ καὶ Σωκράτης, διὸ καὶ κοινῶς βουλεύεται. Βουλεύεται μὲν γὰρ ἀγνοῶν μετὰ τῶν παιδικῶν, ὡς δὲ ἐπιστήμων δύναται εἰδέναι· συναγνοεῖ δὲ τοῖς παιδικοῖς, ὡς ἐρωτικός. — *Ἐγὼ γάρ τοι οὐ περὶ μὲν σοῦ λέγω, ὡς χρὴ παιδευθῆναι* —. Κοινὸν γὰρ τοῦτο, φησὶν, ἐμοί τε καὶ σοὶ, τὸ ἀγνοεῖν ἑαυτοὺς καὶ δεῖσθαι παιδείας. Διὰ τοῦτο διαφέρομεν δὲ ἑνί τινι μόνῳ· τὸ [29] τὸν μὲν ἐπίτροπον σὸν Περικλέα εἶναι, τὸν δὲ ἐμὸν, θεὸν εἶναι· ὅπερ ἓν τὸ ὅλον ἐστίν. Οὕτω καὶ ἀλλαχοῦ· ἐγὼ μὲν γὰρ οὐδὲν οἶδα πλὴν ἓν μόνον, τὸ διδόναι λόγους καὶ λαμβάνειν, τουτέστι τὴν διαλεκτικὴν, ὅπερ τὸ ὅλον ἐστίν· εἴ γε φιλοσοφία ἐστὶ πάντα τὰ ὄντα γινώσκουσα. Τί οὖν· Ἀλκιβιάδου οὐκ ην ἐπίτροπος θεῖος; [30] καίτοι λέγεται ἐν τῷ Φαίδωνι, ὅτι μετὰ τελευτὴν ἄγει αὐτὸν ὁ δαίμων πρὸς τοὺς δικαστὰς, ὥςπερ ζῶντα εἰλήχειν εἶχεν αὐτόν [31]. ἀλλ' οὐ μετὰ συναισθήσεως, ὥςπερ ὁ Σωκράτης. — *Ὅτι ἡ ἐπιφάνεια* —. Κοινῷ ὀνόματι ἐχρήσατο τῇ ἐπιφανείᾳ, καὶ ἐπὶ τοῦ θεοῦ, καὶ ἐπὶ τοῦ Ἀλκιβιάδου· διότι κυρίως ἐπιφάνεια ἐπὶ θεοῦ λέγεται. Ἦν γὰρ καὶ ὁ Ἀλκιβιάδης [32]. τῷ δὲ φιλοτίμῳ φίλον ὑπάρχει τῷ ἐπιφανεῖ [33] εἶναι. Καὶ ἰδοὺ πῶς ἐν καιρῷ μεγαληγορεῖ, ὅτι δι' ἐμοῦ ἔσται σοι

(28) Vid. Platon. de Rep. p. 427. c. Bip. T. VI. — Bekk. III, 1. p. 179. Vid. Ruhnk. ad Tim. p. 111.

(29) Vid. scrib. *τῷ.*

(30) Sic ex corr. pro *θεός* quod restituendum videtur, cum ita sit in dialogo.

(31) Locus est in Platonis Phaedone p. 107. d. Bip. T. I. — Bekk. II, 3. p. 107. — Wyttenbach. p. 82. et ej. annot. p. 289. Legitur autem ita: *Λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὅςπερ ζῶντα εἰλήχει, οὗτος ἄγειν εἰς δή τινα τόπον κ. τ. λ.* Noster locum partim immutatum, partim corruptum exhibet. (32) Vid. add. *φιλότιμος.*

(33) Corr. sec. man. — *νῇ.* Scrib. *τὸ ἐπιφανῆ εἶναι.*

ἡ ἐπιφάνεια. — *Παίζεις, ὦ Σώκρατες.* Ἴσως παίζειν αὐτόν φησιν, διὰ τὸ λέγειν αὐτόν, ὅτι κἀγὼ ἐπιμελείας δέομαι· ὁ δὲ φησίν· ἴσως παίζω· ἡ γὰρ περὶ τὰ δεύτερα ἐνέργεια παίγνιόν ἐστι. Διὸ καὶ τὸ *Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν, ὡς ἴδον Ἥφαιστον περὶ δώματα ποινύοντα* [34]. Τὸν γὰρ ἔφορον τοῦ σωματικοῦ παντὸς ἑκατέρωθεν χωλεύοντα εἰρήκασιν οἱ ποιηταί. Τοῦτο γὰρ δηλοῖ τὸ ἀμφιγυήεις [35]. *Πάντες ἄνθρωποι ἀτὰρ νῶ τε καὶ μάλα σφόδρα* [36]. — Σκόπει τὴν διαφορὰν τῶν Σωκράτους ῥημάτων καὶ τοῦ παρ' Ὁμήρῳ Ἀχιλλέως. Ἐκεῖνος γάρ φησι πρὸς τὸν Πάτροκλον διεγείροντα αὐτὸν πολεμεῖν· *μηδέ τις ὢν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασιν, μήτε τις Ἀργείων, νῶιν δὲ φύγοιμεν ὄλεθρον* [37]. Ὁ μὲν γάρ φησί· πάντες ἀπόλωνται, ἡμεῖς δὲ σωθῶμεν· Σωκράτης δέ, ὡς κηδεμὼν τῆς ἀνθρωπίνης φύσεως λέγει· πάντας ἀνθρώπους ἐπιμελείας πολλῆς δεῖσθαι. *Οὐκ ἀπορητέον οὐδὲ μαλθακισθέον* [38]. — Οὐκ ἀπορητέον, διὰ τὸν λόγον· δεῖ γὰρ καὶ τὸν λόγον μὴ ἔχειν ἐκνενευρισμένον· οὐ μαλθακιστέον, διὰ τὴν ἐπιθυμίαν· δεῖ γὰρ ἔχειν ταύτην ἀμάλθακτον καὶ συντεταμένην πρὸς ἔφεσιν ὠφελείας.

(34) In marg. recte ποιπνύ. Est locus Homericus ex Iliad α,599 sq.

(35) Vid. Iliad. α, 607. ib. Scholl.

(36) Haec verba ex dialogo nostro depromta p. 124. c. Bekk. p. 346; si transponas τε (velut in Edd. est γε) versum hexametrum constituunt:

*Πάντες τ' ἄνθρωποι γε, ἀτὰρ νὼ καὶ μάλα σφόδρα·*

Hiatus si displicet, scribe μὲν pro γε. Et videtur sane locus poëtae cujusdam, cum ἀτὰρ poetis magis usurpetur, quam solutae orationis scriptoribus. Quamquam eo aliquoties utitur Plato. Vid. Ruhnk. ad Timaeum p. 52. Moser. In cod. Bodlej. h. l. nihil variantis lectionis reperitur.

(37) Est locus Homeri Iliad. π,98 sq. ubi vero est:

*Μήτε τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασιν,*
*Μήτε τις Ἀργείων· νῶϊν δ' ἐκδῦμεν ὄλεθρον.*

(38) In Edd. est ἀποκνητέον οὐδὲ μαλθακιστέον (ita serib.). Ἀποῤῥητέον laudat Etwall. ex Ms. Schol. Ruhnken. p. 80 exhibet. ἀπορητέον, haud dubie ex Olympiodoro aut ex Proclo, et ita quoque Cod. Vindobon. assentientibus Astio et Buttmanno. Bekkerus tamen retinuit vulgatum. Cod. Bodlej. exhibet μαλακιστέον, sed illa altera forma Platoni est usitatior, eamque retinuit Bekker. Tu vid. exempla a Ruhnkenio ad Tim. L. Plat. p. 99 collecta.

## Πρᾶξις σὺν θεῷ κ̄.

*Καί μοι λέγε· φαμὲν γὰρ δὴ ὡς ἄριστος*[1] *βούλεσθαι γενέσθαι.* — Ἐπειδὴ σκοπὸς τοῦ διαλόγου τὸ γνῶναι ἑαυτοὺς, οὐ κατὰ τὸ σῶμα, οὐ κατὰ τὰ ἐκτός· (ἐπιγέγραπται γὰρ Ἀλκιβιάδης, ἢ περὶ ἀνθρώπου φύσεως·) ἀλλὰ κατὰ ψυχὴν, οὐ τὴν φυσικὴν, οὐ τὴν ἄλογον, ἀλλὰ τὴν λογικήν· καὶ κατὰ ταύτην οὐ δήπου γνῶναι ἑαυτοὺς καθαρτικῶς ἐνεργοῦντας ἢ θεωρητικῶς, ἢ θεολογικῶς ἢ θεουργικῶς, ἀλλὰ πολιτικῶς. Οὐκ ἂν γὰρ ὁ Ἀλκιβιάδης ἠβούλετο πράγματα ἔχειν περὶ τὸ ζητούμενον, εἰ μὴ εἶχε δέλεάρ τι τὸ ζητούμενον, ὅπου γε καὶ ἐν τούτῳ δυσχεραίνει, ὡς ῥᾴθυμος περὶ τὴν ζήτησιν. Ὑπόκειται γὰρ, ὥς φησιν ἡ λέξις, *ἄττων ἐπὶ τὰ τῆς πόλεως πράγματα*[2]. Καὶ διὰ τοῦτο ὁπωσοῦν ἔχει τινὰ πόθον περὶ τὸ ζητούμενον. Καὶ ὅτι καὶ ἐπαγόμενα συμφωνεῖ τοῦ[3] τοιοῦτον εἶναι τὸν σκοπόν· ὁρίζεται γὰρ ἐφεξῆς τὸν ἄνθρωπον ψυχὴν λογικὴν ὀργάνῳ χρωμένην τῷ σώματι· μόνος δὲ ὁ πολιτικὸς τοιοῦτος[4]· ὁ γὰρ καθαρτικὸς οὐδὲ ὀγάνῳ αὐτῷ χρῆται, εἴ γε τὰ ὄργανα παραλαμβανόμενα συντελεῖ τῷ χρομένῳ[5]. Ἐπὶ δὲ τοῦ καθαρτικοῦ μᾶλλον ἐμπόδιον γίνεται τὸ σῶμα· καλῶς εἰρημένου τοῦ ὑπὸ Ἀριστοτέλους[6]· ὁ γὰρ νοῦς ποῖον ἐφέξει μόριον ἢ πῶς, χαλεπὸν καὶ πλάσαι· καὶ ὅτι ἔδει τινὰ παραληφθῆναι ἐπὶ τῷ τέλει τοῦ παρόντος διαλόγου, συμβαλλόμενα πρὸς τὸν ἐφεξῆς λόγον τὸν Γοργίαν[7], περὶ τῶν πολιτικῶν ἀρετῶν διαλαμβάνοντα. Ἔδει οὖν εἰπεῖν· τίς ὁ πολιτικός; διὰ τοῦτο οὖν παραδίδωσιν ἐνταῦθα τὰ αἴτια τῆς πολι-

(1) Edd. *ἄριστοι.* Cod. Bodl. *φαμὲν γὰρ δή ὤ.*
(2) Vid. Alc. I. p. 118. b. Bekk. p. 333.
(3) Legendum videtur *τῷ τοιοῦτον.*
(4) Vid. p. 171 et quos ibi ex Basilio Magno et Clemente Alex. locos laudavi.
(5) Scr. *χρωμένῳ.*
(6) Tangere videtur Aristotelis locum de Animâ I. 3. p. 11. sq. Consimiles sunt loci I. 2. p. 6. Cf. insuper I. 5. p. 19. et III. 3. 4. p. 56 sqq. Sylb.
(7) Olympiodoro igitur judice Platonis Gorgias hunc dialogum qui Alcibiades inscribitur continuo excipit.

τικῆς ἐπιστήμης· τὸ ὑλικὸν, τὸ εἰδικὸν, τὸ ποιητικὸν, τὸ τελικόν. Ὑλικὸν μέν ἐστιν οὐχὶ τὰ θεωρητὰ, ἀλλὰ τὰ πρακτά· καὶ πρακτὰ οὐ τινά· (καὶ γὰρ τῷ τέκτονι τινὰ πρακτὰ ὑπόκειται, οἷον τὰ ξύλα· καὶ ἡ ναυπηγία τινὰ ἔχει, οἷον τὰς ναῦς)· ἀλλὰ πάντα τὰ πρακτά. Ὥςπερ γὰρ ἑκάστη μὲν τέχνη ἓν οἶδε, πολλὰ δὲ ἀγνοεῖ, ὁ δὲ φιλόσοφος πάντα τὰ ὄντα οἶδε· οὕτως ἑκάστης τῶν ἄλλων τεχνῶν ἓν ἐχούσης ὑποκείμενον, καὶ περὶ αὐτὸ εὖ βουλευόμενον, ἡ πολιτικὴ πάντα τὰ ὄντα ἔχει ὑποκείμενα, πρὸς τὸ ἄμεινον πράττειν περὶ αὐτά. Ἄτοπον γὰρ ἓν μόνον αὐτὴν ἔχειν ὑποκείμενον, εἴγε ὁ πολιτικὸς μιμεῖται τὸν δημιουργὸν καὶ βουλεύεται μιμεῖσθαι ἐκεῖνον παράγοντα, καὶ διὰ τοῦτο κἀκεῖνος ἄμεινον αὐτὰ βουλεύεται διοικεῖν. Καὶ οὐ διὰ τοῦτο ἀδικεῖ τὰς ὑποβεβηκυίας τέχνας ἡ πολιτικὴ, χρωμένη τοῖς ἔργοις ἐκείνων, τὀναντίον [8] γὰρ καὶ σώζειν αὐτὰς βούλεται, συμβουλεύουσα, εἰ δεῖ χρῆσθαι ἐκείναις, καὶ πότε δεῖ. Οὕτω γοῦν καὶ ὁ παρ' Ὁμήρῳ Ἀχιλλεὺς παρακελεύεται μάντει χρήσασθαι [9], μὴ τὰ τοῦ μάντεως ποιήσας καὶ μαντευσάμενος. Εἶδος δὲ τῆς πολιτικῆς ἐπιστήμης τὸ ἄρχειν. Ἄρχειν δὲ οὐκ ἀλόγων, τῶν πληγῇ νεμομένων, ἀλλὰ ἀνθρώπων [10]. Καὶ ἀνθρώπων οὐχ ἁπλῶς, ἐπεὶ καὶ ὁ ἰατρὸς ἄρχει ἀνθρώπων τῶν καμνόντων· οὐ θεριστῶν, γεωργίας γὰρ τοῦτο· οὐ πλεόντων, κυβερνητικῆς γὰρ τοῦτο· οὐκ ᾀδόντων, χοροδιδασκαλικῆς γὰρ τοῦτο· ἀλλ' ἀνθρώπων, ὡς ἀνθρώποις χρωμένων. Ἀλλ' ἐπεὶ καὶ ὁ κυβερνήτης ἄρχει ἀνθρώπων τῶν κελευστῶν· (λέγονται δὲ κελευσταί ὁ περὶ τὰ ἄρμενα [11] ἱστάμενοι ἀρχόντων ἀθρώ-

(8) Scrib. *τοὐναντίον.*

(9) Vid. Iliad. *α*,62.

(10) Haec verba a Proclo p. 279 in hunc ipsum dialogum mutuatus est Olympiodorus.

(11) De hoc Vocabulo vid. Homer. Odyss. *ε*,254 et ib. interpp. et Etymolog Gud. p. 58. et p. 435. 21. Vocem *κελευσταὶ* plane ut noster explicat Scholiasta in Plat. p. 80. Ruhnk. Nimirum omnia fere desumpsit ex his Procli Olympiodorique commentariis. Hunc tamen locum mutilum exhibet. Proxime corrigendum: *κελευσταὶ οἱ — ἱστάμενοι, ἄρχοντες ὄντες ἀνθρώπων τῶν ἐρετῶν* aut *ἄρχοντες τῶν ἀνθρ. τ. ἐρ.* Vid. Pollux I. 96 ibiq. interprr. Musgravius ad Euripid. Helen. 1591 (1595). Adde Phrynichi *προπαρ. σοφιστ.* in Bekkeri Anecdott. grr. p. 47: *ὁ μὲν γὰρ κελευστής ἐστιν ὁ ἐν νηῒ κελεύων τοῖς ἐρεταῖς τι.* De *χοροδιδασκάλῳ* vid. Harpocration. in

πων τῶν ἐρετῶν)· καὶ ὁ χοροδιδάσκαλος ἄρχει τῶν αὐλητῶν, τῶν ἡγουμένων τῶν ᾀδόντων· διὰ τοῦ [12] προστίθησιν, ὅτι ὁ πολιτικὸς ἄρχει ἀνθρώπων· ἀνθρώπων μὲν ἡγουμένων [13], κοινωνούντων δὲ ἀλλήλοις ἐν ταῖς κατὰ τὰ συμβόλαια ὁμολογίαις. Τὸ δὲ ποιητικὸν αἴτιον, οὐ σοφία, ἀλλὰ φρόνησις, ἡ περὶ τὰ πρακτὰ καταγινομένη. Τέλος δὲ ἔχει ὁ πολιτικὸς, τὸ ὁμόνοιαν καὶ στοργὴν ἐμποιεῖν τῇ πόλει· ἢ ἐν γνώσεσι, καὶ ποιεῖ ὁμόνοιαν· οὐδὲν γὰρ ἄλλο ἐστὶν ὁμόνοια, ἢ κοινωνία γνώσεων καὶ ὁμοδοξία· ἢ ἐν ζωαῖς, καὶ ποιεῖ στοργήν· ἡ δὲ φυσικὴ φιλία· καὶ οὐ ταὐτὸν ἄμφω ταῦτα. Διότι ἔστι στοργὴ μὴ ἔχουσα ὁμόνοιαν, εἴ γε ἀνὴρ καὶ γυνὴ στέργουσιν ἀλλήλους, μὴ ὁμονοοῦντες· οὐ γὰρ συμφωνοῦσι περὶ γνῶσιν· οὔτε γὰρ ἡ γυνὴ συμφωνεῖ τῷ ἀνδρὶ ἐν τοῖς πολεμικοῖς καὶ ἐν τῷ εἰδέναι ὁπλιτεύειν [14]· οὔτε ὁ ἀνὴρ τῇ γυναικὶ ἐν τῇ γνώσει τῇ περὶ ταλασιουργιάν [15]. Ἔστι δὲ καὶ τὸ ἀνάπαλιν ὁμόνοια μὴ ἔχουσα στοργήν· εἴγε οἱ κεραμεῖς ὁμονοοῦσιν, ὡς περὶ τὰ αὐτὰ γνωστὰ καταγινόμενοι, καὶ τὰ αὐτὰ νοοῦσι· διὰ τοῦτο λέγεται ὁμόνοια· οὐ μὲν καὶ στέργουσιν ἀλλήλους, διὰ τὸ· καὶ κεραμεὺς κεραμεῖ φθονέει καὶ τέκτονι τέκτων [16].

*διδάσκαλος* et Cuperi Observv. lib. I. cap. 1. Has similitudines frequentant ipsi Socratici. De *χορῷ* vid. modo Xenoph. Mem. Socr. III. 4. 3 sqq. Plato in Gorg. p. 482. et saepius in sqq. de Leg. II. p. 655.

(12) Scrib. *τοῦτο*. [Aut *τούτου*.]

(13) Dubium est, utrum *ἡνουμενένων* scriptum sit in mscr. an *ἡγουμένων*. Fortasse scribendum *ἡνωμένων*.

(14) Id est gravis armaturae militem esse; cf. Pollux I. 130. Thucyd. VIII. 73. Suspicor consulto his finibus eam sententiam inclusisse, quoniam Plato mulieres ad rem bellicam pariter natas esse docebat atque viros, neque vero pariter ad gravis armaturae militiam.

(15) Vid. Schol. in Platon. p. 81. Ruhnk. [sc. *ταλασιουργία* et *ὁμονοοῦσι*.]

(16) Est locus Hesiodi *ἐ. κ. ἡ.* 25 sq. (15. sq.), ibi vero antea scribebatur

*καὶ κεραμεῖ κεραμεὺς κοτέει, καὶ τέκτονι τέκτων,*
*καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.*

Plato in Lysid. p. 215. c. p. 33 Hndf. *καὶ κεραμεὺς κεραμεῖ κοτέει.* Plutarch. de cap. ex inimicc. util. p. 92 A, ubi vid. Wyttenbachii Animadvv. Tom. I. p. 635; eumque ordinem restituit Gaisford. cf. ejus annot. p. 5 eumque secutus Spohn. Sententia in proverbium abiit Erasmi et Aliorr. Adagg. [cf. infra p. 192.]

Καὶ πῶς ἂν ποιήσοι ὁ πολιτικὸς ὁμόνοιαν καὶ στοργὴν ἐν τῇ πόλει; στοργὴν μὲν ποιήσοι, εἰ τοὺς πολίτας ποιήσοι [17] διακεῖσθαι πρὸς ἀλλήλους, ὥςπερ ἑνὸς γένους οὔσης τῆς πόλεως, καὶ ὥστε παραμετρεῖσθαι ταῖς ἡλικίαις τὰς συγγενείας, καὶ τοὺς μὲν γέροντας πάντας πατέρας οἴεσθαι, τοὺς δὲ πολῷ [18] σμικροτέρους, υἱέας, τοὺς δὲ ὁμήλικας, ἀδελφούς· ἵνα ἀνθ' ὧν φησὶ ἐκεῖνος ἧλιξ ἥλικα τέρπει [19]· ἡμεῖς εἴπωμεν· πολίτης πολίτην τέρπει. Ὁμόνοια δὲ γίνεται, εἰ τοῖς αὐτοῖς πάντες ἀκουστοῖς χαίροιεν καὶ τοῖς αὐτοῖς ὁρατοῖς· ἦν γὰρ ἡ ὁμόνοια κοινωνία γνώσεως. Ταῦτα δὲ ἔχοντες κοινωνὴν ἀκοὴν καὶ κοινὴν ὄψιν ἔχοιεν [20]· αἱ γὰρ αἰσθήσεις γνώσεις τινές εἰσιν.

Ταῦτα ἔχει ἡ θεωρία. — Καί μοι λέγε· φαμὲν γὰρ δὴ ὡς ἄριστοι βούλεσθαι γίνεσθαι [21]. Τουτέστι βουλόμεθα ἄριστοι γενέσθαι. Δεῖ οὖν διὰ τοῦτο μαθεῖν τὴν πολιτικὴν ἐπιστήμην· καὶ ἐντεῦθεν εἶπε τὸ προοίμιον τῆς πράξεως, ἐν ᾧ λέγει, τίς ἡ ὕλη τῆς πολιτικῆς ἐπιστήμης. Δῆλον ὅτι ἥνπερ οἱ ἄνδρες οἱ ἀγαθοί. — Ὡς μειράκιον ὁ Ἀλκιβιάδης οὐ καλῶς ἀπεκρίνατο, εἰπών· τὴν ἀρετὴν δεῖ ἔχειν, ἥνπερ οἱ ἄνδρες οἱ ἀγαθοί. Ἔδει γὰρ εἰπεῖν· ποίαν

(17) Sup. σει. (18) Scr. πολλῷ.

(19) Similes sententiae passim leguntur ap. veteres scriptores. Etiam hac in re princeps est Homerus, quem deinceps multi sunt imitati. Vid. Odyss. ρ. 218 ibiq. Eustath. p. 626 sqq. Basil. Platon. 195 b. p. 58 ibiq. Schol. et F. A. Wolf. cf. Gernhard ad Cicer. de Senect. III. 7. p. 15. Nostrum adagium tangit Plato de Republ. I. 3. p. 329. III. 1. p. 6 Bekker. ubi vid. Astii Comm. p. 329; diserte laudat idem in Phaedro p. 250. b. c, ubi consule Heindf. p. 230. et Ast. p. 264. Ad eum locum Scholiastes p. 59 Ruhnken. integrum adscripsit versum:

Ἧλιξ ἥλικα τέρπει, γέρων δέ τε τέρπει γέροντα.

Laudat itidem Aristoteles in Rhetoricis I. 11. 25. p. 85 ed. Oxon. et simile proverbium in Ethicc. ad Nicomach. VIII, 1. ubi cf. Zellii nostri comment. p. 333.

(20) Est versus hexameter, ita scribendus:

κοινὴν τὴν ἀκοὴν καὶ κοινὴν ὄψιν ἔχοντες.

In Cod. nostro voci κοινωνὴν puncta subscripta sunt. Moser. Ad sententiam cf. Zenob. Proverbb. IV. 79. ibiq. Schottum. Platon. de Republ. IV. 3. p. 424 ibiq. Ast. p. 482. Plat. de Legg. V. 2. p. 733.

(21) Edd. γενέσθαι.

ἀρετήν; ἀρετὴν κατὰ τὰ θεωρήματα, ἢ τὴν κατὰ τὰ πρακτά; διὸ ὁ Σωκράτης ἐρωτᾷ αὐτόν· τί ἀγαθοί [22]; Οὔτε γὰρ προςέρχεται ἡ λέξις, καθὼς ἡ θεωρία, παραδιδοῦσα τὴν ὕλην τοῦ πολιτικοῦ ἀτάκτως, ἀλλὰ δι' ἐρωτήσεως καὶ ἀποκρίσεως. Διότι μὴ βούλεται ὁ Σωκράτης αὐτὸς εἰπεῖν τὴν ὕλην, ἀλλὰ μετὰ τοῦ Ἀλκιβιάδου, ὡς μαιευτικός· εἰ γὰρ ἔθελε καθ' ἑαυτὸν εἰπεῖν, ὡς ἡ θεωρία ἂν ἔλεγεν. Δῆλον ὅτι οἱ πράττειν [23] τὰ πράγματα, — Ἰδοὺ τέως ἕνα βαθμὸν ὠφελήθη ὁ Ἀλκιβιάδης· ἠτόμωσε [24] γὰρ τὸν λόγον, εἰπὼν τὰ πρακτὰ ὑποκεῖσθαι τοῖς πολιτικοῖς· διὸ πάλιν ἐρωτᾷ αὐτόν· ποῖα πρακτά; ἆρα τὰ ἱππικά; ὁ δὲ φησίν· οὐ βουλόμενοι γὰρ ταῦτα μαθεῖν, πρὸς ἱππικοὺς ἐφοιτῶμεν [25]. εἰδότος γὰρ περὶ ἑκάστου ἡ συμβουλή, καὶ οὐ πλουτοῦντος. Ἅπερ Ἀθηναίων οἱ καλοί τε [26] κἀγαθοί. — Τοῦτο μόνον ὠφελήθη ὁ Ἀλκιβιάδης, ὅτι ἀντιστρέφει καλὸν καὶ ἀγαθόν. Λοιπὸν ἐρωτᾷ αὐτὸν, ὅτι ἄρα καθ' ὃ οἶδέ τις οὐκ ἔστι φρόνιμος· οὐκοῦν καὶ ὁ σκυτοτόμος φρόνιμος ὢν εἰς ὑποδημάτων ἐργασίαν καὶ ἀγασίαν [27], καὶ ἀγαθὸς ἔσται, εἰς δὲ ἄλλην, οἷον εἰς ὑφαντικὴν, ἄφρων, καὶ ἔσται ὁ αὐτὸς ἀγαθὸς καὶ κακός. Καὶ οὐκ ἄτοπον μὲν τοῦτο ἐπὶ σκυτοτόμου, ἐπὶ δὲ πολιτικοῦ, τοῦ βουλομένου πάντα τὰ πρακτὰ ὠφελεῖν, διότι ὑποδύεται τὸν δημιουργὸν ἄτοπον. Τί οὖν λέγεις τοὺς ἀγαθοὺς ἄνδρας εἶναι κακούς [28]. Ἰδοὺ ἐν τῷ συμπεράσματι δίδωσιν, ὅτι πάντα τὰ πρακτα ὑπόκειται τῷ πολιτικῷ· φησὶ γὰρ ὅτι οἱ ἀγαθοὶ οὐδαμῶς εἰσι κακοὶ, ὅπερ ἐπὶ τῶν τεχνιτῶν συμβαίνει καὶ ἀγαθοὺς καὶ κακοὺς εἶναι: Ἀλλὰ τίνας ποτὲ τοὺς ἀγαθοὺς καλεῖς [29]; Ἐντεῦθεν τὸ εἶδος παραδίδωσι

(22) Edd. *οἱ τί ἀγαθοί*;
(23) Cod. Bodl. *οἷοι πράττειν* a prim. manu.
(24) Vocabulum hoc (*ἀτομόω*), si probum est, addendum Lexicis.
(25) In alio scriptore addendum diceremus *ἄν*.
(26) Abest *τε* ab Edd. Cod. Bodl. *καὶ ἀγαθ.*
(27) Delenda videntur verba *καὶ ἀγασίαν*, et vox *ἀγασία* plane nihili est. Voluit sine dubio librarius scribere *καὶ ἀγαθός*, oculus vero et calamus aberrarunt in ultimas vocabuli antecedentis syllabas.
(28) In Edd. est *Ἦ οὖν — εἶναι καὶ κακούς*;
(29) Edd. *λέγεις*.

τοῦ πολιτικοῦ, ὅτι τὸ ἄρχειν· καὶ πάλιν διὰ τῶν οἰκείων ἐρωτήσεων, ἀπὸ τῶν καθόλου ἐπὶ τὸ τῷ ὄντι εἶδος ἔρχεται. Ἀναγκάζει γὰρ αὐτὸν εἰπεῖν διὰ τῶν προςφυῶν ἐρωτήσεων, ὅτι τὸ ἄρχειν ἀνθρώπων, χρωμένων ἀνθρώποις ἐν τοῖς κατὰ νόμον συμβολαίοις. Καὶ ἔστιν θαυμάζειν τὴν μαιείαν τὴν Σωκρατικὴν, πῶς τῷ πλήθει τῶν παραδειγμάτων τὸ στενὸν τῆς ψυχῆς ἀνευρύνει καὶ ἀποτεκεῖν ποιεῖ τὸ ἀληθές. Ἀλλ' οὐδὲν ποιούντων; τουτέστιν ἀργούντων. Ὁ δὲ φησίν· οὔ. — Οὐκοῦν καὶ τῶν [30] συμβαλλόντων ἑαυτοῖς. — Ἰδοὺ πάλιν ὠφελήθη ὁ νέος, ὅτι ἀνθρώπων οἰκούντων [31] ἄρχοντα καὶ συμβαλλομένων ἄλλοις [32], τουτέστιν ἀρχόντων ἄλλων· κοινωνούντων ἔγωγε λέγω πολιτείας καὶ συμβαλλόντων πρὸς ἀλλήλους. Ἰδοὺ τελεία ἀπόκρισις, ὅτι ἄρχειν ἄλλων χρωμένων ἄλλοις [33] ἐν τοῖς κατὰ νόμον συμβολαίοις· τίς οὖν αὕτη ἡ τέχνη; ἐντεῦθεν τὸ ποιητικόν· ὅτι φρόνησις καὶ οὐ σοφία. Εὐβουλίαν ἔγωγε, ὦ Σώκρατες· ἀντὶ ἕξεως, ἐπὶ ἐνέργειαν μεθῆλθεν ὁ νέος· ἔδει γὰρ αὐτὸν εἰπεῖν φρόνησιν, ὁ δὲ εἶπεν εὐβουλίαν. Καὶ εἰπὼν εὐβουλίαν, ἁπλῶς εἶπεν· ἔδει γὰρ εἰπεῖν, ποίαν εὐβουλίαν; Σημειωτέον δὲ, ὅτι καὶ ἀνωτέρω ἀντὶ τῆς ἕξεως τῆς μετοχομένης [34], μὴ δυνάμενος ταύτην καθορᾶν ἐπὶ τὰ μετέχοντα μεθῆλθεν [35], ὥςπερ τις [36], μὴ δυνάμενος κατιδεῖν τὰ μικρὰ γράμματα, ἐπὶ τὰ μεγάλα τράποιτο γράμματα [37]. Ἄμεινον δὲ διοικεῖταί

(30) Edd. *τῶν καί.*

(31) Leg. vid. ex dialogo *τί ποιούντων*, nisi h. l. accipere velis pro: *administrantium*, quo sensu *οἰκεῖν* Atticis familiare est. Vid. Sturz. Lex. Xenoph. III. p. 248; et ita ipse Olympiodorus usurpat in sequentibus.

(32) F. *ἀλλήλοις* vid. supra.

(33) F. *ἀλλήλοις*. (34) Scrib. *μετεχομ.*

(35) Scr. *μετῆλθεν*. (36) F. *εἴ τις.*

(37) Saepius utuntur philosophi hujuscemodi similitudinibus a grammatica disciplina ductis. Ita ut hoc utar scriptor de philosophia in codice Palatino Heidelbergensi No. 281 membranaceo pervetusto egregieque exarato doctrinam Categoriarum ita exorditur: *Ὥςπερ οἱ ἀναγινώσκοντες πρῶτον μὲν τὰ στοιχεῖα μανθάνουσιν· ἀπὸ δὲ τῶν στοιχείων ἐπὶ τὰς συλλαβὰς μεταβαίνουσιν· ἀπὸ δὲ τῶν συλλαβῶν ἐπὶ τὰς λέξεις μετέρχονται, οὕτως οἱ τὸ τῆς φιλοσοφίας μετιόντες ὄργανον· πρὸ μὲν τῶν ἄλλων τὰς κατηγορίας παιδεύονται.* Alia ex hoc libro mscr. a Guil. Xylandro sunt edita Basil. 1556 et Psello attributa.

τις παραγενομένου [38]. Ὅτι τυχὸν στοργῆς παραγενομένης, καὶ διχονοίας ἀπογενομένης, ἣν ἐφεξῆς στάσιν καλεῖ, τουτέστι τὸν ἐμφύλιον πόλεμον· περὶ οὗ ἁπλῶς εἴρηται τὸ ποιητικόν· ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος, ὃς πολέμου ἔραται ἐπιδημίου, ὀκρυόεντος [39]. — Τυφλότητος δὲ ἀπογιγνομένης. — Τί οὖν δυνατὸν τυφλότητα ἀπογενέσθαι δι' ἀνθρωπίνης ἐπινοίας; θείας γὰρ ἐλλάμψεως τοῦτο· ἢ δυνατὸν τυφλότητα λέγειν αὐτὸν τὴν δι' ἐπίχυσιν γινομένην. Ὅταν φιλία μὲν αὐτοῖς γίνηται [40]. — Τοῦ Σωκράτους πολλοῖς χρησαμένου παραδείγμασι πρὸς τὸ τὸν νέον εἰπεῖν, τί τὸ τελικὸν αἴτιον τοῦ πολιτικοῦ, ἐντεῦθεν ὁ Ἀλκιβιάδης ἀποτίκτει τοῦτο λέγων, ὅτι τὸ φιλίαν ἐμποιεῖν τοῖς πολίταις. Ἁπλῶς δὲ εἰρηκότος αὐτοῦ τοῦτο διὰ τῶν ἐφεξῆς ποιεῖ αὐτὸν ὁ Σωκράτης διακρῖναι τὸ τέλειον καὶ ἀποφήνασθαι.

## Πρᾶξις σὺν θεῷ κα.

Ἄρα οὖν [1] φιλίαν λέγεις ὁμόνοιαν ἢ διχόνοιαν; Ἐπειδὴ τέλος ἔλεγεν ὁ Ἀλκιβιάδης τῆς πολιτικῆς ἐπιστήμης τὴν φιλίαν, ἀντιλέγει αὐτῷ ὁ Σωκράτης, οὐχ ὡς οὐ βουλόμενος τέλος εἶναι καὶ αὐτὸς τὴν φιλίαν, ἀλλ' ὅτι ᾤετο τὸν Ἀλκιβιάδην μὴ ἡγεῖσθαι στοργὴν διακρίνειν ἀπὸ φιλίας, ἀλλὰ ταὐτὸν εἶναι. Δείκνυσι δὲ, ὅτι καὶ ἡ ὁμόνοια φιλία ἐστὶ, καὶ ἐπ' εὐθείας, καὶ διὰ ἀδυνάτου. Ἐπ' εὐθείας μὲν οὕτως· εἰ ἡ διχόνοια ἔχθρα ἐστὶν, ἡ ὁμόνοια ἄρα φιλία· καὶ διὰ τοῦτο οὐ μόνον ἡ στοργὴ φιλία ἐστὶν, ἀλλὰ καὶ ἡ ὁμόνοια. Διὰ ἀδυνάτου δὲ οὕτως· εἰ ἀνὴρ καὶ γυνὴ μὴ ὁμονοοῦσιν, εἴ γε

(38) Correxit aliquis in hoc et sqq. syllabam —γεν—in—γιν—, ut est in Edd. ubi legitur: ἄμεινον δὲ διοικεῖται καὶ σώζεται τίνος παραγιγνομένου ἢ ἀπογιγνομένου;

(39) Vid. Homer. Iliad. ι, 63 sq. Quo p. 134. loco p. 134. usus est Olympiodorus.

(40) γίγνεται Edd. Olympiodorus posterioris Graecitatis formam usurpat.

(1) Edd. Ἄρ' οὖν

ἐλέγομεν ὁμόνοιαν τὴν τῶν αὐτῶν γνῶσιν, τὰ αὐτὰ δὲ οὗτοι[2] γινώσκουσιν, ὁ μὲν γὰρ οἴεται μὴ ὀφέλειν[3] εἰδέναι τὰ περὶ ταλασιουργίας[4], ἡ δὲ τὰ ἱππικὰ, οἱ μὴ τοῖς αὐτοῖς γνωστοῖς χαίροντες οὐ φιλοῦσιν ἀλλήλους· ἀνὴρ ἄρα καὶ γυνὴ οὐ φιλοῦσιν ἀλλήλους· δῆλον δὲ ὅτι οὐχ ὁμονοοῦσι κατὰ τὸ προςεχὲς τέλος, καθ' ὅσον ὁ μὲν οἶδε τυχὸν ἱππικήν, ἡ δὲ ταλασιουργίαν· ἐπεὶ κατὰ τὸ πόῤῥω ὁμονοοῦσιν· ὁ μὲν γὰρ πολεμεῖ διὰ τὸ σῶσαι τὴν γυναῖκα· πρό τε παίδων γὰρ καὶ πρὸ γυναικῶν[5]· ἡ δὲ ταλασιουργεῖ πρὸς φυλακὴν τοῦ ἀνδρὸς, ἵνα μὴ φθείρηται ὑπὸ προςβολῆς τοῦ ἀέρος. Εἶτα λαβὼν ἐξ αὐτοῦ, ὅτι εἰ μὴ τοῖς αὐτοῖς γνωστοῖς χαίροντες οὐ φιλοῦσιν ἀλλήλους, δείκνυσιν, ὅτι οὐ δύνανται οἱ δίκαιοι καλῶς οἰκεῖν τὰς πόλεις, καὶ προςλαμβάνει λῆμμα ἐν δευτέρῳ σχήματι δεικνύμενον· οἱ τὰ αὐτῶν[6] πράττοντες καὶ μὴ ἀλλοτριοπραγοῦντες οὐ φιλοῦσιν ἀλλήλους· ἦν γὰρ τοῦτο τέλος τῆς πολιτικῆς ἐπιστήμης, ἡ φιλία καὶ ἕνωσις. Οἱ ἄρα τὰ αὐτῶν[7] πράττοντες οὐ φιλοῦσιν ἀλλήλους. Τοῦτο τὸ συμπέρασμα λαβὼν συλλογίζεται προςτιθεὶς ἔξωθεν ἄλλην πρότασιν· οἱ δίκαιοι τὰ αὐτῶν πράττουσιν· οἱ τὰ αὐτῶν πράττοντες οὐκ εὖ οἰκοῦσι τὰς πόλεις· οἱ ἄρα δίκαιοι οὐκ εὖ οἰκοῦσι τὰς πόλεις: Ἔδει δὲ τὸν Ἀλκιβιάδην ἐννοεῖν, ὅτι πολλαχῶς ἡ φιλία. Ἔστι γὰρ φιλία ἡ κατὰ τὸ ἕν, ἥτις καὶ ἕνωσις λέγεται, ἥτις ἐν ἐνθουσιασμοῖς γίνεται τοῦ ἑνὸς πρὸς τὸ κρεῖττον. Ἔστιν ἡ ἐν νῷ φιλία, ἥτις ὁμόνοια λέγεται. Ἔστιν ἡ ἐν διανοίᾳ, ἥτις ὁμοφροσύνη λέγεται· διὸ καὶ τὸ ἐν φρεσὶ πευκαλίμησιν[8]. Ἔστι φιλία ἐν δοξῇ, ἥτις ὁμοδοξία λέγεται. Ἔστιν ἐν ἤθεσιν, ἥτις ὁμοιοπάθεια· Διὸ καὶ τὸ ἧλιξ ἥλικα τέρπει[9] διὰ τὸ ὁμοιοπαθές. Οἱ γὰρ παῖδες ἀλλήλοις χαίρουσι, καὶ οἱ νέοι, καὶ οἱ πρεςβῦται, διὰ τὸ χαίρειν τοῖς αὐτοῖς πά-

(2) Excidisse videtur negans particula.
(3) Sup. recte ὀφείλ.
(4) Vid. Scholl. in Plat. p. 81. Ruhnk.
(5) Sunt haec ex versu Homeri Iliad. ϑ,57 desumpta.
(6) Scrib. αὑτῶν. (7) Scr. αὑτῶν.
(8) Homerica. Iliad. ϑ,366. ubi est ἐνὶ φρ. π.
(9) Vide, quos paulo superius p. 180 ad hoc proverbium laudavimus auctores.

θεσιν. Ἔστι καὶ ἄλλη φιλία ἡ κατὰ τὰ γένη, ἥτις λέγεται συγγένεια [10].

Ταῦτα ἔχει ἡ θεωρία. — Ἆρα οὖν φιλίαν λέγεις ὁμόνοια καὶ τὰ ἑξῆς. — Τὸ λεγόμενον τοῦτό ἐστιν· ὅτι ὁμόνοιαν λέγεις, διὰ τὸ τοῖς αὐτοῖς γνωστοῖς χαίρειν· οἷον ὁμονοεῖν περὶ ἀριθμοὺς, λέγειν καὶ τὰ αὐτὰ νοεῖν διὰ τὴν ἀριθμητικήν· ἆρα καὶ περὶ μεγέθη οὐ λέγεις ὁμονοεῖν διὰ τὴν μετρητικὴν, καὶ ἐν σταθμοῖς διὰ τὴν στατικήν; καὶ ἔχεις τέως ἐντεῦθεν, ὅτι τρία εἴδη βούλεται ποσοῦ ὁ Πλάτων· διωρισμένον, συνεχὲς, ῥοπήν [11]· εἴ γε ἐκ τῶν τριῶν μετεχείρησε καὶ ἀντιδιέστειλε τὴν στατικὴν ταῖς ἄλλαις. Καὶ ἐπὶ μὲν ἀριθμητικῆς ἀπὸ τοῦ πλήθους ἀρχόμενος κατήντησεν εἰς τὸ ἓν εἰπών· ὁμονοοῦσιν αἱ πόλεις περὶ ἀριθμῶν [12] πρὸς ἀλλήλας; Διὰ τὴν ἀριθμητικήν· καὶ ἰδιῶται καὶ αὐτὸς ἑαυτῷ [13]; Ἐπὶ δὲ τῆς γεωμετρίας τὸ ἀνάπαλιν ἀπὸ τοῦ ἑνὸς ἤρξατο, καὶ κατήντησεν εἰς τὸ πλῆθος εἰπών· τί δὲ περὶ μεγέθους; οὐκ αὐτὸς ἑαυτῷ, καὶ οἱ ἰδιῶται ἀλλήλοις καὶ αἱ πόλεις; Διότι οἰκεῖον τῇ ἀριθμητικῇ μὲν τὸ πλῆθος, περὶ ἀριθμοὺς καταγινομένῃ, τῇ δὲ γεωμετρίᾳ τὸ ἕν, περὶ τὸ συνεχὲς καταγινομένῃ. Ἐκείνη δὲ περὶ τὸ διωρισμένον ποσόν. Ἐπὶ δὲ στατικῆς οὐδὲν τούτων εἶπεν, οὔτε ἀπὸ τοῦ ἑνὸς ἤρξατο· κατήντησε δὲ εἰς τὸ πλῆθος· οὔτε ἀπὸ τοῦ πλήθους· καὶ κατήντησεν εἰς τὸ ἕν, διότι ἕτερα ἐστὶ τούτων. Ὅτι γὰρ ἕτερα ἐστὶ παρὰ τὸ συνεχὲς ἡ ῥοπὴ, δῆλον, εἴ γε ἀντιπεπόνθασι ταῦτα ἀλλήλοις· ὀλίγη γὰρ ῥοπὴ ἐν πολλῶν

(10) Cf. Plato. de Legg. V. 2. p. 729. Plura dedi in Mythol. II. p. 513 sq. et p. 518 ubi de Jove et *φιλίῳ* et *συγγενείῳ*.

(11) Schol. Platon. p. 80 Ruhnk. *Ἀριθμοὶ, ἀριθμητὰ, διωρισμένα. Πήχεις, μετρικὴ, συνεχές. Σταθμοὶ, στατικὴ, ῥοπή.* Etiam sequentia ab Olympiodoro sumpsit. De *ῥοπῇ* supra aliquot locos laudavi ad Proclum cap. 8. p. 24. Verum h. l. pertinet ad pondus corporum librâ explorandum, estque *inclinatio*. Quo de significatu copiose exposuit van Capelle ad Aristotelis Quaestt. mechanicas I. 3 p. 130 — 133. Cf. quae Olympiodorus proxime disputat.

(12) Edd. *ἀριθμοὺς*, omissis duobus vocabulis seqq.

(13) In Edd. est: *Τί δαί; οἱ ἰδιῶται οὐ διὰ τὴν αὐτήν; — Ναί. — Οὐκοῦν καὶ αὐτὸς ἑαυτῷ ἕκαστος.* p. 126. c. Bekk. p. 351. Cod. Bodlei: *ναί: οὐκοῦν καὶ αὐτὸς αὐτῶι ἕκαστος.*

μεγέθει, καὶ τὸ ἀνάπαλιν. Καὶ Ὅμηρος μὲν κατεφρόνησε σολοικισμοῦ, ἵνα ἀταξίαν κινήσεως ἵππου ὑφηγήσηται, ἐξομοιῶν τοὺς λόγους τοῖς περὶ ὧν ὁ λόγος καὶ εἰπών· ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ — ῥίμφα ἑ γοῦνα φέρε [14]. Πλάτων δὲ, ἄνευ τοῦ ἁμαρτάνειν, ἐν τοῖς λόγοις μιμεῖται τὰ πράγματα· τίς ἐστι καὶ περὶ τοῦ; καὶ τίς αὐτὴν τέχνη [15] παρασκευάζει; Ἄξιον ζητῆσαι, πῶς πολλὰ ἐρωτᾷ ὁ Σωκράτης. Ἐρωτᾷ γάρ, τίς ἐστιν ἡ ὁμόνοια αὕτη καὶ ἐν τίσιν ὁ ποιητικὴ αὐτῆς αἰτία; καὶ εἰ ταὐτὸν τὸ πολιτικὸν τῷ ἠθικῷ καὶ οἰκονομικῷ; Διὸ εἰδὼς καὶ αὐτὸς, ὅτι πολλὰ ἐρώτησε, φησί· μὴ κάμῃς ἀποκρινόμενος· εὐκαίρως ῥηθέντος τοῦ μὴ κάμῃς διὰ τὰς ἐρωτήσεις, πολλὰς οὔσας. Καίτοι αὐτὸς ἐν τῷ Γοργίᾳ ἐμέμψατο τῷ Πόλῳ [16], ὡς πολλὰ ἐρωτήσαντι. Τέως μὲν οὖν μάθωμεν, τίνες εἰσὶν αἱ ἐρωτήσεις πρὸ τῆς λύσεως· τίς αὕτη ἡ ὁμόνοια; ὅτι κοινωνία γνώσεως ἐν τίσιν ἐστὶν; ὅτι ἐν τοῖς διδακτοῖς γνωστοῖς, ἀλλ' οὐκ ἐν τοῖς πρακτοῖς· τίς ἐστιν ἡ τέχνη ἡ ποιητικὴ ταύτης; ἡ πολιτική· αὕτη γὰρ ποιεῖ χαίρειν τοῖς αὐτοῖς γνωστοῖς διὰ διδαχῆς. Οὐ γὰρ ὥςπερ ἡ στοργὴ φυσική ἐστι πατέρων πρὸς τέκνα, οὕτω καὶ ἡ ὁμόνοια [17], καὶ εἰς ταὐτὸν πολιτικὸν, ἠθικὸν, οἰκονομικόν. Ἢ οὐ ταὐτόν ἐστιν· ὥςπερ γὰρ οὐ διαφέρουσι τὰ μεγάλα γράμματα τῶν μικρῶν γραμμάτων τῷ εἴδει· (τὸ γὰρ μᾶλλον καὶ ἧττον οὐ ποιεῖ εἴδους ἐξαλλαγήν·) οὕτως οὐδὲ τὰ γράμματα [18] διαφέρει διὰ τὸ μέγεθος. Καὶ ὅτι ἔχομεν ἐν τοῖς προλαβοῦσιν, ὅτι ὁ ἕνα πείθων καὶ πολλοὺς πείθει καὶ τοῦ αὐτοῦ ἐστι τοῦτο τοῦ πολλοὺς πείθοντος καὶ ἕνα πείθειν [19]. Καὶ ὅτι ὥςπερ οὐ διαφέρει ἰατρὸς ὁ ἕνα

(14) Vid. Homer. Iliad. ζ, 506 et 511. Attigit eundem locum Gregorius Nazianzenus orat. funebr. in Basil. Magn. p. 83. cf. Nonni Scholia ad eum in Meletemm. nostrr. I. p. 92.

(15) Cod. Bodlej. *τέχνην*.

(16) Scrib. *Πώλῳ*. Ad rem vide Plat. Gorg. p. 463. c. Bip. T. IV. — Bekk. II, 1. p. 37.

(17) Fortasse excidit integra enuntiatio.

(18) Fortasse scribendum *τὰ πράγματα* sc. *τὰ πολιτικὰ, τὰ ἠθικὰ, τὰ οἰκονομικά*.

(19) Vid. supra in nostro dialogo p. 114. b. — Bekk. p. 323.

ἰατρεύων τοῦ πολλοὺς ἰατρεύοντος, καὶ τοῦ πάντας· οὐ γὰρ ἡ διαφορὰ ἡ κατὰ τὸ πολὺ καὶ ὀλίγον τοῦ ὑποκειμένου διαφορὰν ποιεῖ τῶν ἕξεων, οὕτως οὐδὲ ὁ πολιτικὸς τοῦ οἰκονομικοῦ καὶ ἠθικοῦ. Λεκτέον λοιπὸν διὰ τί πολλὰ ἐρωτᾷ; Ἢ ὅτι τὰ πολλὰ εἰς ἓν καταντᾷ καὶ συνέχειαν ἔχει τὰ ἐρωτώμενα. Πρῶτον γὰρ ἐρώτησε· τίς αὕτη, καὶ ἐν τίσιν ἐστὶ, καὶ τίς τέχνη ποιητικὴ ταύτης; καὶ εἰ διαφέρει πολιτικὸν, ἠθικοῦ, οἰκονομικοῦ; καὶ οἷον πάντα ἕν ἐστιν. Εἶπε δὲ καὶ ἄλλην λῦσιν· ὅτι οὐ δεῖ πολλὰ ἐρωτᾷν ἐν διαλεκτικαῖς ἐρωτήσεσιν, ἔνθα οὐ χρεία λόγου, ἀλλ' ἀρκεῖ ἢ κατανεῦσαι ἢ ἀνανεῦσαι, καὶ τὸ ναὶ καὶ οὔ [20]. Διότι εἰ πολλὰ ἐρωτήσωμεν, ἄδηλόν ἐστι, πρὸς ποίαν ἀπεκρίνατο ἐρώτησιν [21], ἐν δὲ ταῖς πυσματικαῖς ἐρωτήσεσι τοῦτο οὐκ ἀδύνατον. Διότι δύναται καὶ διὰ λόγου προσενεχθῆναι καὶ διορίσασθαι πρὸς ποίαν ἀποκρίνεται. Οὕτω καὶ ὁ ποιητὴς ἐν ταῖς πυσματικαῖς ἐρωτήσεσι πολλὰ εἶπε· Τίς, πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες [22]; ὅτε ἠδύνατο διὰ λόγου ἀποκρίνασθαι. — Ἆρα ἤπερ πόλει αὐτῇ καὶ ἰδιώτῃ [23]. — Τὸ τέταρτον ἐρωτᾷ· ἆρα ταὐτόν ἐστιν οἰκονομικὸν, ἠθικόν. Διὰ μὲν γὰρ τοῦ εἰπεῖν ἤπερ [24] πόλει ἐδήλωσε τὸ πολιτικόν· διὰ δὲ τοῦ αὐτῷ τε πρὸς ἑαυτὸν, τὸ ἠθικόν· διὰ δὲ τοῦ καὶ πρὸς ἄλλον, τὸ οἰκονομικόν. Ὁ δὲ Ἀλκιβιάδης φησίν· εἰκός γε [25]. Καὶ πόθεν τηλικοῦτο δόγμα ᾔδει ὁ Ἀλκιβιάδης, ὅτι ταὐτά εἰσι ταῦτα; Ἢ ὠφελήθη· ἐκ τοῦ παρόντος διαλόγου, ἐκ τοῦ λόγου τοῦ λέγοντος· ὁ ἕνα πείθων καὶ πολλοὺς πείθει. Ἐγὼ μὲν οἶμαι φιλίαν τε λέγειν καὶ ὁμόνοιαν —. Ἰδοὺ διὰ ταῦτα ἐδέησε τῷ Σωκράτει τοῦ ἐλέγχου τοῦ λέγοντος, ὅτι οὐ

(20) Vid. Plat. Gorg. p. 449. b. Bip. T. IV. — Bekker. II, 1. p. 7.

(21) Scil. ὁ ἐρωτηθείς.

(22) Haec sunt verba Telemachi ad Minervam Odyss. α, 170. Cf. ad hunc Homeri locum Bakium. V. Cl. ad Posidonii Reliqq. p. 140.

(23) In Edd. est: καὶ ἆρα ἤπερ πόλει, αὕτη καὶ ἰδιώτῃ; p. 126. d. — Bekk. p. 351. Cod. Bodlei. εἰ περιπολεῖ.

(24) Scr. ἤπερ.

(25) Edd. εἰκός γέ τοι.

τέλος τῆς πολιτικῆς ἐπιστήμης ἡ φιλία, εἴ γε φαίνεται φιλίαν καὶ στοργὴν ταὐτὸν λέγων ὁ Ἀλκιβιάδης. Φησὶ γὰρ, ὅτι ἐγὼ [26] ὁμόνοιάν τὴν πατρὸς πρὸς τέκνα καὶ ἀδελφῶν πρὸς ἀδελφούς. — *Οἴει οὖν* [27], *ὦ Ἀλκιβιάδη, ἄνδρα γυναικί* —. Ἐντεῦθεν ἐλέγχει καὶ παραδίδωσι τὴν διὰ ἀδυνάτου δεῖξιν, δεικνὺς, ὅτι καὶ ἡ ὁμόνοια φιλία. Ταλασιουργία δὲ λέγεται ἡ ξαντικὴ παρὰ τὸ ταλάσια [28] ἐργάζεσθαι, ἢ παρὰ τὰς [29] ταλάρους· εἰ δὲ [30] καὶ αἱ *ἡμίονοι ταλαεργοὶ* [31] λέγονται, παρὰ τὸ ὑπομονητικόν· καὶ τοῦ περὶ τὰ ἔργα ταλαιπωρεῖν· εἴληπται δὲ ἀπὸ τῆς ταλασιουργίας. τοιαῦται δὲ καὶ αἱ γυναῖκες ὑπομονητικαὶ, οὐ γὰρ οἱ ἄνδρες· διὸ καὶ εἴρηται περὶ αὐτῶν· *ἔξω μολὼν ἔπαυσε καρδίας ἄσην* [32]. — *Γυναικεῖον γὰρ τοῦτό γε τὸ μάθημα* [33] — καὶ πῶς, εἰ κοιναὶ αἱ ἀρεταὶ ἀνδρῶν καὶ γυναικῶν, διὰ τί φησι, *γυναικεῖον γὰρ τοῦτό γε μάθημα;* ἢ κατὰ τὴν τοιαύτην πολιτείαν· *δύναιτο* [34] *ἂν ὁμονοεῖν μὴ μαθοῦσα;* Καλῶς

(26) Add. *οἶμαι.*

(27) Edd. *Οἴει ἂν οὖν.* Quod antea additum erat *Οἴῃ* (de quo vid. Buttmann.) neque Cod. Bodlei. exhibet.

(28) Ruhnk. in Scholl. p. 81. et Etwallus, qui hunc Olympiodori locum in notis excerpsit, ediderunt *τὰ λάσια.* In seqq. Etw. dedit *ὑπομενητικὸν.* Tum idem recte *καὶ τὸ περὶ κ. τ. λ.* et mox *τοιαῦτα* pro *τοιαῦται.*

(29) Scr. *τοὺς.* (30) Corr. *εἴ γε.*

(31) Ita Homerus Odyss. *δ*, 636. cf. Apollonii Lex. Hom. p. 368 Tollii.

(32) Est versus Euripideus in Medea 244 (247. 250) *ἔξω μολὼν ἔπαυσε καρδίας χόλον.* Sic antea legebatur ex glossemate. Piersonus ex his ipsis Olympiodoreïs veram lectionem revocavit in not. ad Moerid. p. 60 suffragantibus Ruhnkenio ad Timaei Lex. Platon. p. 247 et Porsono ad Euripid. l. l. Musgravius edidit *καρδίαν ἄσης*, eamque constructionem, Porsono improbatam, nuper amplexus est Matthiae. Ms. E Musgravii dederat: *καρδίαν ἄτης.* Nam saepius hae voces inter se confunduntur. Vid. Porson. l. l. Schaefer ad Dionys. Hal. de Compos. Verbb. XXIII. p. 349. cf. Hephaest. de metrr. p. 64 in Scholio ed. Gaisford. Apion. gloss. Homerr. ad calc. Etymolog. Gud. p. 603 (quocum comparandus Apollonius in Lex. Homer. p. 172.) et Orion. Theb. Etymolog. p. 10 coll. p. 6.

(33) Edd. — *γὰρ τοῦτο μάθημα* ante Bekkerum, qui dedit *γυναικεῖον γὰρ τοῦτό γε μάθημα* et ita plane Codex Bodlei. et ipse Noster continuo.

(34) Edd. *δύναιτ' ἄν.* Proxime *ἴσως αὖ* insertum ex cod. Vindob. habet etiam Bodlei.

τὸ μὴ μαθοῦσα, διὰ τὰς Ἀμαζόνας πολεμικὰς οὔσας. — Ἴσως αὖ φαίης ἂν εἶναι. — Καλῶς τὸ ἴσως, καὶ τὸ φαίης ἂν εἶναι· κοιναὶ γὰρ αἱ ἀρεταὶ τῶν ἀνδρῶν, εἴ γε κοιναὶ αἱ φύσεις· εἰςωθούμενα γὰρ τὰ ἀνδρεῖα μόρια γυναικεῖα γίνεται. καὶ τὸ ἀνάπαλιν, τὰ γυναικεῖα ἐξωθούμενα [35]· καὶ εἰ ἡ κύων οὐδὲν διαφέρει τοῦ ἄῤῥενος κατὰ τὸ φρουρεῖν, ἀλλ' ἄμφω φρουρητικοί εἰσιν· εἰ οὖν κοιναὶ αἱ φύσεις, διὰ τί μὴ καὶ κοιναὶ αἱ γνώσεις καὶ αἱ ἀρεταί; Καὶ οὐκ ἔτι δεῖ εἰπεῖν γυναικεῖον ἢ ἀνδρεῖον τὸ μάθημα, ἀλλ' ἀνθρώπινον, κοινοὶ γὰρ οἱ ἄνθρωποι [36]. — Οὐδὲ [37] ἄρα φιλία —. Εἴγε μὴ ὁμονοοῦσιν, οὐ φιλοῦσιν ἀλλήλους, εἴπερ ἡ φιλία ὁμόνοια ἦν, φησίν· οὐδὲ εὖ ἄρα ταύτῃ οἰκοῦνται αἱ πόλεις [38] — ἐντεῦθεν βούλεται δεῖξαι, ὅτι οἱ δίκαιοι οὐκ εὖ οἰκοῦσι τὰς πόλεις, καὶ προλαμβάνει τὸ λῆμμα, καὶ λοιπὸν συλλογίζεται,

(35) Vid. addend. ἀνδρεῖα.

(36) Supra monui haec decreta ipsius esse Platonis. Nunc laudabo locum primarium, qui est de Legg. VII. 12. p. 805 (p. 638) p. 265. Ast. Quae ipsa deinde persecutus est Musonius philosophus duabus dissertationibus primum a Wyttenbachio meo in lucem editis in Philomath. lib. I. p. 157 — 167. Earum altera ita inscribitur: — εἰ παραπλησίως παιδευτέον τὰς θυγατέρας τοῖς υἱοῖς; Altera hoc pacto: ὅτι καὶ γυναιξὶ φιλοσοφητέον. Atque ut illos in libris de Legg. locos ante oculos habuit Musonius, ita nec minus hunc ipsum Alcibiadem priorem attigit. Proxime legimus p. 127 e: Οἴει ἂν οὖν, ὦ Ἀλκιβιάδη, ἄνδρα γυναικὶ περὶ ταλασιουργίας δύνασθαι ὁμονοεῖν —— Οὐ δῆτα. Musonius (Philomath. I. p. 160) τί οὖν καὶ ταλασίαν, φησί τις, ἴσως ἀξιοῖς σὺ παραπλησίως ἐκμανθάνειν ταῖς γυναιξὶν τοὺς ἄνδρας, καὶ γυμναστικὴν μετέρχεσθαι ὁμοίως τοῖς ἀνδράσιν τὰς γυναῖκας; Τοῦτο μὲν οὐκέτι ἀξιώσω ἐγώ. Proinde Neronianae aetatis philosophus nec is infimi subsellii tantum auctoritatis tribuit ei dialogo, ut imitaretur. Quod quam vim habeat nunc nil attinet quaerere. Ceterum in primaria illa sententia consentit Phintys Pythagorea apud Stobaeum. Serm. LXXII. p. 443 (XCIII. p. 564 Francof.): Κοινὰ δέ φαμι (γυναικὸς καὶ ἀνδρὸς) ἀνδρείαν, δικαιοσύναν καὶ φρόνασιν. Καὶ γὰρ τὰς τοῦ σώματος ἀρετὰς ἔχειν πρέπον καὶ ἀνδρὶ καὶ γυναικί, καὶ τᾶς ψυχᾶς ὁμοίως.

(37) Edd. Οὐδ' ἄρα.

(38) In Edd. est: Οὐδ' αὖ ἄρα ταύτῃ οἰκ. κ. τ. λ. p. 127. a. — Bekk. p. 353. Itaque Olympiodorus confirmat Schleiermacheri conjecturam, cui etiam Astius textum accommodavit. Heusdius meus in Spec. Platon. p. 113 εὖ inserendum duxerat post ταύτῃ. Ficinus quoque vertit: Non ergo tum *optime* civitates instituuntur. Sed tamen cod. Bodl. in vulgata persistit; neque Bekkerus ab ea recedendum judicavit.

ὅτι *φιλίας μὴ παρούσης* ἐν τοῖς τὰ ἑαυτῶν πράττουσιν, *ἧς ἐγγινομένης ἐλέγομεν*[39] *καλῶς διοικεῖσθαι τὰς πόλεις*, — τὸν συλλογισμὸν πλεκόντων[40] οὕτως· οἱ τὰ αὑτῶν πράττοντες οὐ φιλοῦσιν ἀλλήλους· οἱ εὖ οἰκοῦντες τὴν πόλιν φιλοῦσιν ἀλλήλους· διότι τοῦτο τέλος τῆς πολιτικῆς· οἱ τὰ ἑαυτῶν ἄρα πράττοντες, οὐκ εὖ οἰκοῦσι τὰς πόλεις. *Ἀλλά μοι δοκεῖ καὶ κατὰ τὰ αὐτά*[41]: Ἀντιλέγει ὁ Ἀλκιβιάδης τῷ Σωκράτει, ὅτι ἀλλ' εὖ οἰκοῦσι τὰς πόλεις δι' αὐτὸ τοῦτο, διότι τὰ αὑτῶν πράττουσιν· ὁ δὲ Σωκράτης φησὶν, ὅτι πάλαι ὑπὸ σοῦ ταῦτα ἐλέγετο. — *Δίκαια δὲ πράττουσιν ἢ ἄδικα;* ἐντεῦθεν τὸν συλλογισμὸν παραδίδωσιν, ὅτι οἱ δίκαιοι τὰ αὑτῶν πράττουσιν. — *Ἀλλὰ μὰ τοὺς θεοὺς, ὦ Σώκρατες, οὐδὲ*[42] *αὐτὸς οἶδα ὅ,τι λέγω.* — Ἰδοὺ ἐναργῶς ὁ Ἀλκιβιάδης ὠφέληται· καὶ γὰρ ἦλθεν ἀπὸ διπλῆς ἀμαθίας ἐπὶ ἁπλῆν· ὁμολογεῖ γὰρ ἀγνοεῖν. καὶ Ἀριστείδης περὶ Δημοσθένους τοῦ ῥήτορος, ὅτι Ἑρμοῦ λογίου[43] τύπος ἦν, εἰς ἀνθρώπους ἐλθών· ἐγὼ δὲ φαίην ἂν εὐκαιρότερον περὶ Σωκράτους τοῦτο, εἴγε πρῶτοι[44] μὲν τῷ Ἑρμεῖ[45] ᾠκείωται (λέγεται γὰρ Ἑρμογλύφου[46] υἱὸς εἶναι)· καὶ ὅτι ὥςπερ ὁ Ἑρμῆς μιᾷ ῥάβδῳ καὶ ὕπνον ἐπιποίει[47] καὶ ἐγρήγορσιν, *οὓς ἐθέλει τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει*[48]· οὕτω καὶ ὁ Σωκράτης μιᾷ ῥάβδῳ, τῇ διαλεκτικῇ, καὶ

(39) Edd. *ἔφαμεν εὖ οἰκεῖσθαι.*
(40) Scr. *πλέκων?*
(41) Edd. *κατὰ τοῦτο.*
(42) Edd. *οὐδ' αὐτὸς.*
(43) Aristidis Oratt. p. 511. Tom. II. p. 307 Jebb. —*καὶ τολμῶσι καὶ περὶ Δημοσθένους, ὃν ἐγὼ φαίην ἂν Ἑρμοῦ τινος λογίου τύπον εἰς ἀνθρώπους κατελθεῖν, ὅτι ἂν τύχωσι βλασφημεῖν.* Ad quem locum in exemplo meo Valckenarius Toupium laudat ad Suid. III p. 235. Ego de hoc Mercurio alia ex hoc ipso Aristide ejusque Scholiasta mscr. apposui ad Nicetam Serrar. in Meletemm. I. p. 33 not. 31.
(44) Leg. aut *πρῶτος* aut *πρῶτον.*
(45) Leg. *Ἑρμῇ.*
(46) Vid. Diog. Laert. II, 5, 18. ib. interprr.
(47) Scr. vid. *ἐμποιεῖ* et *ἐγρηγορόσιν.*
(48) Legitur hic versus ter apud Homerum: Iliad. ω,344. Odyss. ε,48. ω,4. ubi cod. Harlej. *οὓς ἐθέλῃ*, addito etiam versu, uti annotavit Porson.

ἀπαυθαδιζομένους [49] κατέκλινε, καὶ πάλιν καταβληθέντας διανίστη καὶ ἐπανεκαλεῖτο. Οὕτω τὸν Ἀλκιβιάδην ἄνω μὲν διὰ τῶν ἐλέγχων κατέβαλε, δεικνὺς αὐτὸν διπλῇ ἀμαθαίνοντα, νῦν δὲ διεγείρει αὐτὸν καταβληθέντα, λέγων· θάῤῥει, νέος γὰρ εἶ καὶ δύνῃ μαθεῖν· νέων γὰρ οἱ μεγάλοι πόνοι, καὶ νέῳ δέ τε πάντ' ἐπέοικεν [50]. — Εἰ μὲν γὰρ ἦς ὑπὲρ τὰ ν̄ ἔτη, χαλεπὸν ἦν σε μαθεῖν [51]· καὶ καλῶς τὸ χαλεπὸν, ἀλλ' οὐκ ἀδύνατον. Βούλεται γὰρ ὁ Σωκράτης πάντας ἀνθρώπους ὠφελῆσαι, καὶ εἰ νέος ἐστὶ καὶ εἰ πρεσβύτης. — Τί οὖν τὸν αἰσθανόμενον [52] χρὴ ποιεῖν; ἐρωτᾷ αὐτὸν τί δεῖ ποιεῖν πρὸς τὸ μαθεῖν· ὁ δὲ φησὶν οὐδὲν χαλεπὸν οὔτε τὰ Ὤτου καὶ Ἐφιάλτου ποιῆσαι, [53] Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν [54], ἀλλὰ δοῦναι λόγον καὶ λαβεῖν. Καὶ Ἀρχιμήδης μὲν μετὰ τὴν εὕρεσιν τοῦ βαρυούλκου [55], ἐν ᾧ ἔδειξεν, ὅτι τῇ τυχούσῃ δυνάμει τὸ τυχὸν βάρος κινήσει, ἐπειδὴ ὅσον ἐπὶ τούτῳ καὶ εἷς ἄνθρωπος ἠδύνατο κινῆσαι τὴν γῆν, μέγα ἐφθέγξατο καὶ ἀδύνατον, ὅτι πᾷ βῶ καὶ κινῶ τὴν γῆν [56]. ἀδύνατον γὰρ μὴ εἶναι ἐν τόπῳ. Σωκράτης δὲ εὐτελῆ αἰτεῖ· ἐὰν θεὸς θέλῃ [57] — θεὸν λέγει τὸν εἰληχότα δαίμονα, τοῦτο [58] γὰρ καὶ ἄνω θεὸν ἔλεγεν. Τὸ δὲ εἴτε δὴ καὶ τῇ

(49) Thomas Mag. p. 84 Ἀπαυθαδίζομαι κάλλιον ἢ αὐθαδιάζομαι, καὶ ἀπαυθαδιάζομαι cf. Phrynich. p. 66 ibiq. interprr. Minus elegantem formam nunc etiam Zonaras in Lex. p. 275 et in Etymolog. Gud. p. 63 annotatam reperimus. Alteram ἀπαυθαδιζόμενος a Platonicis philosophis desumpsit Dionysius Areopagita de Divinn. nominibb. cap. I. §. 2.

(50) Sunt haec Homeri ex Iliad. χ. 71.

(51) In Edd. est: εἰ μὲν γὰρ αὐτὸ ᾔσθου πεπονθὼς πεντηκονταέτης, χαλεπὸν ἂν ἦν σοι ἐπιμεληθῆναι σαυτοῦ· p. 127. e. Bekk. p. 354. Ita Bekker. quocum facit Cod. Bodl. Antea editum erat ἦν ἄν.

(52) Bekk. αἰσθόμενον et ita cod. Bodl.

(53) Add. οἵ.

(54) Vid. Homer. Odyss. λ,308 et 315.

(55) Vocabulum non est in Lexicis, nisi forte legendum est βαρούλκου. Vid. Vitruv. X. I. p. 269 Schneid. Ad rem vide, quos laudat et quae contulit Fabricius Bibl. Gr. T. II. p. 549. Tom. IV. p. 181 Harles. Adde van Cappelle ad Aristotel. Mechanicc. I. p. 129 sq. et VII. p. 215 sqq.

(56) Consule Plutarch. in Marcello c. 14. praecipue p. 215 ed. Coray et Tzetz. II. Chil. v. 130. In extremis Dorismus postulat — τὰν γᾶν.

(57) Edd. ἐθέλῃ. (58) Fort. τοῦτον, neque tamen necesse.

ἐμῇ μαντεία ἐστί [59] —· διότι διττὴ ἡ μαντεία· ἡ μὲν θεία, ἥτις καὶ μανία ἐστί· ἡ δὲ τεχνικὴ, ἥτις μαστεία [60] λέγεται. Κατὰ οὖν τὴν διπλῆν μαντείαν νῦν φησὶν ὁ Σωκράτης, καὶ διὰ τὴν θείαν, διότι φησὶν ἐὰν θέλῃ, καὶ θεοῦ ἐμνημόνευσε· καὶ διὰ τὴν τεχνικὴν, εἴγε ἐτεκμήρατο ἐκ τῆς φύσεως τοῦ Ἀλκιβιάδου δύνασθαι αὐτὸν μαθεῖν: σύ τε κἀγὼ βέλτιον [61] σχήσομεν. Πῶς καὶ Σωκράτης βέλτιον σχήσει; ἢ δῆλον ὅτι ὡς συναγόμενος τοῖς παιδικοῖς [62].

## Πρᾶξις σὺν θεῷ κβ.

Ἆρα οὖν φιλίαν λέγεις ὁμόνοιαν, ἢ διχόνοιαν; Ἐπειδὴ τέλος ἔλεγεν ὁ Ἀλκιβιάδης τῆς πολιτικῆς ἐπιστήμης τὴν φιλίαν, ἐντεῦθεν ἐλέγχει τοῦτον ὁ Σωκάτης, οὐχ ὅτι οὐ βούλεται τοῦτο, ἀλλὰ νομίζων λέγειν ταὐτὴν [1] τὴν φιλίαν τῇ στοργῇ καὶ τρία ταῦτα δείκνυσιν ἡ μετὰ χεῖρα λέξις. Πρῶτον, ὅτι ἡ φιλία οὐ μόνον στοργὴ ὑπάρχοι, ἀλλὰ καὶ ὁμόνοια, καὶ τοῦτο εὐθὺς ἐν ἀρχῇ δείκνυσιν· ἡ γὰρ ἡ [2] διχόνοια ἔχθρα ἐστὶν, ἡ ὁμόνοια φιλία. Ἀλλὰ μὲν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα· Δεύτερον δείκνυσιν, ὅτι ἔστι φιλία ἡ κατὰ τὴν ὁμόνοιαν, ὡς ἐπὶ τῶν τεχνῶν· οἱ γὰρ τεχνῖται ὁμονοοῦσιν ἀλλήλοις, καὶ κατὰ τοῦτο φιλοῦσιν ἀλλήλους, καθὸ τοῖς αὐτοῖς γνωστοῖς χαίρουσιν· οὐ μὲν στέργουσι, διὰ τὸ καὶ κεραμεὺς κεραμεῖ κοτέει [3]. Αὐτὸς δὲ φιλοσόφοις χρῆται παραδείγμασιν, ἀριθμητικοῖς τε καὶ γεωμετρικοῖς καὶ στατικοῖς, οὐκοῦν ἔστι φιλία μὴ οὔσης ὀργῆς. Τρίτον δείκνυσιν, ὅτι ἔστι καὶ τὸ ἀνάπαλιν στοργὴ ἄνευ ὁμονοίας· ἀνὴρ γὰρ καὶ γυνὴ στέργουσιν ἀλλήλους, οὐ μὲν ὁμονοοῦσιν, οὐ γὰρ τὰ αὐτὰ φρο-

(59) In Edd. est: *εἴ τι δεῖ καὶ τῇ ἐμῇ μαντείᾳ πιστεύειν.* p. 127. e. — Bekk. p. 354.

(60) Vox *μαστεία* si sana, addenda est Lexicis.

(61) *βελτιόνως* ed. Bekkeri.

(62) Hanc sententiam p. 88 pluribus verbis exposuit Olympiodorus.

(1) Scr. *τὴν αὐτὴν.* (2) Del. vid. repetitum *ἡ*

(3) Hesiod. *ε.* 25 sq. (15 sq.) Plura p. 179 notavimus.

νεῖ ὁ ἀνὴρ περὶ ταλασιουργίας τῇ γυναικί· πῶς γάρ, εἰ ἀγνοεῖ; οὔτε μὲν περὶ ἱππικῆς ἡ γυνὴ τῷ ἀνδρί. Δῆλον δὲ, ὅτι κατὰ τὸ προςεχὲς τέλος οὐχ ὁμονοοῦσιν, ἐπεὶ ὡς εἴρηται κατὰ τὸ πόῤῥω ὁμονοοῦσι. Τοῦτο δὲ ποιεῖ δεικνὺς, ὅτι ἡ φιλία καὶ τῇ ὁμονοίᾳ ὑπάρχει καὶ τῇ στοργῇ· εἴ γε ἔστι φιλία, θατέρου μόνου τούτων ὑπάρχοντος [4]. Διὰ τίνα οὖν τέχνην ὁμονοοῦσιν αἱ πόλεις περὶ ἀριθμούς; — Ἰδοὺ τὸ δεύτερον διὰ τούτων δείκνυσιν, ὅτι ἔστι φιλία κατὰ τὴν ἕνωσιν οὐ μὴν κατὰ τὴν στοργὴν, διὰ τοὺς τεχνίτας· φιλοῦσι γὰρ ἀλλήλους κατὰ τοῦτο, εἴ γε τὰ αὐτὰ νοοῦσι, καὶ ᾗ μὲν τεχνῖται, φίλοι εἰσὶν, ὡς δὲ ἄνθρωποι, φθονοῦσιν ἀλλήλοις καὶ μισοῦσι. Δεῖ δὲ προςθεῖναι ἐνταῦθα τὰ ἄνω εἰρημένα. — Ἣν δὲ δὴ σὺ λέγεις ὁμόνοιαν, τί [5] ἐστιν; Ἐνταῦθα δέον ἐπαγαγεῖν καὶ τὸ ἄλλο, ὅτι ἔστι στοργὴ ἄνευ ὁμονοίας, ὡς ἐπὶ ἀνδρὸς καὶ γυναικὸς, μεσολαβεῖ τὸν λόγον, καὶ ἐρωτᾷ αὐτὸν τέσσαρά τινα· τίς ἡ ὁμόνοια, ἐν τίσιν ἐστὶν, ὅτι ἐν διδακτοῖς, ἀλλ' οὐκ ἐν πρακτοῖς· τίς ἡ ποιητικὴ αὐτῆς· εἰ ταυτόν ἐστιν οἰκονομικὸν, πολιτικὸν, ἠθικόν. Ἰστέον δὲ, ὅτι καὶ ἄλλοθεν ἔστι δεῖξαι, ὅτι οὐκ ἄτοπον ἐν πυσματικαῖς ἐρωτήσεσι πολλὰ ἐρωτᾷν. αὐτὸς γοῦν ἐν Ἀπολογίᾳ [6] πολλὰ ἐρωτᾷ· τίς, καὶ ποδαπός; καὶ ποῖος ὁ μισθός. Ὁ δὲ ἀποκρίνεται ἑαυτῷ, πρὸς μὲν τὸ τίς λέγων· Εὔηνος· πρὸς δὲ τὸ ποδαπὸς λέγων· ὅτι Πάριος· πρὸς δὲ τὸ τρίτον, ὅτι ε̄ μνᾶς λαβών. — Εἰκός γέ τοι. — Ἰδοὺ κρείττων Ἀλκιβιάδης Ἀριστοτέλους ὠφεληθεὶς ἐκ τοῦ παρόντος διαλόγου, ὅτι ὁ ἕνα πείθων καὶ πολλοὺς πείθει, ὅτι ταὐτόν ἐστιν ἠθικὸν, οἰκονομικὸν, πολιτικὸν, μόνον τῷ μεγάλῳ καὶ μικρῷ διαφέροντα καὶ μὴ ἔχοντα παρὰ τοῦτο ἑτέραν φύσιν, ἐκείνου ἀντιδιαιροῦντος. Πλὴν ἵνα μὴ καθέλωμεν τὸ ἀξίωμα τοῦ Ἀριστοτέλους, εἴπομεν [7], ὅτι

(4) Fortasse hoc loco inserenda sunt verba solemnia: Ἐν οἷς ἡ θεωρία.

(5) Edd. τίς.

(6) Vid. Platon. Apol. Socr. p. 20. b. Bip. T. I. — Bekk. I, 2. p. 95. ubi scribitur: τίς καὶ ποδαπός; καὶ πόσου διδάσκει; — — — πέντε μνῶν.

(7) Scrib. vid. εἴπωμεν.

κρείττων Ἀλκιβιάδης Ἀριστοτέλους οὐ καθ' ἑαυτὸν, ἀλλὰ μετὰ Σωκράτους ἐνεργῶν. Ἐγὼ μὲν οἶμαι φιλίαν τε λέγειν. — Διὰ τοῦτο ἠναγκάσθη ὁ Σωκράτης ἐλέγξαι τὸν Ἀλκιβιάδην, τέλος λέγοντα τῆς πολιτικῆς ἐπιστήμης τὴν φιλίαν, διότι ταὐτὸν φαίνεται εἰδὼς ἐνταῦθα φιλίαν καὶ στοργὴν, διὰ τῶν παραδειγμάτων, πλὴν καὶ ἁμαρτάνων ἐν τούτῳ οὔτε τοῦ εἴδους τῆς στοργῆς ἠδυνήθη καταδράξασθαι [8], ἀλλὰ κατῆλθεν ἐπὶ παραδειγμάτων, καὶ ὅτι οὐκ ἠδυνήθη τὸ ἁπλοῦν εἶδος αὐτῆς συνιδεῖν, ἀλλὰ κατῆλθεν ἐπὶ τὸ σύνθετον, καὶ ἀπὸ μικρῶν γραμμάτων εἰς μεγάλα. — Οἴει ἂν οὖν, ὦ Ἀλκιβιάδη, ἄνδρα γυναικί: Τὸ τρίτον δείκνυσιν, ὅτι ἔστιν στοργὴ ἄνευ ὁμονοίας, καὶ ἐρωτᾷ, ὅτι ὁ ἀνὴρ τῇ γυναικὶ ὁμονοεῖ περὶ ταλασιουργίας, ἐὰν τὰ αὐτὰ φρονῇ. Ἦν γὰρ ἡ ὁμόνοια ἡ τῶν αὐτῶν γνῶσις ὁμοίως. Καλῶς δὲ, τὸν μὴ ἐπιστάμενον τῇ ἐπισταμένῃ· δύναται γάρ τις μαθεῖν ὑφάντης· εἰ μὴ οὖν ὁμονοοῦσιν, οὔτε [9] φιλοῦσιν ἀλλήλους. Ἔλεγε γὰρ ὁ Ἀλκιβιάδης προσεχῶς διὰ τῶν παραδειγμάτων ταὐτὸν ὁμόνοιαν καὶ φιλίαν, ὁμόνοιαν λέγων τὴν στοργήν. Ἀνδρεῖον γάρ τοῦτό γε ἴσως ἂν φαίης. — Εἰ ἀρεταὶ κοιναὶ ἀνδρῶν καὶ γυναικῶν εἰσιν, ὡς ἐν τῇ Πολιτείᾳ [10] ἀποδέδεικται, εἴγε κοινὴ φύσις ἐστί. τὰ γὰρ αὐτά ἐστι μόρια ἀνδρεῖα καὶ γυναικεῖα, παρὰ τὴν θέσιν μόνον ἔχοντα τὴν διαφοράν· καὶ κοινὴ παιδεία· ὡσαύτως γὰρ τὸ φρουρητικὸν ὑπάρχει καὶ ταῖς θηλείαις κυσὶν, ὥσπερ τοῖς ἄῤῥεσι· καὶ ὅτι ὁ Ἀγαμέμνων [11] ἐν μιᾷ ξυνωρίδι ἔμιξε τὸ θῆλυ τῷ ἄῤῥενι. ὡς

(8) Verbum compositum καταδράσσω et frequentius καταδράττομαι supra attigi ad Proclum in Alcib. 54. p. 153.

(9) Scr. vid. οὐδὲ.

(10) Vid. Platon. de Rep. V. p. 451. sq. Bip. T. VII. — Bekk. III, 1. p. 218. sq. — Quae proxime adjicit Olympiodorus eadem copiosius aliquanto supra (πραξ. 21) explicuerat atque haec ipsa in notis ad Onosandri Strateg. p. 66 apposuit Rigaltius, addens: „Idem tamen philosophus naturali mulierum infirmitati consulens, „iis nonnisi leviora relinqui debere munera suadet, τὰ ἐλαφρότερα „ταῖς γυναιξὶν ἢ τοῖς ἀνδράσι δοτέον, διὰ τοῦ γένους ἀσθένειαν. De„nique mulieres ad omnia, praeterquam ad virorum sarcinas, invali„dae." Haec Rigaltius.

(11) In marg. recte: γρ. Μενέλαος.

δηλοῖ το. Αἴθην τὴν Ἀγαμεμνονέην, τὸν νέοντε [12] Πόδαργον: [13] Πῶς φησι νῦν ἄλλο ἔργον εἶναι ἄῤῥενος καὶ ἄλλο θήλεος, καὶ μὴ ἓν ἔργον εἶναι ἀνθρώπου παντός; ἢ ταῦτα λέγεται οὐ κατὰ τὴν εὖ ἔχουσαν πολιτείαν, ἀλλὰ κατὰ ἄλλην, καὶ ὅτι φησὶ κατὰ τὸν σὸν λόγον [14], καὶ ὅτι ἴσως φησί, καὶ ὅσα τοιαῦτα. Πλέκεται δὲ ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι οὕτως. γυνὴ καὶ ἀνὴρ οὐχ ὁμονοοῦσιν, οὐ γὰρ περὶ τὰ αὐτὰ γνωστὰ καταγίνονται· οἱ φιλοῦντες· ἀλλήλους ὁμονοοῦσιν, εἴ γε δέδεικται, ὅτι ἡ διχόνοια ἔχθρα ἐστίν· ἀνὴρ ἄρα καὶ γυνὴ οὐ φιλοῦσιν ἀλλήλους. — Οὐδὲ εὖ [15] ἄρα ταύτῃ οἰκοῦνται αἱ πόλεις —. Δείξας δι' ἑνὸς ἀτόπου, ὅτι οὐ ταὐτὸν φιλία καὶ ὁμόνοια, ἀλλ' ἐπιπλέον ἐστὶν ἡ φιλία διὰ τοῦ δεῖξαι, ὅτι ἀνὴρ καὶ γυνὴ οὐ φιλοῦσιν ἀλλήλους. Ἐντεῦθεν καὶ δεύτερον ἄτοπον ἐπάγει τῷ λόγῳ, ὅτι οἱ δίκαιοι οὐκ εὖ οἰκοῦσι τὰς πόλεις. — Προάγειν δὲ δεῖ τὸν συλλογισμὸν οὐχ ὡς ἡ θεωρία ἐποίησεν ἐν πρώτῳ σχήματι, ἐπεὶ ἀτόπῳ διαλεκτικῷ ἐμπίπτομεν τῷ ἐξ ἀποφάσεων πλέκειν συλλογισμὸν, ἀλλὰ δεῖ ἀναλῦσαι τὸ λεγόμενον εἰς προσυλλογισμοὺς καὶ συλλογισμούς. Προσυλλογίζεται [16] γὰρ οὕτως· οἱ τὰ αὑτῶν πράττοντες οὐχ ὁμονοοῦσι, διότι μὴ τὰ αὐτὰ γνωστὰ ἔχουσιν· οἱ φιλοῦντες ἀλλήλους ὁμονοοῦσιν· οἱ τὰ αὑτῶν ἄρα πράττοντες οὐ φιλοῦσιν ἀλλήλους. Προσυλλογισμός, λαβὼν τὸ συμπέρασμα τοῦ συλλογισμοῦ· οἱ τὰ αὑτῶν πράττοντες οὐ φιλοῦσιν ἀλλήλους· οἱ εὖ οἰκοῦντες τὰς πόλεις φιλοῦσιν ἀλλήλους· οἱ ἄρα τὰ αὑτῶν πράττοντες οὐκ εὖ οἰκοῦσι τὰς πόλεις. Λοιπὸν ὁ συλλογισμός· οἱ δίκαιοι τὰ αὑτῶν πράτ-

(12) Sup. recte ἐόν τε. (13) Vid. Iliad. ψ,295.

(14) Cf. Scholl. in Plat. p. 81. Ruhnk. quae ex his commentariis fluxerunt.

(15) Edd. αὖ vid. supra annot.

(16) Verbum προσυλλογίζομαι non est in Lexicis. Et tamen unus Aristoteles in solo Organo aliquoties usurpavit. Sic ut hoc utar, in Analyt. priorib. II. 20 p. 186 Sylb. τοῦτο δὲ ἔσται, πρῶτον μὲν, ἐὰν τὰ συμπεράσματα μὴ προσυλλογίζονται, ἀλλ' εἰλημμένων τῶν ἀναγκαίων ἄδηλα ᾖ. Cf. Topicor. VI. 5. p. 382: ἢ προσυλλογιστέον, ὅτι ὁμώνυμον ἢ συνώνυμον, ἢ ὁπότερον ἂν ᾖ. Adde locum classicum Topicor. VIII. 1. p. 400 sq. De προσυλλογισμῷ cf. etiam supra πραξ. 7.

τουσιν, οὐ γὰρ ἀδικοῦσιν ἀλλήλους· οἱ τὰ αὑτῶν πράττοντες οὐκ εὖ οἰκοῦσι τὰς πόλεις. οἱ δίκαιοι ἄρα οὐκ εὖ οἰκοῦσι τὰς πόλεις. — *Πῶς λέγεις, φιλίας μὴ παρούσης —*. Ἐπειδὴ εἶπεν ὁ Ἀλκιβιάδης, ὅτι οἶμαι *εὖ οἰκεῖσθαι τὰς πόλεις ὅταν ἕκαστα* [17] *τὰ αὑτῶν πράττουσι* καὶ μὴ ἀδικοῦσιν ἀλλήλους [18]. ἐρωτᾷ αὐτὸν ὁ Σωκράτης, ὅτι *πῶς λέγεις, φιλίας μὴ παρούσης*, δυνατόν ποτε οἰκεῖσθαι καλῶς τὰς πόλεις; δέδωκας γάρ, ὅτι οἱ τὰ αὑτῶν πράττοντες οὐ φιλοῦσιν ἀλλήλους, ὅτε περὶ ἀνδρὸς καὶ γυναικὸς ἐποιούμεθα τὸν λόγον· ὁ δὲ φησίν· ἀλλὰ καθαυτὸ [19] τοῦτο, καθ' ὃ τὰ αὑτῶν πάττουσι, καὶ μὴ ἀδικοῦσιν ἀλλήλους, φιλία γίνεται. — *Οὐκ ἄρτι γε· νῦν δὲ πῶς αὖ λέγεις;* — ὁ Σωκράτης φησίν, ὅτι *οὐκ ἄρτι γε* τοῦτο ὡμολόγησας, νῦν δὲ ἐρωτῶ σε πάλιν πῶς λέγεις, ὁμονοίας μὴ παρούσης φιλία δύναταί ποτε γενέσθαι; ἢ δυνατὸν ὁμόνοιαν εἶναι περὶ ὧν μή ἐστιν ὁμοιότης γνώσεων; καὶ οἱ [20] ἐν τούτοις ἀναλύει, ἃ πάλαι κατὰ σύνθεσιν ἔδειξεν. — *Τίνα οὖν ποτὲ λέγεις τὴν φιλίαν ἢ τὴν* [21] *ὁμόνοιαν;* Ἐρωτᾷ πάλιν ὁ Σωκράτης, ἐπειδὴ ἤλεγξεν αὐτὸν καὶ ἔδειξε τοὺς δικαίους μὴ εὖ οἰκοῦντας τὰς πόλεις ὅτι εἰπέ μοι οὖν, τί λέγεις την φιλίαν ἢ τὴν ὁμόνοιαν; τουτέστι πρὸς οἵαν θέλεις τῶν προτάσεων ἀνάθου. *Ἀλλὰ μὰ τοὺς θεούς, ὦ Σώκρατες, οὐδὲ αὐτὸς οἶδα ὅ,τι λέγω.* — Πολλαχοῦ ἐλεγχθεὶς ὁ Ἀλκιβιάδης, καὶ ὅτε ἔδειξεν αὐτὸν διπλῇ ἀμαθαίνοντα περὶ τὸ δίκαιον, καὶ ὅτε ἔλεγεν ἕτερον εἶναι δίκαιον καὶ συμφέρον, καὶ νῦν οὐδαμοῦ οὕτως ἀσχάλλει [22], ὡς ἐνταῦθα, διότι περὶ ὁ [23] μάλιστα ἐσπούδαζεν, ἐδείχθη ἀγνοῶν· περὶ γὰρ τὸ τέλος τῆς πολιτικῆς ἐπιστήμης. Διὸ φησίν· *οὐδὲ οἶδα ὅ,τι λέγω, κινδυνεύω δὲ καὶ πάλαι λεληθέναι ἑαυτὸν* [24] *αἴσχιστα ἔχων.* Καὶ ἰδοὺ ὠφελήθη, τὴν ἀμαθίαν αἶσχος

(17) Scr. ex Edd. ἕκαστοι.
(18) Scrib. ex Edd. πράττωσι et ἀδικῶσι. Indicativum post ὅταν soloecum esse contra Vigerum p. 436. monuit Hermannus p. 792.
(19) Scr. vid. κατ' αὐτό. (20) Del. vid. οἱ.
(21) τὴν non est in Edd.
(22) De hoc verbo supra monui ad Proclum cap. 43. p. 127.
(23) Scr. ὅ. (24) Scr. ex Edd. ἐμαυτόν.

καλέσας. Διττὴ γὰρ ἡ κακία, ὡς ἐν τῷ Σοφιστῇ εἴρηται [25], ἢ ἐν τῇ ψυχῇ, καὶ λέγεται αἶσχος καὶ πονηρία, ἢ ἐν τῷ ζώῳ καὶ λέγεται νόσος. Ἀποκρίνασθαι [26] τὰ ἐρωτώμενα, ὦ Ἀλκιβιάδη —, τουτέστιν οὐδὲν μέγα, ἀλλ' ἢ ἀποκρίνασθαι πρὸς τὰ ἐρωτώμενα ἢ καταδόξασθαι λόγον ἐξ ἐμοῦ μαθεῖν. —

## Πρᾶξις σὺν θεῷ κγ.

Φέρε δὴ τί ἐστι [1] ἑαυτοῦ ἐπιμελεῖσθαι; Ἐπειδὴ κατήντησεν ὁ Σωκράτους λόγος εἰς τὸ δεῖν πολλὴν ἐπιμέλειαν ποιήσασθαι, πρὸ τοῦ διδάξαι, τίς ὁ τρόπος τῆς ἐπιμελείας, δύο λήμματα λαμβάνει, συμβαλλόμενα αὐτῷ πρὸς τὴν ἀπόδειξιν τοῦ προκειμένου. Πρῶτον ὅτι οὐχ ὁ τῶν αὐτοῦ ἐπιμελούμενος καὶ ἑαυτοῦ ἐπιμελεῖται. Τρία γάρ τινά εἰσι τὰ εἰωθότα περιφέρεσθαι· ἐγώ, τὸ ἐμόν, τὰ τοῦ ἐμοῦ. Φησὶν οὖν, ὅτι οὐχ ὁ ἐπιμελούμενος τῶν αὐτοῦ [2] ἐπιμελεῖται. Καὶ ἀποροῦσι πρὸς τὸ δευτέρον ἀπορίας. Ἰδοὺ γὰρ γυμναστικὴ καὶ ἰατρικὴ τῶν αὐτοῦ ἐπιμελοῦνται. Ἡ μὲν γὰρ ὑγιείας ἐστὶ περιποιητική, ἡ δὲ φυλακτική· καὶ ὅμως καὶ αὐτοῦ ἐπιμελοῦνται. Διὰ γὰρ τοῦ ὑγίειαν περιποιεῖν ἐπιμελοῦνται τοῦ ἐνεργεῖν τὴν ψυχὴν ἀπαραποδίστως, διὰ τοῦ σώματος· ἢ ἄλλο ἐστὶν αὐτοῦ φροντίζειν, καὶ ἄλλο ἐπιμελήσασθαι ψυχῆς εἰς τὸ ἐνεργῆσαι. Ὁ μὲν γὰρ τῆς οὐσίας αὐτῆς φροντίζει, ὁ δὲ τῆς ἐνεργείας· Ἡ δὲ ἐνέργεια πρῶτον κτῆμα ἐστὶ τῆς ψυχῆς, ἀλλ' οὐκ αὐτή. Πάλιν ἀποροῦσιν. Ἰδοὺ ἡ ὑφαντικὴ καὶ ἡ ὑποδηματουργική [3] ἐπιμελούμεναι τῶν τοῦ αὐτοῦ· ἡ μὲν ἐσθῆτος, ἡ δὲ ὑποδημάτων, καὶ τῶν αὐτοῦ [4] ἐπιμελοῦνται, ἡ μὲν ποδῶν, ἡ δὲ τοῦ ὅλου σώματος. Ἢ πάλιν ἄλλη ἐστὶν ἡ τῆς οὐσίας τοῦ

(25) Vid. Platon. in Sophist. p. 228. d. Bip. T. II. Bekk. II, 2. p. 151.
(26) Edd. ἀποκρίνεσθαι.
(1) Add. ex Edd. p. 127. c. τό.
(2) Fortasse excidit: αὐτὸς αὑτοῦ.
(3) Vocabulum ὑποδηματουργικός non est in Lexicis.
(4) Scr. vid. τοῦ αὑτοῦ. Ceterum αὐτοῦ et αὑτοῦ saepius in his confundi, non est quod moneamus.

σώματος φροντίζουσα, γυμναστικὴ καὶ ἰατρικὴ, καὶ ἄλλη ἡ τῆς ἐνεργείας αὐτοῦ, ὡς ὑφαντικὴ καὶ ὑποδηματουργικὴ, ἵνα εὐκόλως ἐνεργῇ. Ὅθεν διὰ τὰς ἀπορίας ταύτας φησὶν, ὅτι δεῖ φροντίζειν τῆς οὐσίας τῆς ψυχῆς, ὅπως βελτίστην αὐτὴν ποιήσωμεν. Δεύτερον λῆμμα, ὅτι δεῖ τὸν ἐπιμελούμενόν τινος πολλῷ πρότερον τὴν οὐσίαν αὐτοῦ εἰδέναι· πρὸς γὰρ τὴν διάφορον οὐσίαν διάφορος καὶ ἡ ἐπιμέλεια καὶ ἡ τελειότης. Εἰ μὲν γὰρ σῶμα ἦμεν, ἐπιμελόμεθα [5] ἂν, ὅπως κάλλος ἕξωμεν καὶ ἰσχύν· εἰ δὲ φυτικὴ ψυχὴ, πάλιν ἐφροντίζομεν ὅπως ἐκκρίνωμεν τὰ περιττὰ καὶ ἀνυφάνωμεν [6] τὸ λεῖπον. εἰ δὲ θυμὸς, τέλος ἦν ἡμῶν ἡ νίκη. Τοιοῦτος γὰρ ὁ θυμὸς, πάντων μὲν κρατείαν [7] ἐθέλων [8]. Εἰ δὲ ἡ τριμέρεια ἦν ἡμῶν οὐσία, τέλος ἂν ἡμῶν ὑπῆρχεν ἡ μετριοπάθεια· χρῆται γὰρ ὁ τοιοῦτος ἐν καιρῷ τῷ θυμῷ μεμετρημένως κατὰ τῶν ἐπιόντων, ὥςπερ καὶ ἐπιθυμία [9] ἀντιποιούμενος τῆς ἐπιμελείας τοῦ σώματος. Ἐπειδὴ δὲ λόγος ἐσμὲν, τέλος ἐστὶν ἡμῶν ἡ ἀπάθεια. Ταῦτα εἰπὼν τὸν τρόπον τῆς ἐπιμελείας ἑαυτῶν, ἀντὶ τούτου ὁρίζεται, τίς ὁ ἄνθρωπος, καὶ δοκεῖ ποιεῖν, ὃ μὴ προέθετο, οὐδαμοῦ γὰρ ἐπάγει τοῦτο. Καὶ λύομεν τοῦτο, ὅτι, δι' ὧν ἐποίησε, καὶ τὸ προκείμενον ἔδειξεν. Ἐν μὲν γὰρ ἰατρικῇ, οὐχ ὁ μαθὼν τοὺς ἰατρικοὺς λόγους, οὗτος πάντως καὶ θεραπεύει· ἐπὶ δὲ φιλοσοφίας γνοὺς τὴν οὐσίαν τοῦ ἀνθρώπου, οὗτος εὑρίσκει, ὅ,τι ψυχή ἐστιν· ὁ δὲ εἰδὼς τὴν ψυχὴν, καὶ τοὺς ἐν αὐτῇ λόγους οἶδεν· ὁ δὲ εἰδὼς τοὺς ἐν αὐτῇ λόγους, πάντα τὰ ὄντα οἶδε. Διότι εὑρίσκει αὐτὴν πάμμορφον ἄγαλμα τῶν ὄντων πάντων· καὶ δι' ἑνὸς πράγματος οἶδε τὰ ὄντα πάντα, καὶ οὐ μοχθεῖ περὶ τὴν γνῶσιν τῶν ἄλ-

(5) Scr. *ἐπεμελόμ.*

(6) Tenenda est inusitatior vis, qua haec verbi compositi forma Stephano ignota h. l. accipi debet. Est enim resarcire deficiens, s. quod deest integrare. Hesychius Milesius gemino significatu usurpavit. Ita enim ille de orig. Constantinopol. p. 50 Meurs. 5. 27 p. 68 Orell: — *ἀναλαβόντες τοὺς διαφθαρέντας πύργους τοῖς ἐκ τῶν τάφων παρακειμένοις λίθοις, καὶ ἀνυφάναντες τὰς ἐπάλξεις τοῦ τείχους.*

(7) In marg. recte — *τέειν.*

(8) Homericum est hemistichium ex Iliad. α,287.

(9) Scr. vid. *ἐπιθυμίᾳ.*

λων. Ὁ τοιοῦτος οἶδε τὸν λόγον τοῦ δικαίου ἐν αὐτῇ ὄντα. Καὶ ἐπεί, ὡς ἐν τῷ Γοργίᾳ δείκνυται, ὁ εἰδὼς τὰ δίκαια δίκαιος [10], ὁ εἰδὼς τὴν ψυχὴν ἄρα δίκαιος ἔσται. Καὶ καλῶς τοῦτο μόνον ἐπεγέγραπτο ἐν τῇ Πυθίᾳ [11] πρὸ τῶν ναῶν τοῦ Ἀπόλλωνος, τὸ γνῶθι σαυτόν. Διότι ὁ εἰδὼς ἑαυτὸν τὰ ὄντα πάντα οἶδε· μάντεως δὲ τὸ τὰ ὄντα πάντα εἰδέναι. Ταῦτα ἔχει ἡ θεωρία. —

Τί ἐστι τὸ ἑαυτοῦ ἐπιμελεῖσθαι. Δεῖ, φησὶν, εἰδέναι τί ἐστι τί [12] ἑαυτοῦ ἐπιμελεῖσθαι, τί τὸ τοῦ αὐτοῦ, καὶ τρίτον τί τῶν τοῦ αὐτοῦ; ἵνα μὴ λάθωμεν καὶ καὶ [13] οἰηθῶμεν τῶν ἐκτὸς ἐπιμελούμενοι, τοῦ ἑαυτῶν ἐπιμελεῖσθαι. Καὶ δεῖ εἰδέναι, πότε τοῦτο αὐτὸ ποιεῖ ἄνθρωπος, καὶ ἑαυτοῦ ἐπιμελεῖται. Ἆρα ὅταν φροντίζῃ τῶν ἑαυτοῦ· ὁ δὲ ἀποκρίνεται ὡς ἀμαθὴς, ὅτι ναί. Τί δέ [14]; ποδῶν ἄνθρωπος πότε ἐπιμελεῖται; ὁ ὑποδημάτων ἐπιμελούμενος. Ὁ δὲ φησὶν, ὅτι οὐ μανθάνω, διότι δοκεῖ ὁ ἐπιμελούμενος ὑποδημάτων καὶ ποδῶν ἐπιμελεῖσθαι. Διὸ ὁ Σωκράτης εἰς τὸ ἀναμφισβήτητον μετάγει τὸν λόγον, λέγων· ὅτι ἄρα ὁ δακτυλίου ἐπιμελούμενος, δακτύλου ἐπιμελεῖται. Δῆλον γὰρ ἐνταῦθα, ὅτι οὐδὲν συμβάλλεται τῷ δακτύλῳ πρὸς τὴν οὐσίαν, ἢ [15] ὁ δάκτυλος μᾶλλον, ἤπερ ἐπὶ ὑποδημάτων καὶ ὑφαντικῆς. Διὸ καὶ ὁ Ἀλκιβιάδης ἑτοίμως ἀποκρίνεται ἐνταῦθα, ὅτι οὐ δῆτα, ἐπὶ δὲ τῶν ἄλλων μετὰ ἐνδοιασμοῦ· οὐ πάνυ μανθάνω, ὦ Σώκρατες. Ἐνταῦθα εὐκαιρότερον ἔστιν εἰπεῖν· ἀλλὰ τοῦτο Ἀλκιβιάδης οὔπω ἐρωτᾷ, ὅτι ὁ τῶν ἑαυτοῦ ἐπιμελούμενος, οὐχ ἑαυτοῦ ἐπιμελεῖται, ὁ [16] Ἀριστοτέλης περὶ Παρμενίδου

(10) Vid. Platon. Gorg. p. 460. b. Bip. IV. Bekk. II. 1. p. 31.
(11) Scrib. vid. ἐν Πυθοῖ, et est in nostro dialogo paulo inferius p. 129. a. Bekk. p. 357. Nisi forte ipsius Olympiodori haec variatio est.
(12) Scr. τὸ. (13) Del. repetitum καὶ.
(14) Edd. Bekker. δαί.
(15) Utrum aliquid excidit, an legendum ᾗ?
(16) Scrib. vid. ὡς ὁ Ἀριστ. Ad rem vide Aristotel. Physicor. I, 3. p. 9 Sylb: — ἀλλὰ τοῦτο Παρμενίδης οὔπω συνεώρα. Tu confer omnino de doctrina Parmenidis Fuelleborn. Beitraege zur Geschichte der Philosophie VI. 1. VII. 2. et praecipue Brandisii viri doctissimi Commentatt. Eleaticarum Sect. II. Altonae 1813.

εἶπεν ἐν τῇ φυσικῇ τοῦ διδασκάλου Πλάτωνος [17]: Ἆρα οὖν ὅταν βέλτιόν τις [18] ποιῇ, τότε ὀρθὴν ἐπιμέλειαν λέγεις; Ἰδοὺ διὰ τούτων ἔλυσε τὰς δύο ἀπορίας, ὅτι ἐκεῖνον λέγω ἐπιμελεῖσθαι, τὸν τὴν οὐσίαν βελτίω ποιοῦντα, οὐ τὴν ἐνέργειαν. Τρεῖς γάρ εἰσι συστοχίαι [19] καὶ τρία πράγματα· ἐγώ, τὸ ἐμόν, τὸ τοῦ ἐμοῦ. Καὶ οὔτε τὰ πράγματα συγχέονται πρὸς ἄλληλα, οὔτε ἡ ἐπιμέλεια, οὔτε αἱ τελειότητες, ἀλλὰ μὴν οὔτε αἱ τέχναι αἱ ποριστικαὶ τῆς τελειότητος. Ἑαυτῶν μὲν γὰρ τελειότης γίνεται διὰ φιλοσοφίας· τοῦ ἐμοῦ δὲ διὰ γυμναστικῆς καὶ ἰατρικῆς· τοῦ δὲ τοῦ ἐμοῦ διὰ χρηματιστικῆς [20]. Ἢ ἐκείνῃ ἣ [21] πόδας βελτίους ποιοῦμεν; τουτέστιν οὔτε διὰ σκυτικῆς βελτίους ποιοῦμεν τοὺς πόδας· ἀλλὰ ἄλλη τέχνη [22]· αὕτη δὲ ἔστιν εἰ [23] καὶ τὸ ἄλλο σῶμα ποιοῦσα βέλτιον, ὡς ἡ γυμναστική. — Ἧ [24] οὖν ἔγνωμεν ἂν

(17) Comma inserendum esse videtur post φυσικῇ. Photius enim in Excerptt. vit. Pythag. ap. Menagium ad Diogen. Laërt III. 6. p. 139 ita de Platone: — τῆς δὲ λογικῆς σπέρματα καταβαλεῖν αὐτῷ Ζήνωνα καὶ Παρμενίδην τοὺς Ἐλεάτας, καὶ οὗτοι δὲ τῆς Πυθαγόρου ἦσαν διατριβῆς. Ubi tamen Menagius subjicit: „Sed ipsum „Parmenidem non audivisse (de Platone loquitur) demonstratum est „Athenaeo lib. V. cap. 15; neque officiunt verba Photii, qui Par„menidem Zenoni addit tantum, ut constaret, unde Zeno hauserit, „quae Platoni tradidit. Videatur Laërtius in Zenone Eleate.“ Haec Menagius. Verum tamen famam invaluisse, quae Platonem ipsius Parmenidis alumnum proderet, arguit hic ipse locus Olympiodori. Ei tamen opinioni adversatur temporum ratio. Vid. Athen. V. p. 217. a. b. p. 335 Schwgh. adde eundem lib. XI p. 505. f. p. 380: Παρμενίδη μὲν γὰρ καὶ ἐλθεῖν εἰς λόγους τὸν τοῦ Πλάτωνος Σωκράτην, μόλις ἡ ἡλικία συγχωρεῖ. ubi conf. Casaubon p. 317 Schwgh. Qui proinde *Plato* Parmenide magistro uti potuerit? — Et Diogenes Laërtius l. l. ita de Platone: — ἐκείνου δὲ ἀπελθόντος προςεῖχε Κρατύλῳ τε τῷ Ἡρακλειτείῳ καὶ Ἑρμογένει τῷ τὰ Παρμενίδου φιλοσοφοῦντι. De Cratylo idem testatur Olympiodorus in vita Platon. p. 4. ed. Lips. stereotyp. de Hermogene tamen nihil; videlicet quoniam se abripi passus erat hoc ipso commento, quod ipsius Parmenidis Platonem discipulum facit.

(18) Edd. Ἆρ' οὖν — τίς τι βέλτιον neque cod. Bodl. habet τι.

(19) Scrib. συστοιχίαι.

(20) Platon Sympos. p. 173. p. 371 Bekker. — καὶ γὰρ ἔγωγε καὶ ἄλλως, ὅταν μέν τινας περὶ φιλοσοφίας λόγους ἢ αὐτὸς ποιῶμαι ἢ ἄλλων ἀκούω —, ὅταν δὲ ἄλλους τινάς, ἄλλως τε καὶ τοὺς ὑμετέρους τοὺς τῶν πλουσίων καὶ χρηματιστικῶν κτλ.

(21) Scr. ex Edd. ᾗ. (22) Scr. ἄλλῃ τέχνῃ. (23) Scr. vid. ἡ.

(24) Scr. ex Edd. Ἦ Cod. Bodl. εἰ οὖν.

ποτε, τίς τέχνη —. Τὸ δεύτερον λῆμμα, ὅτι ἀδύνατον ἐπιμελεῖσθαί τινος μὴ εἰδότα πρότερον τὴν οὐσίαν αὐτοῦ. — Καί τις ἦν φαῦλος ὁ τοῦτο ἀναθεὶς εἰς τὸν ἐν πυθοῖ νεών; — Φαῦλος ἐνταῦθα οὐχ ὁ μοχθηρὸς τὸν τρόπον, ἀλλ' ὁ εὐτελής· τουτέστιν, εὐτελὴς ἦν ἄνθρωπος εἷς τῶν ἑπτὰ σοφῶν, ἀναθεὶς [25] τοῦτο εἰς τὸν ναὸν τοῦ μαντῴου θεοῦ. Ην δὲ Χίλων ὁ Λακεδαιμόνιος [26]. Ἐμοὶ μέν, ω Σώκρατες, πολλάκις ἔδοξε παντὸς εἶναι —. Ἐδόκει τῷ Ἀλκιβιάδῃ τοῦτο ποτὲ μὲν ῥᾴδιον, ποτὲ δὲ παγχάλεπον τὸ γνῶναι ἑαυτόν, διὰ τὴν τραγῳδίαν λέγουσαν· Τὸ γνῶθι σαυτὸν ἐν λόγοις οὐδὲν μέγα ἔργον, μόνος δὲ Ζεὺς ἐπίσταται θεῶν [27]. Τῷ μὲν γὰρ ὀνόματι ἐδόκει μικρὸν εἶναι, τῷ δὲ πράγματι δυσχερές. — Ἀλλ', ὦ Ἀλκιβιάδη, εἴτε ῥᾴδιον. τὸ ἀλλαχοῦ λεγόμενον· εἴτε ῥᾴδιον, εἴτε μή, ταύτῃ ἰτέον· εἴτε γὰρ δυσχερές ἐστιν εἴτε ῥᾴδιον τὸ γνῶναι ἑαυτούς, δεῖ πάντως γνῶναι ἑαυτούς·

## Πρᾶξις σὺν θεῷ κδ.

Φέρε δή, τίνα ἂν τρόπον εὑρεθείη αὐτὸ το αὐτό [1]; — τὸ προκείμενόν ἐστιν εὑρεῖν, τίς ἡ οὐσία ἡμῶν· ὅτι

(25) Ruhnkenius atque Etwall. ex Olympiod. p. 23. ediderunt ὁ ἀναθ. Mox antea erat μανθ.

(26) Tribuebatur haec sententia a plurimis Chiloni, ab aliis alii e septem sapientibus, ab aliis ipsi Pythiae. Vid. Menag. ad Diog. Laert. I, 1, 40. cf. Ruhnk. ad Tim. p. 269. ubi nostrum quoque locum excerptum reperies; et Schöll. in Plat. p. 81. R. Eadem habet Photius in Lex. gr. p. 469. qui idem in φαῦλον varios hujus vocis usus per Platonis Oratorumque Atticorum libros diligentius persequitur. Et ab ipso Platone ejusque imitatoribus φαῦλοι opponuntur σοφοῖς, docente Wyttenbachio ad Phaedon. p. 216. Cf. etiam Suid. in φαῦλον et Toupii Emendatt. in eum III. p. 537 sq. itemque Reinesii et Muelleri Observatt. in Suid. p. 264. Adde Etymolog. Gud. p. 69. 48 sqq. et Appendic. p. 638. 24 sqq.

(27) Apud Stob. Serm. XXI plures in hanc sententiam poetarum versus leguntur, neque tamen hi, quos Olympiodorus apposuit, neque in Erasmi et Aliorr. Adagiis p. 506 ubi Euripidei loci consimiles laudantur. cf. etiam Schottium ad Proverbb. e Vatican. Append. I. 37. p. 265. Ceterum ad sensum congruunt quodammodo illa Juvenalis Satir. XI. 27: — „E coelo descendit Γνῶθι σεαυτόν.“

(1) Vid. quae annotarunt ad h. l. Faber et Dacier ap. Etwal-

οὐ τὸ σῶμά ἐστιν ὁ ἄνθρωπος, οὐ [2] τὸ συναμφότερον. Καὶ δείκνυσι τοῦτο διὰ δύο συλλογισμῶν, ἑνὸς κατηγορικοῦ καὶ ἑτέρου ὑποθετικοῦ· καὶ προτάττει τὸν κατηγορικὸν, ὡς ἰσχυρότερον τοῦ ὑποθετικοῦ. Καὶ ἐν μὲν τῇ παρούσῃ θεωρίᾳ τὸν κατηγορικὸν παραδίδωσιν, ἐφεξῆς δὲ καὶ τὸν ὑποθετικὸν παραδώσει. Ὁ δὲ κατηγορικὸς τοιοῦτος· ὁ ἄνθρωπος ὀργάνῳ χρῆται τῷ σώματι, καὶ γὰρ δεσπόζει αὐτοῦ, ὅτε γὰρ βούλεται, καὶ ἐφ' ὅσον βούλεται, καὶ ὅπου βούλεται, κινεῖ αὐτό· τὸ ὀργάνῳ χρώμενον τῷ σώματι ψυχή ἐστιν· ὁ ἄνθρωπος ἄρα ψυχή ἐστιν [3]. Φέρε δὴ ἑκατέραν τῶν προτάσεων κωδωνίσωμεν [4]· δόξει γὰρ μὴ εὖ ἔχειν ἡ ἐλάττων, ἀλλὰ τὸ ζητούμενον ὁμολογούμενον λαβεῖν· ζητούμενον γὰρ, εἰ ὁ ἄνθρωπος ψυχή ἐστι. Εἶπε δὲ, ὅτι ὀργάνῳ χρῆται τῷ σώματι, ὃ ψυχῆς ἴδιον, ὥστε πρὸ τοῦ δεῖξαι λαμβάνει ὁμολογούμενον, ὅτι ὁ ἄνθρωπός ἐστιν ἡ ψυχή· καὶ αὐτὸς μὲν κατασκευάζει τὸν [5] ἐλάττονα διὰ τῶν καθ' ἕκαστα λέγων. Εἰ ὁ ὀργανιστὴς [6] χρῆται ὀργάνῳ

lum ad h. l. p. 23. sq. et cf. Buttmann. ad h. l. (p. 129 b Steph.) Edd. recentt. exhibent: *τίν' ἂν τρόπον* et cod. Bodl. in clausula sententiae: *αὐτὸ ταυτό.*

(2) Scr. vid. *οὔτε.* [Aut *οὐδὲ.*]

(3) Julianus (Orat. VI p. 183 Spanhem.) posteaquam explicuit varias in hoc universo naturas pro eo ac potuerint incorporeae rationis (*ἀσωμάτου λόγου*) participes esse factas, unde ad praecipuas philosophiae definitiones transgreditur, hanc ipsam memorat et ita pergit: — *Εἶθ' ὅπερ ὁ Πύθιος ἔφη· Γνῶθι σεαυτόν ὑπολάβοι τις* (finem philosophiae esse), *οὐδὲν διοίσει πρὸς τὸν λόγον· ἅπαντα γὰρ ταῦτα φαίνεται πρὸς ἄλληλα καὶ μάλα οἰκείως ἔχοντα. Ἀρξώμεθα δὲ πρῶτον ἀπὸ τοῦ γνῶθι σαυτόν· ἐπειδὴ καὶ θεῖόν ἐστι τοῦτο τὸ παρακέλευσμα· οὐκοῦν ὁ γιγνώσκων αὐτὸν* (*αὑτὸν* fort.), *εἴσεται μὲν περὶ ψυχῆς· εἴσεται δὲ καὶ περὶ σώματος. Καὶ τοῦτο οὐκ ἀρκέσει μόνον, ὡς ἐστιν ἄνθρωπος ψυχὴ χρωμένη σώματι, μαθεῖν· ἀλλὰ καὶ αὐτῆς τῆς ψυχῆς ἐπελεύσεται τὴν οὐσίαν· ἔπειτα ἀνιχνεύσει τὰς δυνάμεις· καὶ οὐδὲ τοῦτο μόνον ἀρκέσει αὐτῷ, ἀλλὰ καὶ εἴ τι τῆς ψυχῆς ἐν ἡμῖν ἐστι κρεῖττον καὶ θειότερον· ὅπερ δὴ πάντες ἀδιδάκτως πειθόμενοι, θεῖόν τι εἶναι νομίζομεν· καὶ τοῦτο ἐνιδρῦσθαι πάντες οὐρανῷ κοινῶς ὑπολαμβάνομεν.*

(4) Exploremus, exigamus, examinemus. Vid. Suid. in *κωδωνίσαι* Vol. II. p. 360. et interprr. ad Lucian. de merced. conductt. Tom. III. p. 541 et 549 sq. Bip.

(5) Scr. *τὴν* sc. *πρότασιν.*

(6) Vocem *ὀργανιστὴς* non habent Lexica, nec habere debent, nisi infirmae graecitatis vocabula exhibere volunt. Eodem sensu etiam *organarius* usurpatur cadentis Latinitatis scriptoribus. Vid. Ammian. XXVIII. 1 (3); Du Cange in Gloss. med. et inf. Graec. in *Ὀργανάριος,*

τῷ πλήκτρῳ, καὶ ὁ σκυτοτόμος τῇ χειρὶ, καὶ εἰσὶν ἕτεροι αὐτοὶ παρὰ τὰ ὄργανα· δῆλον ἄρα, ὅτι καὶ ὁ ἄνθρωπος ὀργάνῳ χρώμενος τῷ σώματι, ἄλλος ἂν εἴη· ἀλλ' ἐπεὶ δοκεῖ, ὡς εἴρηται, τὸ ζητούμενον ὡς ὁμολογούμενον λαβεῖν, ῥητέον, ὅτι τὸ ὅλον, ἐν τοῖς μέρεσιν ἔχον τὴν ὑπόστασιν, οὐ περιφρονεῖ τοῦ μέρους, ἐπεὶ τῆς οἰκείας ἐφεθήσεται φθορᾶς· ὁ ἄνθρωπος δὲ προδίδωσι τὸ σῶμα, ἐν τοῖς δεινοῖς ἀνδριζόμενος· ὁ ἄνθρωπος ἄρα οὐκ ἔστι τὸ συναμφότερον. Ἀλλ' ὅσον ἐπὶ τούτῳ καὶ τὰ ἄλογα ζῶα ἡ ἄλογος ψυχὴ ἔσονται, εἴ γε περιφρονεῖ τοῦ εἶναι, ἐν τῷ μάχεσθαι τοῖς προςιοῦσιν· ἢ κἀκεῖνα πέπεισται, ὅτι ἡ ψυχὴ ἡ ἄλογος οὐκ ἔστιν ἐν τῷ ὀστρεΐνῳ [7], ἐπεὶ οὐκ ἂν προεδίδου τὸ σῶμα· προδίδωσι δὲ, ἅτε δὴ εἰδότα, ὅτι οὐ συναπόλλυται ἡ ψυχὴ τῷ σώματι· οὐ γὰρ συγκινδυνεύει τὸ χρώμενον τῷ ὀργάνῳ, ὥςπερ ὅλον τοῖς μέρεσιν· ὥστε καλῶς ἔχει ἡ ἐλάττων πρότασις. Ἀλλὰ καὶ ἡ μείζων· τὸ γὰρ τῷ σώματι ὡς ὀργάνῳ χρώμενον ἡ ψυχή ἐστιν· οὔτε γὰρ σῶμα, οὔτε συναμφότερον· σῶμα μὲν [8], ἐπειδὴ οὐδέποτε σῶμα σώματι χρῆται ὡς ὀργάνῳ, ἑτεροκίνητον ὄν [9]· ἀλλὰ μὴν οὔτε συναμφότερον, διότι διάφορόν ἐστι τὸ χρώμενον παρὰ τὸ ὄργανον. Ἵνα οὖν μὴ ταὐτὸν ᾖ μέρος καὶ ὄργανον, ψυχὴ ἄρα ἐστίν.

Καὶ ταῦτα μὲν τὰ τῆς λέξεως. Φέρε δὲ, ἔξωθεν περὶ ὀνομάτων διαλεχθῶμεν καὶ ζητήσωμεν, τί μὲν κατὰ τὸν φιλόσοφον Πρόκλον ἔστιν αὐτὸ καὶ αὐτὸ τὸ αὐτό [10], τί δὲ κατὰ τὸν φιλόσοφον Δαμάσκιον. Τρία τοίνυν λέγει ὁ φιλόσοφος Πρόκλος εἶναι αὐτὸ, τὴν τριμέρειαν τῆς ψυχῆς· αὐτὸ

p. 1052. Ejusdem Gloss. med. et inf. Lat. III. p. 63. Vossius de vit. sermonis p. 744. Ad verborum Olympiodori usum cf. Isidori Pelusiotae epist. I. 364. p. 95 — *καὶ χορδὰς, τὰς ἐν ἡμῖν αἰσθήσεις δηλοῖ, ὑφ' ὧν τὸ τῆς γλώττης ἀνακρούεται πλῆκτρον. Καὶ ὄργανον ὁ πᾶς εὑρίσκεται ἄνθρωπος κτλ.* Gemina profert Clemens Alexandr. in Paedagog. II. 4.

(7) Scr. *ὀστεΐνῳ*.

(8) Fort. *σῶμα μὲν οὐκ*.

(9) Vid. Proclum in hunc dialogum cap. 34. p. 106 ibiq. annot. cf. cap. 76. p. 225. sq.

(10) Fortasse excidit: *καὶ αὐτὸ ἕκαστον*, aut: *καὶ αὐτὸ ἕκαστον*, ut in sequentibus scribitur, si lectio sana.

δὲ τὸ αὐτὸ καλεῖ τὴν λογικὴν ψυχήν· αὐτὸ δὲ τὸ αὐτὸ, ἕκαστον τὸ ἄτομον [11]. Εἰ γὰρ, φησὶν ἡ λέξις, γνοίημεν, τί ἐστιν αὐτὸ τὸ αὐτὸ, δεῖ μαθεῖν τί ἐστι καὶ αὐτὸ τὸ αὐτὸ ἕκαστον· διότι οὐκ ἀρκεῖ τὸ γνῶναι ἁπλῶς ἄνθρωπον, ἀλλὰ δεῖ εἰδέναι καὶ τί ἐστι τὸ ἄτομον. Διότι πρόκειται ὠφελῆσαι Ἀλκιβιάδην καὶ γνῶναι αὐτὸν [12], τίς ἐστιν οὗτος, ὅτι ἡ ψυχή. Αἱ δὲ πράξεις περὶ τὰ καθ' ἕκαστα καταγίνονται. Καὶ οὐ μόνον διὰ τοῦτο, ἀλλὰ καὶ ὅτι ἥμαρτεν ὁ περίπατος [13] περὶ τὸ ἄτομον, οἰηθεὶς αὐτὸ ἐκ τῆς συνδρομῆς τῶν συμβεβηκότων γίνεσθαι. Διὸ καὶ οὕτως ὁρίζεται αὐτό· οὗ τὸ ἄθροισμα οὐκ ἂν ἐπ' ἄλλου ποτὲ [14] γένοιτο· καὶ ἀπὸ τῶν χειρόνων τῶν συμβεβηκότων τὰ κρείττονα ἐποίουν [15]. Ὁ δέ γε Δαμάσκιος αὐτὸ μὲν καλεῖ τὴν πολιτικὴν ψυχὴν, τὴν ὀργάνῳ χρωμένην τῷ σώματι· αὐτὸ δὲ τὸ αὐτὸ τὴν καθαρτικὴν καὶ θεωρητικὴν, ἥτις οὐδὲ ὀργάνῳ χρῆται τῷ σώματι. Καὶ ἔοικεν ὁ μὲν Δαμάσκιος ἐπιστημονικώτερον λέγειν. ὁ δὲ φιλόσοφος Πρόκλος

(11) Videtur interpungendum: *αὐτὸ δὲ ἕκαστον, τὸ ἄτομον.*

(12) An *γνῶναι ἄνθρωπον?*

(13) Aristoteles ejusque sectatores. Vid. Aristotel. Analyt. post. II. 5. p. 249 Sylb. et passim. Porphyrii Isagoge in Aristotel. Categorias III. p. 7 sq. Sylb. Vol. I. cap. 2. §. 37. 38. p. 384 ed. Buhl: *λέγεται γὰρ τὸ μὲν γενικώτατον κατὰ πάντων τῶν ὑφ' αὐτὸ γενῶν τε καὶ εἰδῶν καὶ ἀτόμων· τὸ δὲ γένος τὸ πρὸ τοῦ εἰδικωτάτου κατὰ πάντων τῶν εἰδικωτάτων καὶ ἀτόμων· τὸ δὲ μόνον εἶδος κατὰ πάντων τῶν ἀτόμων· τὸ δὲ ἄτομον ἐφ' ἑνὸς μόνου τῶν κατὰ μέρος. Ἄτομον δὲ λέγεται ὁ Σωκράτης, καὶ τουτὶ τὸ λευκὸν καὶ οὑτοσὶ ὁ προσιὼν Σωφρονίσκου υἱὸς, εἰ μόνος αὐτῷ εἴη Σωκράτης υἱός. ἄτομα δὲ λέγεται τὰ τοιαῦτα, ὅτι ἐξ ἰδιοτήτων συνέστηκεν ἕκαστον, ὧν τὸ ἄθροισμα οὐκ ἂν ἐπ' ἄλλου [τινός] ποτε τὸ αὐτὸ γένοιτο. αἱ γὰρ Σωκράτους ἰδιότητες οὐκ ἂν ἐπ' ἄλλου τινὸς τῶν κατὰ μέρος γένοιντ' ἂν αἱ αὐταί. αἱ μέντοι τοῦ ἀνθρώπου (λέγω δὴ τοῦ κοινοῦ) ἰδιότητες γένοιντ' ἂν αἱ αὐταὶ ἐπὶ πλειόνων, μᾶλλον δὲ ἐπὶ πάντων τῶν κατὰ μέρος ἀνθρώπων, καθὸ ἄνθρωποι.* Vide in illa definitione *τοῦ ἀτόμου* nec Olympiodori codicem Hamburgensem agnoscere *τινὸς*, quod Sylburgius uncinis incluserat. Contra ex Porphyrio reddendum est Olympiodoro *τὸ αὐτὸ* ante *γένοιτο*, quod vel sequentia arguunt. Primaria sententia latine ita habet: „Individua dicuntur talia, quod „proprietatibus unumquodque constet, *quae eaedem conjunctim in alio quovis non reperiuntur.*“ Integrum autem Porphyrii locum adponendum duxi, quo facilius de Olympiodoreae disputationis sententiâ constaret.

(14) Adde *τὸ αὐτό*. Vid. annot. praeced.

(15) *ἐποίουν* non mutaverim, quando *ὁ περίπατος* collective accipitur de Peripateticis.

ἐξηγηματικώτερον [16] τῆς λέξεως. Συμφωνεῖ γὰρ αὐτῷ ἡ λέξις· ἀρχόμενος γάρ φησιν, ὅτι ἐὰν εὑρεθῇ αὐτὸ αὐτὸ [17], δεῖ ζητῆσαι καὶ τί αὐτὸ τὸ αὐτὸ ἕκαστον. Πρόκειται δὲ ἐνταῦθα παραδοῦναι οὐ καθαρτικὸν, οὐ θεωρητικὸν, ἀλλὰ τὸν πολιτικὸν ἄνθρωπον. Διὸ καὶ οὕτως ὁρίζεται αὐτὸν, ψυχὴν λογικὴν ὀργάνῳ χρωμένην τῷ σώματι· ὥστε ὁ μὲν τοῖς πράγμασι προςέσχεν, ὁ δὲ [18] τῇ λέξει.

Ταῦτα ἔχει ἡ θεωρία. — Οὕτω μὲν γὰρ τάχ' ἂν εὕροιμεν τί ποτ' ἐσμὲν αὐτοί [19]. εἰ μάθοιμεν, φησὶ, τί ἐστιν ὁ ἄνθρωπος, δεῖ πρὸς τούτῳ εἰδέναι, καὶ τί ἐστιν ἕκαστος ἡμῶν· οὕτω γὰρ ταχὺ ἂν μάθοιμεν τοῦτον· τούτου δὲ ἀγνοουμένου, τοῦ κοινοῦ, ἀδύνατον τὸ ἄτομον εἰδέναι. — Ἔχε οὖν, πρὸς Διός· τῷ διαλέγῃ [20] σὺ νῦν; Ἐντεῦθεν κατασκευάσαι βούλεται τὴν ἐλάττονα [21], ὅτι ὁ ἄνθρωπος ὀργάνῳ χρῆται τῷ σώματι. Εἰ γάρ, φησὶ, σὺ ἐμοὶ διαλέγῃ, τὸ δὲ διαλεγόμενον ψυχή ἐστιν ὀργάνῳ χρησαμένη τῷ σώματι· (ἔστι γὰρ ἡ διάλεκτος [22] καὶ ἀποτέλεσμα καὶ ὄργανον ψυχῆς· διὰ γὰρ αὐτῆς ἐξαγγέλλει τὰ νοήματα, ὥςπερ ἡ λογικὴ Ἀριστοτέλους καὶ ὀργανόν ἐστι καὶ ἀποτέλεσμα, ὥςπερ ὁ ἄκμων τοῦ χαλκέως, καὶ ἡ σφύρα τοῦ τέκτονος· ἀλλὰ δὲ καὶ ὁ ἀκούων Ἀλκιβιάδης ἔστι, καὶ τοῦτο δὲ ἴδιον ἀνθρώπου τὸ ἀκούειν.) πρόσθες σὺ τὸ οὕτως ἀκούειν διαλέκτου· ἀκούει γὰρ καὶ τὰ

(16) Vocabulo *ἐξηγηματικός* augeri possunt Lexica.
(17) An scr. *αὐτὸ τὸ αὐτό?*
(18) *ὁ μέν* Damascius: *ὁ δὲ* Proclus.

(19) Scholl. in Plat. p. 91. ad *ἐσμὲν αὐτοί.* Nimirum ex Procli vel Olympiodori commentariis. Cod. Bodl. h. l. habet: *ἂν τάχ' εὕροιμ.* p. 129. b. Steph.

(20) Bekk. *διαλέγει* et ita cod. Bodl. qui idem continuo p. 129 b: *ἄλλο τί ἤ.*

(21) Scholl. in Platt. p. 82. R. ad *ἔχε οὖν* ex iisdem commentariis.

(22) Hesych. I. p. 951 *Διάλεκτος. ὁμιλία, λαλιά,* ubi vid. Abresch. Plato in Symposio p. 203 p. 428 Bekker. — *ἀλλὰ διὰ τούτου πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους.* cf. Aristophan. Nubb. vs. 424 ibiq. Schol. Idem tamen ad vs. 317 ex hujusmodi locis redarguitur.

ἄλογα ζῶα. Καὶ ὡς οὖν διαλεγομένη καὶ ὡς ἀκούουσα ἄνθρωπός ἐστιν ἡ ψυχὴ, μερικῷ ὀργάνῳ χρωμένη. Ἀλλ' ἐπεὶ οὐ δεῖ παράδειγμα λαβεῖν τὸ μερικὸν ὄργανον, λέγει γὰρ παράδειγμα τὴν σκυτικὴν, ὅλῳ ὀργάνῳ χρωμένην ἐν ταῖς ἐργασίαις. Ὥςπερ σκυτοτόμος τέμνει που τομεῖ [23]. Ἰδοὺ τὸ παράδειγμα τὸ χρώμενον ὀργάνῳ ὅλῳ τῷ σώματι. Εἶ γὰρ καὶ μόνῃ χειρὶ χρῆται, ἀλλὰ δέχεται ἀποῤῥοίας καὶ μέρη ἐκ τῶν ἀρχῶν, οἷον ἀρτηρίας καὶ φλέβας καὶ νεῦρα. Διὸ καλῶς ὁ περίπατος ἔλεγε, μὴ δεῖν τὴν χεῖρα λέγειν ὑφαίνειν, τὸ γὰρ ὅλον ἐστὶ τὸ ποιοῦν διὰ τοῦ μέρους. Δύνασαι δὲ καὶ ἐπὶ τῶν τῆς γλώττης τὸ αὐτὸ εἰπεῖν, ὅτι παραδείγματι χρῆται ὅλῳ διὰ ταῦτα· ἀλλ' ἐναργὲς ἐπὶ τούτων, οὐ ταὐτὸν δὲ σμίλη καὶ τομεύς. Σμίλη μὲν γάρ ἐστιν ἡ ἰσόπλευρον ἔχουσα τὴν βάσιν, τομεὺς δὲ ὁ κυκλικὴν —. Τέμνειν ὀργάνοις μόνον ἢ καὶ χερσίν; ὀργάνοις τοῖς ἔξωθεν, χερσὶ δὲ ἀντὶ τοῦ, ταῖς συμφυέσιν, ὧν καὶ δεόμεθα ἐν τῷ λόγῳ. — Οὐκ ἔχω λέγειν [24]. — Καλῶς ὁ Ἀλκιβιάδης ἀμφέβαλε πρὸς τὸν ὁρισμὸν τοῦ ἀνθρώπου· διότι λείπει αὐτῷ ἡ μείζων πρότασις πρὸς ἀπόδειξιν τοῦ εἶναι τὸν ἄνθρωπον ψυχὴν λογικὴν καὶ ἐπάγει αὐτήν.

(23) Schol. in Plat. p. 82. R. ad *τομεῖ*. Ita ed. Bodl. emendat. cf. Wolf. et Buttmann. ad h. l. p. 129. c. In describendâ *σμίλη* Scholiastes nonnihil variat: *Σμίλη δὲ ἡμικυκλικήν*. De *σμίλῃ* scalpro aut caelo vid. Jacobs. ad Antholog. gr. part VII. p. 363 et VIII. p. 161 sq. Adde Carol. Muelleri Aeginett. libr. p. 98. sq.

(24) p. 129. e. Ad haec et sequentia consulendus est Plotini Enneadis sextae liber septimus, unde ego h. l. haec tantummodo adscribam. Ita enim ille cap. 4 p. 697. *Τί οὖν ἐστι τῷ* (optimi libri msc. *τὸ*) *εἶναι ἀνθρώπῳ; τοῦτο δέ ἐστι, τί ἐστι τὸ πεποιηκὸς τοῦτον τὸν ἄνθρωπον ἐνυπάρχον οὐ χωριστόν. ἄρ' οὖν αὐτὸς* (Vatic. *ὁ αὐτὸς*) *ὁ λόγος ζῶόν ἐστι λογικὸν, ἢ τὸ συναμφότερον, αὐτὸς δέ τις ποιητικὸς ζώου λογικοῦ, τίς ὢν αὐτὸς, ἢ τὸ ζῶον ἀντὶ ζωῆς λογικῆς, ἐν τῷ λόγῳ· ζωὴ τοίνυν* (*τις* Vatic.) *λογικὴ, ὁ ἄνθρωπος. ἄρ' οὖν ζωὴ ἄνευ ψυχῆς; ἢ γὰρ ἡ ψυχὴ παρέξεται τὴν ζωὴν τὴν λογικὴν, καὶ ἔσται ὁ ἄνθρωπος ἐνέργεια ψυχῆς καὶ οὐκ οὐσία, ἢ ἡ ψυχὴ ὁ ἄνθρωπος ἔσται. ἀλλ' εἰ ἡ ψυχὴ ἡ λογικὴ ὁ ἄνθρωπος ἔσται, ὅταν εἰς ἄλλο ζῶον ἴῃ* (*ἔῃ* al.) *ἡ ψυχὴ, πῶς οὐκ ἄνθρωπος;* Eamque quaestionem in sequentibus persequitur Plotinus.

## Πρᾶξις σὺν θεῷ κε.

**Οὐκ οὖν ἄρχουσα; καὶ μὴν τόδε γ' οἶμαι οὐδένα**[1] —. Δείξας ὁ Σωκράτης διὰ κατηγορικοῦ συλλογισμοῦ, ὅτι ἄνθρωπος ψυχή ἐστι, νῦν τοῦτο αὐτὸ καὶ δι' ὑποθετικοῦ κατασκευάζει, καὶ προςλαμβάνει τούτου λῆμμα τοιοῦτον· ὅτι ἄνθρωπος ἄρχει τοῦ σώματος, καὶ τοῦτο δῆλον οὐ μόνον ἐκ τῶν ἐγκρατῶν, ἀλλὰ καὶ ἐκ τῶν ἀκρατῶν· εἴ γε δυνάμενοι κρατῆσαι ἑαυτῶν οὐκ ἐκράτησαν· εἰ γὰρ ἐξ ἀνάγκης ἀκρατεῖς ἦσαν, οὐκ ἂν ἐπεπλήττομεν αὐτοῖς. Τούτου προςληφθέντος κατασκευάζει δι' ὑποθετικοῦ λόγου οὕτως· ὁ ἄνθρωπος ἢ σῶμά ἐστιν, ἢ ψυχή, ἢ τὸ συναμφότερον· ἀλλὰ σῶμα μὲν οὐ δύναται εἶναι, διότι σῶμα μὲν οὐδέποτε ἄρχει τοῦ σώματος, ἐπεὶ καὶ ἑαυτοῦ ἄρξει καὶ ἐπιστρέψει πρὸς ἑαυτό· ἀλλ' οὔτε τὸ συναμφότερον ᾗ συναμφότερον, ἐπεὶ πάλιν ἐπειδὴ σώματος ἄρχει, ἑαυτοῦ ἄρχει τὸ σῶμα, καὶ ἐστὶ πάλιν σῶμα· λείπεται ἄρα τὴν ψυχὴν ἄνθρωπον εἶναι. Οὕτω προελθόντος τοῦ λόγου τινὲς λαμβάνονται αὐτοῦ, λέγοντες ὅσον ἐπὶ τούτῳ· ἐπειδὴ τὸ μελίκρατον ὕδωρ ἐστὶ καὶ μέλι, ἢ μέλι καὶ ὕδωρ· καὶ μέλι μὲν οὐκ ἔστιν· οὔδε[2] μὴν μέλι καὶ ὕδωρ, ὑπόλειπον[3] αὐτο ὕδωρ εἶναι[4]. Ἀλλὰ φαμέν, ὅτι τὰ μὲν ὑμῶν λήμματα ψευδῆ

(1) Edd. *Οὐκοῦν ἄρχουσα; Α. ναί. Σ. καὶ μὴν τόδε γε οἶμαι οὐδένα κ. τ. λ.* p. 130. a. Bekk. p. 360.

(2) Sic f. *οὔτε*.

(3) An *ὑπόλοιπον* aut *ὑπολεῖπον*?

(4) *Μελίκρατον* Olympiodorus suae aetatis significatu accipit, ut sit mel aquâ mixtum. Eustathius in Odyss. κ.519: *Μελίκρατον δὲ οἱ παλαιοὶ μίγμα φασὶ μέλιτος καὶ γάλακτος* (cf. Euripid. Orest. 115 ibiq. Scholiast.) *ἐνταῦθα. οἱ μέντοι μεθ' Ὅμηρον μέχρι καὶ ἐςάρτι κρᾶμα μέλιτος καὶ ὕδατος τὸ μελίκρατον οἴδασι* (cf. Beckmann. ad Aristotel. mirab. auscc. p. 52). Utitur autem gemina similitudine in hac ipsa *de anima et homine* doctrinâ Plotinus IV. 3. p. 391: *τῶν δὲ δὴ μαθήσεων πῶς τὸ κοινόν, ἀλλ' οὐχ ἡ ψυχὴ ἡ μνημονεύουσα ἔσται, εἰ δὲ τὸ ζῶον τὸ συναμφότερον οὕτως, ὡς ἕτερον ἐξ ἀμφοῖν εἶναι, πρῶτον μὲν ἄτοπον, μήτε σῶμα, μήτε ψυχήν, τὸ ζῶον λέγειν· οὐ γὰρ δὴ μεταβαλλόντων* (codd. Medicc. A. B. *μεταβαλόντων*) *ἀμφοτέρων ἕτερόν τι ἔσται τὸ ζῶον, οὐδ' αὖ κραθέντων, ὡς δυνάμει τὴν ψυχὴν ἐν τῷ ζώῳ εἶναι, ἐπεὶ καὶ οὕτως οὐδὲν ἧττον τῆς ψυχῆς τὸ μνημονεύειν ἔσται· ὥςπερ ἐν οἴνῳ μέλιτος κράσει, εἴτι γλυκάζει* (Vat. et Vindob. *γλυκάζοι*), *παρὰ τοῦ μέλιτος τοῦτο ἔσται.* Miror

εἰσὶν, διότι ἀμηγέπως [5] μέλι καὶ ὕδωρ, εἰ καὶ νενοθευμένον· τὰ δὲ τοῦ Πλάτωνος ἀληθῆ. Ὁ γὰρ ἄνθρωπος, οὐδὲ ὅλως σῶμά ἐστιν, εἴγε ὁ ἄνθρωπος τοῦ σώματος ἄρχει, οὐδέποτε δὲ τὸ σῶμα, ὡς εἴρηται, ἑαυτοῦ ἄρχει, οὔτε μὴν τὸ συναμφότερον· ἐπεὶ καθ' ὃ συναμφότερον ἄρχει τοῦ σώματος καὶ ἑαυτοῦ ἄρξει· ὥστε οὐχ ὅμοιόν ἐστι τὸ παράδειγμα. Ταῦτα προλαβὼν ὁρίζεται τὸν ἄνθρωπον ψυχὴν λογικὴν ὀργάνῳ χρωμένην τῷ σώματι. Καὶ, ἵνα μὴ περιλαμβάνῃ ὁ ὅρος καὶ τὰς οὐρανίας ψυχὰς, δεῖ προςθῆναι [6], τῷ εὐθυφορουμένῳ σώματι. Καὶ λαμβάνεται τούτων τῶν ἀποδείξεων, λέγων αὐτὰς παχυμερεῖς εἶναι, καὶ ταύτας διορισμοῦ δεομένας, διότι ὁρισμὸν ἐποίησαν τοῦ πολιτικοῦ ἀνθρώπου, οὐδέπου [7] δὲ τοῦ καθαρτικοῦ, ἢ τοῦ θεωρητικοῦ, ἢ τοῦ ἐνθουσιαστικοῦ· ἐκεῖνοι γὰρ οὐδὲ ὀργάνῳ χρῶνται τῷ σώματι. Παχυμερῶς οὖν ἐκάλεσε καὶ πολιτικὸν ἄνθρωπον ὡς πρὸς ἐκείνους.

Ταῦτα ἔχει ἡ θεωρία. — Οὐκ οὖν [8] ἄρχουσα; Διὰ τοῦ ῥητοῦ τούτου τὸ λῆμμα παραδίδωσιν, ὅτι ὁ ἄνθρωπος ἄρχει τοῦ σώματος, οὐ μόνον διὰ τοὺς ἐγκρατεῖς [9]· (μεμφόμεθα γὰρ αὐτοῖς·) οὐκ ἂν δὲ τοῦτο, εἰ ἐξ ἀνάγκης ἡμάρτανον. Ἆρα οὖν καὶ σῶμα αὐτὸ αὑτοῦ ἄρξει [10]; Οὐ γὰρ δυνα-

Fabricium, qui ad Sexti Empirici p. 586 haec: „ἀλλ' οὐχ ὁ οἰνόμελι πίνων" illa Plotiniana laudat, eadem intacta reliquisse. Lege cum Ficini codd. et Vaticano nostro ἐν οἰνομέλιτος κράσει. De re cf. Fabric. l. l. Hemsterhus. ad Luciani Prometh. 5 T. I. p. 214 Bip. Jacobs ad Antholog. Gr. VI. p. 51. Ego adjiciam festiuum locum Procli, unde intelligitur eandem similitudinem frequentatam esse a Porphyrio etiam in disputationibus super animâ mundi. Ita enim ille in Platonis Timaeum p. 218: ὁ μὲν οὖν Πορφύριος ἐπὶ τὰ αἰσθητὰ φερόμενος, καὶ ἐπὶ τὰς μίξεις τὰς ἐνύλας, τὸ μελίκρατον καὶ τὸ οἰνόμελι ἄνω καὶ κάτω θρύλλει. Et fortasse idem Porphyrius h. l. tangitur ab Olympiodoro.

(5) Usitatius erat scribere ἀμηγέπη vel ἀμωςγέπως. Vid. Tim. Lex. Platon. ibiq. Ruhnken p. 29 sq. Sed tamen Lexicon Gudian. in ἀμωςγέπως p. 50 in clausulâ adjicit οἱ δέ φασιν ἀμιγέπως. Scrib. ἀμηγέπως. Unde probabile fit hanc quoque formam postea invaluisse. (6) Scr. προςθεῖναι. (7) Scribendum videtur οὐδέπω.

(8) Scr. οὐκοῦν. (9) Corrige δ. τ. ἀκρατεῖς.

(10) Corr. ex Edd. p. 130. b. Ἆρ' οὖν σῶμα αὐτὸ αὑτοῦ ἄρχει; Quod sequitur vocabulum αὐτεπίστροφος non est in Lexicis. Sententia autem haec est: Fieri nequit, ut corpus sibi ipsum imperet; alioquin dicendum esset, posse corpus sua sponte ad se ipsum redire

τὸν σῶμα σώματος ἄρξαι, ἐπεὶ καὶ αὐτεπίστροφον ἔσται. Ἀλλ' ἄρα τὸ συναμφότερον. Οὐδὲ τὸ συναμφότερον, καθ' ὃ συναμφότερον, ἄρχει. Πάλιν γὰρ τὸ αὐτὸ ἄτοπον συμβήσεται καὶ τὸ σῶμα ἑαυτοῦ ἄρξει. — Ἔτι οὖν δεῖ σαφέστερον ἀποδειχθῆναι, ὅτι ἡ ψυχὴ ὁ ἄνθρωπος [11]. Ἐρωτᾷ αὐτὸν, ὅτι νομίζεις ἔτι ὀφείλειν σαφέστερον ἀποδειχθῆναι ὅτι ἡ ψυχὴ ὁ ἄνθρωπος, ἢ δεόμεθα ἀκριβεστέρων λόγων [12] δεῖξαι, ὅτι καὶ ὁ καθαρτικὸς καὶ ὁ θεωρητικὸς καὶ ὁ ἐνθουσιαστικὸς ἄνθρωπος ἡ ψυχή ἐστιν; ἢ ἀσύμμετρόν ἐστι τοῦτο πρὸν σέ; ὁ δὲ φησίν· ἱκανῶς ἔχει, ὡς ῥᾴθυμος. — Εἰ δέ γε μὴ ἀκριβῶς —. Ἰδοὺ καὶ αὐτὸς λαμβάνεται τῶν τοιούτων λόγων, καὶ ταῦτα ἐξ ὁρισμῶν προελθόντων, καὶ φησὶν αὐτοὺς παχυμερεῖς, παραβάλλων πρὸς τὸν ἐνθουσιαστικὸν καὶ τοὺς λοιπούς. — Ὃ ἄρτι οὕτω πως ἐῤῥήθη. — Πάλαι μὲν ἐκράτει ἡ ἐξήγησις τοῦ φιλοσόφου Πρόκλου, ὅτι αὐτὸ μὲν καλεῖ τὴν ψυχὴν, αὐτὸ δὲ τὸ αὐτὸ τὴν λογικήν [13]. Νῦν δὲ ἡ τοῦ φιλοσόφου Δαμασκίου, ὅτι αὐτὸ ἡ πολιτικὴ ψυχή· αὐτὸ δὲ τὸ αὐτὸ ἡ καθαρτικὴ καὶ ἡ θεωρητικὴ ψυχή. Φησὶ γὰρ, ὅτι νῦν παρήλθομεν, ἁπλῶς εἰπόντες αὐτὸ τὸ αὐτό. ἐπὶ τῆς πολιτικῆς ψυχῆς· τότε δὲ ἀκριβῶς εἰσόμεθα, ὅτι ὁ ἄνθρωπος ἡ ψυχὴ, καὶ τί κυρίως αὐτὸ τὸ αὐτὸ, ἀκριβολογησόμεθα. —

## Πρᾶξις σὺν θεῷ κϛ.

Φέρε δὴ, τίνα ἂν τρόπον αὐτὸ τὸ αὐτὸ καλεῖ; τὴν λογικὴν ψυχὴν, μὴ χρωμένην ὀργάνῳ τῷ σώματι, ἢ τὸ ἐν

i. e. ad se ipsum sua sponte attendere (weil man sonst dem Körper ein freithätiges in sich Zurückgehen—s. ein sich selbst bestimmendes Reflectiren beilegen müsste.)

(11) Edd. p. 130 c. p. 361 Bekk. ἔτι οὖν τι σαφέστερον δεῖ ἀποδ. σοι ὅτι ἡ ψυχή ἐστιν ἄνθρωπος; Nimirum τὶ insertum est recentioribus editionibus ex cod. Vindob. et quos alios Bekkerus fortasse adsentientes reperit. Assentitur certe Bodlej. Ceterum ad h. l. cf. Scholl. Platonicc. p. 82 Ruhnken. ad σαφέστερον, quod scholion non aliunde fluxit quam ex his commentariis.

(12) Fort. ὥστε aut πρὸς τὸ δεῖξαι.

(13) Adde aut subaudi ψυχήν.

σώματι ζῆν, οἷον τὸ καθαρτικὸν ἢ τὸ θεωρητικόν· αὐτὸ δὲ, τὴν λογικὴν ψυχὴν τὴν προςχρωμένην ὀργάνῳ τοῖς πάθεσι καὶ τῷ σώματι τουτέστι τὴν πολιτικὴν ψυχήν. Τοῦτο δὲ τὸ αὐτὸ καὶ αὐτὸ ἕκαστον καλεῖ, διὰ τὴν προςφῦσαν ἄτομον ζωὴν ἐκ τοῦ περὶ τὰ ἄτομα ἐνεργεῖν. Καὶ ἐπεὶ προθέμενος εὑρεῖν [1] αὐτὸ τὸ αὐτὸ, αὐτὸ ἕκαστον, ἐπισημαίνεται ἑξῆς, ὅτι οὐχ εὗρε τὸ προκείμενον, τάχα δὲ οὐδὲ αὐτὸ ἕκαστον εὑρίσκει, ἀλλ' αὐτὸ μόνον. Τίς γὰρ ὁ πολιτικὸς ἄνθρωπος, εὑρίσκει· ἀλλ' οὐ τίς Σωκράτης. Διὸ ὁ Πρόκλος ζητεῖ ὃ [2] οὐκ ἐν παρενθήκης μέρει [3] ἀλλὰ τὴν λέξιν ἐξηγούμενος, τίς ὁ κοινὸς ἄνθρωπος, καὶ τίς ὁ ἴδιος; Οὐ γὰρ κατορθοῖ ὁ περίπατος περὶ τὸν ἄτομον ἄνθρωπον, ἐκ συμβεβηκότων ποιῶν τὴν οὐσίαν [4]· καὶ τοῦτο καὶ ἡ λέξις ἐφεξῆς ἐπάγει λέγουσα, ἐὰν μὲν γὰρ εὕρωμεν τὸν κοινὸν ἄνθρωπον καὶ τὸν καθ' ἕκαστα, εὑρήσομεν τάχα, οὗ καὶ δεόμεθα· τούτου γὰρ καὶ ἐπιμελούμεθα. Περὶ γὰρ Σωκράτους καὶ Ἀλκιβιάδου ἦν ὁ λόγος· εἰ δὲ μὴ τὸ πρῶτον, οὐδὲ τὸ δεύτερον, ὅτι λογικῆς ψυχῆς ὁ λόγος καὶ ἐνέργεια καὶ ὄργανον, ὡς καὶ ἡ σφύρα τοῦ τέκτονος, καὶ ὁ ἄκμων τοῦ χαλκέως· ὡς καὶ ἡ λογικὴ πραγματεία τοῖς φιλοσόφοις, ὅτι καὶ τὸ ἀκούειν, τὸ δηλοῦν, τὸ ξυνιέναι λόγου, λογικῆς ἐστι ψυχῆς· ὅτι σμίλη μέν ἐστιν ἡ τὴν βάσιν εὐθεῖαν ἔχουσα, τομεὺς δὲ, ὅταν ἡ βάσις περιφερὴς ᾖ· τοιοῦτος γὰρ καὶ ὁ ἐν γεωμετρίᾳ τομεύς [5]· ὅτι καὶ ἡ σκυτικὴ τῆς λογικῆς, ἐπεὶ καὶ

(1) Scr. vid. εὗρεν. (2) F. ὁ.

(3) Vid. Budaei Comment. ling. gr. p. m. 639 sq. p. 516 sq. cf. Ernesti Lex. technol. gr. p. 249. Adde Zonar. L. gr. p. 1509 ubi παρενθήκη explicatur: περισσεία. Est h. l: qui non παρέργως, sive per excessum, (sive ultra quam opus est), sed ipsam orationem (sive verba) interpretaatur. De locutione ἐν μέρει cum genitivo vid. Viger. III. 7. 3 p. 108 et V. 11. 7. p. 296.

(4) Vid. p. 204. ibiq. Aristotel. et Porphyrium in hujus Categorias.

(5) Adde iis quae supra citavimus Galeni in r. Ἱπποκράτους γλωσσ. ἐξηγ. p. 717 Basil.; quae descripsit Phavorinus in τομεύς cf. Foes. Oecon. Hippocrat. p. 372 et Gorraei Definn. medic. p. 464. Platonis locum laudat Pollux X. 141, ubi vid. Jungermann. p. 1323 Hemsterh. Cui junge Schneideri annot. ad Xenophont. Hipparch. II. 3. p. 269. Unde intelligitur vocem varie usurpari, nunc de cultro chirurgorum nunc de cultro sutorum, nunc de forcipe fabrorum, verum etiam de eorundum instrumento alio. „Apud Geometras, dicit

πᾶσα τέχνη νοῦ ἀπήχημα. Καὶ πρῶτος τεχνίτης ὁ Ἥφαιστος, καὶ αἱ παρ' αὐτῷ φῦσαι τὴν φύσιν δηλοῦσιν [6]· — ὅτι κυρίως τὸ ἴσον [7]. Ἀλκιβιάδῃ μὲν ἀρκεῖ ὁ πολιτικὸς ἄνθρωπος, Σωκράτει δὲ οὐκ ἀρκεῖ· — ὅτι δὲ τὸ ζῶον ἐκ ψυχῆς καὶ σώματος, ἀλλ' ἐξ ἰνδάλματος ἀλόγου καὶ σώματος, ἀλλ' εἰ ἄρα μόνον τὸ φυτὸν ἐκ ψυχῆς καὶ σώματος· — ὅτι ὁ Πλάτων οὐδὲ τὸ σῶμα ἐξ ὕλης καὶ εἴδους βούλεται εἶναι, ἀλλ' εἶδος ἐν ὕλῃ· ὡς καὶ ὁ ἐν τῷ τόπῳ [8] ἄνθρωπος, καὶ ὁ ἐν τῷ πίνακι

Stephan. in Thes. III. p. 1396, „τομέα vocari aiunt resectam circuli „partem, duabus ad ambitum productis lineis.“ Haec Stepanus. — Psellus in Synopsi Geometriae p. 39 ed. Xylandr. τομεὺς δὲ κύκλου ἐστὶ καὶ αὐτὸς μέρος κύκλου ὑπό τε γωνίας πρὸς τῷ κέντρῳ συνισταμένης, καί τινος περιφερείας ὑπὸ τῶν τῆς γωνίας εὐθειῶν ἀπολαμβανομένης περιεχόμενος. Interpunctionem exegi ad codicem nostrum Palat. nr. 281, qui idem tamen post κύκλου ἐστὶ punctum habet nec jota subscriptum agnoscit. Xylander, qui ex eo codice librum edidit, ita vertit: „*Sector circuli* est et ipse circuli pars, angulo ad „centrum constituto et aliqua portione circumferentiae, quae sub „ejus anguli lineis comprehenditur, constans.“ cf. ejusdem annott. p. 151 sqq.

(6) Fluxerunt haec ex allegoricis explicationibus ὁπλοποιΐας Homericae Iliad. σ. 468 sqq. Heraclides Allegorr. Homerr. cap. 43 p. 144 sqq. Schow: ὅθεν γὰρ αἱ πρῶται τοῦ παντὸς ἔφυσαν ἀρχαί, καὶ τίς ὁ τούτων δημιουργός, καὶ πῶς ἕκαστα πληρωθέντα διεκρίθη, σαφέσι τεκμηρίοις παρέστησε, τὴν Ἀχιλλέως ἀσπίδα τῆς κοσμικῆς περιόδου χαλκευσάμενος εἰκόνα. et in seqq: — δημιουργόν, ἡνίκα ἔμελλε πάντα μορφοῦσθαι, τὸν Ἥφαιστον ἐπέστησε, τουτέστι, τὴν θερμὴν οὐσίαν. Quae iisdem propemodum verbis leguntur ap. Cornutum de N. Deorr. 19. p. 181 sqq. Eudoc. in Violet. p. 223 et in Scholl. Venett. ad Iliad l. l. In Tzetzae Exeg. in Iliadem p. 57 Hermanni haec leguntur de Vulcano: τὸ πῦρ (καλέσαντες) Ἥφαιστον, ὃ ἑρμηνεύεται μέγας, καὶ γεννήσεως καὶ αὐξήσεως αἴτιος. Mundi autem opifex et ignipotens Vulcanus cum alia instrumenta opificii habet tum *folles*. Quos ipsos oraculum prisco Sermone *ventos* (τὰς φύσας — τοὺς ἀνέμους) nuncupat (Herodot. I. 67. 68.) Juppiter in fabulosâ cosmogoniâ apud Etymolog. M. (in Ἰκόνιον p. 471 Sylb. p. 427 Lips.) quo spiritus vitalis recens effictis hominibus imperitiretur: τοὺς ἀνέμους ἐμφυσῆσαι ἐκέλευσε. In comicâ fabulâ cosmogonicâ apud Platonem in Symposio p. 192 p. 408 Bekker. Vulcanus homines dimidiatos ita alloquitur: ἐθέλω ὑμᾶς συντῆξαι καὶ συμφῦσαι εἰς τὸ αὐτό· ubi codd. Vindobb. duo et Bodlej. a primâ manu συμφυσῆσαι exhibent. — Haec sufficere arbitror, quo intelligatur, quomodo Vulcani, tamquam opificis mundani, folles φῦσαι a Graecis philosophis ad φύσιν, naturam, referri potuerint. Neque antiquitatem novit qui ejusdem severos verborum lusus ignorat.

(7) Lege τὸ ἴσως, respicit enim ad verba dialogi p. 130 d. νῦν δὲ ἀντὶ τοῦ αὐτοῦ αὐτὸ ἕκαστον ἐσκέμμεθα ὅ, τί ἐστι, καὶ ἴσως ἐξαρκέσει.

(8) Legendum videtur ὁ ἐν τῷ τύπῳ ἀνθρ.

Ἀχιλλεύς· σκιὰς γὰρ βούλεται τὰ τῆδε εἴδη τῶν εἰδεῶν [9], καὶ τὴν ὕλην ἐν ᾧ καλεῖ, οὐκ ἐξ οὗ· τὸ δὲ εἶδος, ὃ καὶ τὰ ἔκ τινων ὄντα, ἐκ ποιούντων καὶ πασχόντων ἐστὶν, ὡς τὸ μελίκρατον. Οὐδὲν δὲ πάσχει ὑπ' ἀλλήλων ὕλη καὶ εἶδος· ἐκ πολλοῦ ἄρα τοῦ περιόντος, οὗ οὐκ ἔστιν ὁ ἄνθρωπος παρὰ Πλάτωνι, ἐκ ψυχῆς καὶ σώματος. — Τί ποτε οὖν ὢ ἀν [10]: Ἰδοὺ τὸν μέσον ὅρον τοῦ πρώτου συλλογισμοῦ, ὁρισμὸν βούλεται εἶναι, ὡς καὶ ἀκριβῆ [11] τὸν συλλογισμὸν, οὐ μόνον ἐκ τῶν κατ' αὐτὸ, ἀλλὰ ἐκ τῶν μετ' αὐτό. Ἐκ γὰρ τῶν ὅρων ἀντιστρεφόντων, ὅτι ὁ ἄνθρωπός ἐστι κατὰ Πλάτωνα ψυχὴ χρωμένη σώματι εὐθυπόρῳ· τοῦτο γὰρ προςθετέον διὰ τὰς τῶν οὐρανίων ψυχάς· φυτικὴ δὲ καὶ ἄλογος οὐ παραληφθήσονται, ὡς προείρηται, διὰ τὸ μὴ μόνον ὀργάνῳ κεχρῆσθαι τῷ σώματι, ἀλλὰ καὶ ὑποκειμένῳ· ὅτι ἐσπουδασμένοι εἰσὶν οἱ λόγοι τῷ Πλάτωνι, οἱ δείξαντες τὸν ἄνθρωπον ψυχὴν ὄντα, ἢ τὴν ψυχὴν ἄνθρωπον οὖσαν. Ἀλλ' οὐκ ἐνδοιάζει περὶ αὐτοὺς καὶ πολιτικῷ σκοπῷ προφέρεται αὐτοὺς, τὸν Ἀλκιβιάδην ἐπιστρέψαι μόνον βουλόμενος. Δηλοῖ τὸ ἥκιστα πάντων διατατικὸν ὂν καὶ τὸ ἀποδειχθέν. — Ἔχε οὖν [12], ὅτι ὁ ἄνθρωπος ὀργάνῳ χρῆται τῷ σώματι, δείκνυσιν ἡ λέξις δι' ἐπαγωγῆς, εἰ ὁ Σωκράτης Ἀλκιβιάδῃ διαλέγεται, ὁ δὲ διαλεγόμενος λόγῳ χρῆται, ὁ δὲ λόγῳ χρώμενος ὀργάνῳ κέχρηται τῷ σώματι, εἰ ὁ σκυτοτόμος καὶ ὁ κιθαριστὴς ὀργάνῳ κέχρηνται τῷ σώματι. Καὶ γὰρ διῃρημένῳ, καὶ συμφυεῖ, καὶ μέρει, καὶ τῷ ὅλῳ σώματι. Τὴν δὲ μείζονα ἐναργῶς ἐκ διαιρέσεως δείκνυσιν, ὅτι ἐπειδὴ τὸ ὅλον τῷ μέρει κέχρηται διὰ τῆς αὐτῆς ἐπαγωγῆς δείκνυσιν, ὅτι τὸ χρώμενον ἕτερόν ἐστι τοῦ τῷ [13].. κέχρηται ὀργάνῳ. — —

(9) Scr. ἰδεῶν.

(10) Scrib. ex ed. Bekkeri p. 129. e. p. 360 τί ποτ' οὖν ἄνθρωπος; In cod. Bodl. non magis legitur ὁ ante ἀνθρ. De scriptione ἄνθρωπος vid. Buttmann. ausf. Griech. Sprachl. I. §. 29. Anm. 13. p. 120. In membro proxime antecedente aliquid excidisse videtur.

(11) Scr. vid. ἀκριβοῖ.

(12) Edd. p. 129 e. p. 360. Bekk. Ἔχεις μὲν οὖν.

(13) An ᾧ?

## Πρᾶξις σὺν θεῷ κζ.

Οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν [1]; Τὸ διαλέγεσθαι Σωκράτην Ἀλκιβιάδῃ καὶ προοίμιον ἐποιήσατο τῶν διαλεκτικῶν ἀγώνων, καὶ συμπέρασμα, διὰ τὸ μεθύειν τὰ ἐρωτικά. Πρέπει γὰρ τῷ ἔρωτι καὶ ἡ ἀποκατάστασις, ἐπιστροφῇ ὄντι [2] καὶ τὸ διαλέγεσθαι τὸν ἐραστὴν τῷ ἐρωμένῳ· ὄργανον γὰρ κοινωνίας ὁ λόγος. Τοῦτο δὲ τὸ διαλέγεσθαι πάλαι μὲν ἐνόει [3] τοῦτο, ἐπειδὴ Σωκράτης Ἀλκιβιάδῃ διαλέγεται, λόγῳ προςκέχρηται, καὶ διὰ τοῦτο ὄργανον ἔχει τὸ σῶμα. Νῦν δὲ τὸ αὐτὸ διαλέγεσθαι διάνοιαν ἔχει τοιαύτην· ἐπειδὴ Σωκράτης Ἀλκιβιάδῃ διαλέγεται, ψυχαὶ δὲ ἐδείχθησαν, αἱ ψυχαὶ διαλέγονται ἀλλήλαις, ἐφιέμεναι τῆς ἀλλήλων κοινωνίας. Καὶ ἔστι νῦν πόρισμα [4]· διὸ καθεὶς ἑαυτὸν εἰ [5] πόρισμα, καὶ ἄλλα τρία πορίσματα τούτῳ συνάπτει. Τῶν γὰρ ἐν τῷ διαλόγῳ τούτῳ τὰ μέν ἐστιν ὁ σκοπὸς, οἷον οἱ συλλογισμοὶ οἱ δεικνύντες, ὅτι ἡ ψυχή ἐσμέν· τὰ δὲ προηγεῖται τοῦ σκοποῦ, ὡς ἡ κάθαρσις τῆς β′ [6] ἀγνοίας, καὶ ἡ προτροπή· τὰ δὲ ἕπεται, ὡς τὰ νῦν πορίσματα. Δεύτερον πόρισμα, ὅτι οὐδεὶς τῶν καθ' ἕκαστα χειροτεχνῶν ἑαυτὸν οἶδεν. Καὶ ἀναφαίνεται ἐνταῦθα δόγμα Πλατωνικὸν, ὅτι οὐ βούλεται τῶν τεχνιτῶν εἶναι λόγους· εἰ γὰρ ἦσαν ἐν τῇ ψυχῇ, ἐγίνωσκεν ἑαυτὸν ὁ τεχνίτης. καὶ ὅτι ἐκείνων τῶν μαθημάτων φροντιστέον, ἃ μὴ περιγράφῃ τὸ χρήσιμον ἑαυτῶν μέχρι τοῦ τῇδε βίου, ἀλλὰ συμβάλλεται ἡμῖν καὶ μετὰ τὴν ἔξοδον. Προπαιδεία γὰρ τὰ τῇδε τοῦ ἐκεῖ βίου πολλαπλασίου ὄντος. Τρίτον πόρισμα· οὐδεὶς καθ' ἕκαστα τεχνίτης σώφρων ἐστὶν, ὡς μὴ γινώσκων ἑαυτόν. Ἀλλὰ πῶς

(1) Pag. 130 d. p. 362 Bekk.

(2) Videtur scribendum *ἐπιστρεφεῖ ὄντι*, nisi forte quid excidit. De *ἀποκαταστάσει* supra monui ad sect. 4 p. 37. Ad sententiam cf. Procli institut. theol. Sect. 158.

(3) Id est: hanc sententiam s. hunc sensum habebat. Sequitur continuo: *διάνοιαν ἔχει τοιαύτην*.

(4) Vide quae de hac voce supra posui ad Proclum in Alcib. I. 48 p. 139.

(5) An scr. *εἰς*? (6) i. e. *διπλῆς*. [Infra scr. *περιγράφει*.]

τὸ γινώσκειν ἑαυτὸν σωφροσύνης ἐστὶ, καὶ οὐ φρονήσεως; ἢ ὅτι σωφροσύνης ἡ ἐπιστροφή· περὶ γὰρ τὸ χείριστον ἔχουσα, καὶ μὴ ἔχουσα περαιτέρω καθελθεῖν [7], ἄνεισιν· ἢ διὰ τὸ ἐναντίον αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραί· ὅλως γὰρ τὸ γινώσκειν ἑαυτὸν πάσης ἀρετῆς. ἐστι γὰρ [8] σωφροσύνης διὰ τὴν ἐπιστροφὴν, ὡς εἴρηται, καὶ φρονήσεως, ἐπειδὴ διὰ γνώσεως ἡ ἐπιστροφή· καὶ ἀνδρίας, ἐπειδὴ μὴ ὑποκατακλίνεται ταῖς περὶ ἑαυτοῦ ζητήσεσι· καὶ δικαιοσύνης, ἐπειδὴ προςήκει, πρὸ τῶν ἄλλων, ἑαυτὸν εἰδέναι. Καὶ πῶς ἐν Παρμενίδῃ [9] διήλεγξεν ὁ Σωκράτης τὸν ὅρον τῆς σωφροσύνης τὸν λέγοντα, σωφροσύνην εἶναι τὴν ἑαυτοῦ γνῶσιν· ὅτι εἰ καὶ αὐτακολουθοῦσιν ἀλλήλαις αἱ ἀρεταὶ, ἀλλὰ τῇ ἰδιότητι διαφέρουσιν, οὐ γάρ εἰσι μία, ἀλλὰ πᾶσαι. Ἐν μὲν τῇ ἀνδρίᾳ εἰσὶν ἀνδρείως, ἐν ἄλλῃ δὲ σωφρονικῶς· ὡς καὶ πάντες οἱ θεοὶ ἐν μὲν τῷ Διΐ εἰσι διΐως, ἐν ἄλλῳ δὲ ἡραίως [10], οὐδεὶς γὰρ θεὸς ἀτελής. Καὶ ὡς Ἀναξαγόρας ἔλεγε, πάντα ἐν πᾶσιν, ἓν δὲ πλεονάζειν [11], οὕτω καὶ ἐπὶ τῶν θείων ἐροῦμεν. Πᾶσα γὰρ ἀρετὴ φρόνησίς ἐστιν, ὡς τὰ πρακτὰ εἰδυῖα· πᾶσα ἀνδρία, ὡς ἀγωνιζομένη· πᾶσα σωφροσύνη [12], ὡς ἐπὶ τὸ κρεῖττον ἐπανάγουσα· πᾶσα δικαιοσύνη, ἡ [13] τὰ προςήκοντα τοῖς πρακτοῖς ἀπονέμουσα.

(7) Scr. κατελθεῖν.

(8) Deesse aliquid videtur. Possis supplere: αἴτιον. Fortasse tamen nonnisi ἐστὶ repetendum, scribendumque πάσης ἀρετῆς ἐστιν. ἔστι γὰρ κ. τ. λ.

(9) Quae sequuntur non sunt in Platonis Parmenide, sunt in Charmide p. 164 d. p. 86 Hndf. p. 324 Bekker. ubi ita: σχεδὸν γάρ τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην, τὸ γιγνώσκειν ἑαυτόν, καὶ ξυμφέρομαι τῷ ἐν Δελφοῖς ἀναθέντι τὸ τοιοῦτον γράμμα κ. τ. λ. Igitur corrige in Olympiodoro: Καί πως ἐν Χαρμίδῃ. Quod mox legitur verbum αὐτακολουθέω non habent Lexica. Sed fortasse scribendum est ἀντακολουθοῦσιν, sicut Proclus in hunc dialogum usurpat: ἀντακολούθησις.

(10) Adverbia Διΐως et Ἡραίως non sunt in Lexicis, sed adjectiva Δῖος et Ἡραῖος.

(11) Fuit Anaxagorae sententia haec: Πάντα χρήματα ἦν ὁμοῦ, εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησεν. Vid. Diog. Laërt. II, 3, 6. ib. interprr. Plutarch. de placitis philosophorr. I. 3 p. 7 et I, 7 p. 22 ed. Beck. Cic. de N. D. I. 11 ibiq. Davis. et quos alios ibi laudavi p. 46.

(12) Vid. Scholl. in Plat. p. 82. Ruhnk. et cf. Platon. in Republ. IV. 8 p. 430 sq. de Legg. III. 13. p. 696 sq. Aristotel. Ethic. Nicom. VI. 5 p. 102 sqq. Sylb. Rhetor. I. 33. p. 33.

(13) Scr. ὡς.

Καὶ τῶν μὲν πολιτικῶν ἀρετῶν ἑκάστη ὑποκείμενον ἴδιον ἔχει· αἱ δὲ ὑπὲρ ταύτας πᾶσαι, ἐν τῷ λόγῳ εἰσίν. Ἀλλὰ πῶς οὐδεὶς τεχνίτης σώφρων; ἢ τριττὴ ἡ σωφροσύνη· πᾶσα μὲν γὰρ ἐπιστροφὴ ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον· καὶ ὅτε μὲν ὁ λόγος πρὸς ἑαυτὸν ἐπιστρέφει, ὡς ἐπιστρέφων, χείρων ἐστὶ τοῦ πρὸς ὃ ἐπιστρέφει· καὶ ἡ μὲν τοῦ ἀλόγου πρὸς τὸν λόγον ἐπιστροφὴ πολιτική ἐστι σωφροσύνη· καὶ μόνον τὴν σωφροσύνην ταύτην δύνανται ἔχειν καὶ οἱ καθ' ἕκαστα τεχνῖται καὶ οἱ πολιτικοί. Ἡ δὲ τοῦ λόγου πρὸς ἑαυτὸν, ἡ καθαρτικὴ σωφροσύνη, ἡ δὲ τοῦ λόγου πρὸς τὰ κρείττονα, ὡς ἡ θεωρητικὴ σωφροσύνη. Οἶδεν οὖν ὁ πολιτικὸς ἑαυτὸν κατὰ τὴν κοινὴν σωφροσύνην, τὴν ἀλόγου πρὸς λόγον, οὐ κατὰ τὴν καθαρτικὴν ἢ θεωρητικὴν σωφροσύνην. Τέταρτον πόρισμα. Οὐδεὶς τῶν ἄλλων ἐραστῶν Ἀλκιβιάδου ἐρᾷ, ἀλλά τινος τῶν Ἀλκιβιάδου, μόνος δὲ Σωκράτης Ἀλκιβιάδου ἐρᾷ, καὶ μόνος ἐστὶ κυρίως ἐραστής· ἐπειδὴ τέλος τοῦ ἔρωτος ἡ ἕνωσις, τὰ δὲ σώματα τόπῳ περιγράφεται, καὶ δι' ἀλλήλων οὐ χωρεῖ· αἱ δὲ ψυχαὶ δύνανται δι' ὁμοηθείας καὶ ὁμοζοΐας [14] διελθεῖν δι' ἀλλήλων. Καὶ γὰρ πρὸ τῆς ἐνταῦθα καθόδου πᾶσαι ἓν ἦσαν, ὡς καὶ πᾶσαι αἱ ἰδέαι ἕν εἰσι καὶ τὸ αὐτὸ ζῶον ποιοῦσι τῇ δϊΐξει, καὶ τὸν νοητὸν κόσμον πρὸ τοῦ αἰσθητοῦ, καὶ ὅτι ὁ ἔρως τοῦ καλοῦ ἐστιν, ὄντος [15] δὲ καλὸν τὸ ἐν ψυχῇ. Τὸ γὰρ σῶμα αἰσχρᾷ τῇ ὕλῃ ἐπινήχεται [16], ἐφ' οἷς τὸ τῆς ἐρωτικῆς τέλος γίνεται, ὁ ἀντέρως. Ἀντερᾷ γὰρ Ἀλκιβιάδης Σωκράτους καὶ ἐκλιπαρεῖ αὐτὸν μὴ ἀποστῆναι, καὶ ἐπαγγέλλεται Σωκράτης μὴ ἀφίστασθαι τοῦ ἐρᾶν, εἰ μὴ διαφθαρῇ ὑπὸ τοῦ δήμου· δεινὸς γὰρ διδάσκαλος ὁ δῆμος. Διότι ἐπαινῶν τοὺς ῥήτορας παρασκευάζει αὐτοὺς λόγους συντιθέναι ἀρέσκοντας τῷ δήμῳ,

(14) Vocabulum *ὁμοζωΐα* non habent Lexica neque, quod mox subsequitur, *δϊΐξις*.

(15) An scr. *ὄντως*?

(16) Herodian. VIII. 4. 11 — *ἅπερ ὄντα κοῖλα, δίκην νεῶν ἀλλήλοις συνδεθέντα, ἐπινήξεσθαι μὲν ἔμελλεν, ὥςπερ σκάφη, μὴ παρενεχθήσεσθαι δέ.* ubi vid. Irmisch. p. 987; qui idem de alio usu hujus verbi comparandus est p. 980. Alibi anima corpori, tanquam navigio *ἐποχεῖσθαι* dicitur. Vid. Wyttenbach. ad Plutarch. de S. N. V. p. 96 sq.

καὶ, ὡςπερ Ἑρμῆς Ὀδυσσεῖ, τῷ Ἀλκιβιάδῃ γίνεται ὁ Σωκράτης, ἰέναι πρὸς τὸν δῆμον ἀντὶ τῆς Κίρκης μέλλοντι, φάρμακον ἀλεξιτήριον τὸ κληθὲν μῶλυ δίδωσι [17]. Δίδωσι δὲ πρὸς τὸ μὴ θηριωθῆναι ὑπὸ τοῦ δήμου. Τὸ δὲ φάρμακον, μὴ ὅλον ὁμοῦ τὸν δῆμον θεάσασθαι, ἀλλὰ σκοπῆσαι τὰ ἐξ ὧν ὁ δῆμος· οὐ γὰρ ἀπο δρυὸς ἢ ἀπὸ πέτρης [18], τὴν γένεσιν ἔχει ὁ δῆμος, ἀλλ' ἐκ τῶν καθ' ἕκαστα. Εὑρήσεις γὰρ τοὺς μὲν γραφεῖς, τοὺς δὲ σκυτεῖς, τοὺς δὲ τέκτονας, καὶ ἐοίκασιν οἱ τὸν δῆμον καταπληττόμενοι τοῖς ἑνὸς μὲν κιβδήλου νομίσματος καταφρονοῦσι, πολλὰ δὲ ἅμα τοιαῦτα θαυμάζουσιν. Καίτοι μυρίαι ἀποφάσεις ἕνα συλλογισμὸν οὐ ποιοῦσι, τῆς μιᾶς ποιούσης. Καὶ οὐ δεῖ ἐθέλειν ὑπὸ πολλῶν κυνῶν ὑλακτεῖσθαι· καὶ μᾶλλον γὰρ συγκέχυται τὸ πλῆθος, ἢ ἕκαστον. Καὶ τὸ πλῆθος οὐκ ἐπιτήδειον, εἰ μὴ πρὸς τὴν διὰ χειρῶν βίαν. Οὕτω δὲ καὶ Σωκράτης Ἀλκιβιάδῃ πεποίηκε· περιαγαγὼν γὰρ αὐτὸν εἰς τὰ ἐργαστήρια, καθ' ἕκαστον ἐρώτα [19], εἰ ἀξιοῖ ὑπὸ τούτου ἐπαινεῖσθαι· τοῦ δὲ καθ' ἕκαστον ἀποφάσκοντος, ἐπήγαγεν· ἀλλὰ μὴν ὁ δῆμος ἐκ τούτων· καὶ καλεῖ τὸ φάρμακον οὐ μῶλυ, ἀλλὰ ἀπόδυσιν· ἀποδύει γὰρ ἀπ' αὐτοῦ τὸ πλῆθος, οἷον πολλοὺς χιτῶνας, οὕτω καὶ ὁ παρ' Ὁμήρῳ Ὀδυσσεὺς οὐ τὸ καινὸν ἅμα ἐθεάσατο, ἀλλ' ἕκαστον ἐπέδρακεν ὀφθαλμοῖσιν [20]. Δηλοῖ δὲ καὶ ἡ Κίρκη, ἐπειδὴ ταύτης ἐμνήσθημεν, τὸν ἔφορον τῆς αἰσθητικῆς ζωῆς. Διὸ καὶ ἡλίου θυγάτηρ [21], τοῦ ἡγεμονοῦντος ἐν τοῖς αἰσθητοῖς. Παρέχει δὲ αὐτῷ καὶ ἄλλο ἀλεξιφάρμακον· παραινεῖ γὰρ αὐτῷ ἐπιμελεῖ-

(17) Vid. Odyss. κ,305. et quos laudavi in Praeparat. ad Plotin. de Pulcr. p. LXXIV. quibus adde Cleanthem ap. Apollonium in Lex. Homer. p. 466 Toll. et Alexandrum Paphium aliosque ap. Eustath. ad h. l. p. 397 Basil. et Curt. Sprengelii Historiam Botanices vernacul. I. p. 37. 68. 145 ibiq. adject. tabul. colorat.

(18) Est locus Homericus Iliad. χ,126.

(19) Scr. ἠρώτα.

(20) Scrib. ἀλλ' ἕκαστον ἐςέδρακεν ὀφθαλμοῖσιν. Nam illud in sequentibus reperitur, ἕκαστον autem Olympiodori est, non Homeri. Vid. Odyss. ι. (IX) 146 et τ. 476.

(21) Vid. Odyss. κ,136. ib. Scholl. Hesiod. θ,957. Symbol. u. Mythol. IV, p. 27. p. 19. ed. alter. Praepar. ad Plotin. de pulcr. p. LXXIII. sqq. adde Proclum in Platonis Cratyl. §. 53 p. 25 sq. ed. Boissonad.

σθαι ἀρετῆς δι᾽ ἀσκήσεως καὶ μαθήσεως· καὶ ἡ μὲν ἄσκησις πρέπει τῷ ἀλόγῳ, ἡ δὲ μάθησις τῷ λόγῳ· ᾔδει γὰρ τὸν νέον ἐπτοημένον περὶ τὸν δῆμον. Μέχρι τούτων διαλεχθεὶς περὶ τὸ αὐτὸ, καὶ διδάξας τίς ὁ πολιτικὸς ἄνθρωπος, διαλέγεται ἐντεῦθεν καὶ περὶ τοῦ αὐτὸ τὸ αὐτὸ, τουτέστι τοῦ καθαρτικοῦ, καὶ φησὶν, ὅτι ὥςπερ εἰ προςέταττεν τῇ κόρῃ ὁ Πύθιος ἴδε σεαυτόν [22]. Καὶ οἰκεῖον τὸ προστάττον τῷ προςταττομένῳ· διότι ὥςπερ ὁ ἥλιος πηγὴ φωτὸς, οὕτω καὶ ἡ ὄψις ἡλιοειδὴς οὖσα, ἀναλογεῖ ἡλίῳ. Κακείνη πεισθεῖσα τῷ προστάττοντι ὡς οἰκείῳ ἡγεμόνι, καὶ μὴ δυναμένη εἰς ἑαυτὴν ἐπιστρέψαι, διὰ τὸ ἑτεροκίνητον, πάντως ἂν ἢ εἰς ἄλλην ἀφεώρα, ἢ εἰς κάτοπτρον, ἐξ οὗ δύναται ἑαυτὴν θεάσασθαι· οὕτω καὶ σὺ ἐπειδὴ ἐξετύφλωσας τὸ ἐν σοὶ αὐτοκίνητον, καὶ ἑτεροκινήτως ἐνεργεῖς, μὴ δυνάμενος εἰς ἑαυτὸν ἐπιστρέψαι, ἴδε εἰς τὴν ἐμὴν ψυχὴν καὶ γνώσῃ δι᾽ αὐτῆς καὶ τὴν σήν· ἀποβλέπων δὲ εἰς τὴν ἐμὴν εὑρήσεις ἐνόντα θεῖα ἀγάλματα [23], νοῦν γὰρ καὶ θεόν· καὶ διὰ μὲν τοῦ νοῦ καθαρτικῶς ἐνεργήσεις, διὰ δὲ τοῦ θεοῦ, θεωρητικῶς. Ἔτι γὰρ ἐν αὐτῇ ὁ κατὰ σχέσιν θέος, καὶ διὰ μὲν τῆς τοῦ νοῦ ἐλλάμψεως ἔχομεν τὰς κοινὰς ἐννοίας, διὰ δὲ τῆς τοῦ θεοῦ, τοὺς ἐνθουσιασμούς. Ἐβούλετο γὰρ, ὡς ἐρωτικὸς, μὴ καθ᾽ ἑαυτὸν ἀνάγεσθαι τὸν νέον, ἀλλὰ μεθ᾽ ἑαυτοῦ. Διὸ καὶ διὰ τῆς ἑαυτοῦ ψυχῆς ἐβούλετο αὐτὸν ἀνάγεσθαι, καὶ μὴ ἔχειν διεστραμμένον τὸ ἑαυτοῦ αὐτοκίνητον· ἀλλ᾽ ἐπειδὴ περὶ τῶν ἐν τοῖς κατόπτροις φαινομένων εἰδώλων γέγονεν ὁ λόγος, οὐ δεῖ οἰηθῆναι, καθὼς ὁ φιλόσοφος Πρόκλος οἴεται, τὸν Πλάτωνα δοξάζειν, ὅτι ἀνακλάσεις εἰσίν. Αὗται γὰρ περιπατητικαὶ καὶ μηχανικαί εἰσιν ἔννοιαι, τὸ λέγειν τὰς σκιὰς δι᾽ ἐπιπρόσθεσιν σώματος γίνεσθαι. Οὐ γὰρ οἴεται αὐτὰς ὁ

(22) Paulo aliter est in dialogo nostro p. 132. d. e. adde p. 133 a. Bekk. p. 366 sq. Accentum in ἴδε, si Olympiodori Graecitatem respexeris, vix mutaveris. Vid. ad Plotin. de pulcrit. p. 362. κόρη hoc loco et apud Platonem l. l. est pupilla oculi.

(23) Vid. Platon. Sympos. 33, 3. ib. Wolf. — p. 215. b. Bip. IX. — Bekk. II, 2. p. 452. Ad proxime antecedentia de luce et oculo nolo repetere quae congessi ad Plotin. de pulcrit. p. 375—378.

Πλάτων ἀμενηνὰς καὶ ἀσθενεῖς καὶ ἀδρανεῖς [24], ἀλλ' ὑποστάσεις βούλεται αὐτὰς εἶναι, διὰ γὰρ ἀποῤῥοιῶν γίνεσθαι ταύτας ἐκ τῶν αἰσθητῶν ἐξιούσας, οἷον ἐν τῷ ὀφθαλμῷ, καὶ πηγνυμένας ἐν τῷ κατόπτρῳ φαινομένας, ὡς πάλιν δι' ὁμοιότητος γίνεσθαι τὴν γνῶσιν· ἐοίκασι γὰρ αἱ ἀπόῤῥοιαι καὶ διὰ τὸ κρυσταλλοειδὲς, διὰ τῶν οἰκείων ἀποῤῥοιῶν, οἷον ἑαυτὸ ὁρᾷ ἐν τῷ κατόπτρῳ. Ὥςπερ γάρ φησιν ὁ φιλόσοφος Δαμάσκιος ὁ ἐν εἰκόνι ἑαυτὸν ὁρῶν, οὐ δι' ἀνακλάσεως ἑαυτὸν ὁρᾷ, οὔτε καὶ ἐν τῷ κατόπτρῳ, ἀλλὰ τὸ ἐκεῖ ἀπεικόνισμα τοῦ ὀφθαλμοῦ. Καὶ τοῦτο καὶ ἀλλαχοῦ βούλεται ὁ Πλάτων. Ἐν γὰρ τῷ Σοφιστῇ λέγει τὰς σκιὰς δαιμονίᾳ μηχανῇ γίνεσθαι [25], διὰ τὸ ὀξὺ τῆς πήξεως· πᾶν γὰρ τὸ ὀξὺ δαιμόνιον καλοῦσιν οἱ παλαιοὶ, διὰ τὸ δραστήριον τῶν δαιμόνων. Διὸ καὶ Ἀριστοτέλην δαιμόνιον καλοῦσιν, ὡς ὀξύτατον γενόμενον. Καὶ περὶ τοῦ Ὕλλου δὲ τοῦ ποταμοῦ ἱστοροῦσι, ὅτι εἴ τις ἐκ τοῦ ὕδατος αὐτοῦ ποτήριον πληρώσῃ εὐθὺς γεννᾶσθαι ἰχθῦς. Διὸ καὶ ὁ ποιητὴς κατ' ἐξαίρετον φησὶ τό· Ὕλλῳ ἐν ἰχθυόεντι [26], καίτοι καὶ ἄλλων ποταμῶν ἰχθῦς γεννώντων, ἀλλὰ διὰ

(24) Proclus in hunc dialogum cap. 58 p. 164 ed. nostr *Πᾶν γὰρ τὸ ἔνυλον ἀδρανές ἐστι καὶ ἀσθενές*, ubi leg. in notâ: „*ἀδρανὲς* segne, nervos non habens" et vid. ib laudd. Paululum differt *ἀμενής* sive *ἀμενηνός*, si quidem et ipsum explicatur: *ἀσθενές*. Hesych. I. p. 271 Alb. *Ἀμενηνά. ἀσθενῆ, κατὰ στέρησιν τῆς δυνάμεως· μένος γὰρ ἡ δύναμις. ἢ ἄψυχα.* Adde eundem in *ἀμενήνωσεν*, ubi Heliodorus *ἀμενηνά* in Homerico loco (Odyss. κ,521) explicat: *ἀδιανόητα*. Cf. Interprr. ad Hesych. ll. ll. Apollonii Lex. Hom. p. 104 sq. et p. 228 Tollii. Heynii Obss. ad Iliad. V. 887. In loco Odyss. τ, 562 pro *ἀμενηνῶν ὀνείρων* Suidas et Photius exhibent *ψευστάων*. vid. Porson ad eum locum. In Orionis Theb. Etymolog. p. 28 Larcheri emendatio firmatur auctoritate Zonarae in Lex. gr. p. 142. Haec ego propterea apposui, quo Olympiodorum abs Tautologiae suspicione, quam hic locus movere posset, vindicarem. Ceterum hinc nomina sua duxerunt bini dii Palici veterum Siculorum, quorum alter *Amenanus* dicitur, quod „*interdum suppressis fontibus* aret" (Ovid. Metamorph. V. 279. 280); *Adranus* alter; quasi *debilitatum* diceres (Plutarchi Timol. XII. p. 241. cf. Philippi Caroli Hess Observatt. criticae in Plutarchi Timol. p. 59 sq.) De quibus cum alibi disputaverim (ad Cicer. de N. D. III. 22. p. 601—603) verbum non addam.

(25) Vid. Platon in Sophist. p. 266. b. Bip. T. II. Bekk. II, 2. p. 236.

(26) Vid. Homer. Iliad. υ,392. ibiq. Heynii Obss. cf. Plin. H. N. V, 29, 31. p. 280 et quos ibi laudat Harduinus et Larcher. tabl.

τὸ ταχὺ τῆς πήξεως καὶ τῆς γενέσεως. Ὅτι δὲ τοῦτο ἀληθές ἐστι, κατασκευάζουσιν οἱ παλαιοὶ, τουτέστι τὸ εἶναι ὑποστάσεις τὰς σκιάς· πρῶτον μὲν ὅτι, εἰ κυνὸς καθεύδοντος ἐν ὑψηλῷ τόπῳ ἡ σκιὰ αὐτοῦ ἐκπέμποιτο [27] εἰς τὴν γῆν, ὕαινα διελθοῦσα καὶ πατήσασα τὴν σκιὰν, καταπεσεῖν ποιεῖ τὸν κύνα [28]. Δῆλον ἆρα, ὅτι οὐκ εἰσιν ἐμφάσεις, ἀλλὰ ἀπόῤῥοιαι. Δεύτερον, ὅτι αἱ καθαιρόμεναι γυναῖκες τὴν ἐπιμήνιον φορὰν, εἰ ἴδοιεν εἰς κατόπτρον, εὐθέως αὐτὸ κυλινδοῦσιν [29], ὥστε σαφὲς ἐξ ἀποῤῥοίας αὐτῶν τοῦτο γίνεσθαι.

geogr. Herodot. p. 262. E quibus tamen nemo illam fabulam attigit.

(27) Sic ex corr.

(28) Quae multa plane fabulosa de hyaenâ narrantur non attinet recolere. Vid. modo quae congessere Salmasius in Exercitt. Plinn. p. 238 p. 765 sq. et Bochartus in Hierozoïco p. 831 sqq. Celebratum quoque ejus bestiae odium in canes. Jesus Syracid. XIII. 18: *Τίς εἰρήνη ὑαίνῃ πρὸς κύνα;* Quae fama etiam ad Patres ecclesiae prodita. Tributa ei belluae passim vis magica est. Plinius, H. N. VIII. 30, ,,umbrae ejus contactu canes obmutescere" tradit. Gemina leguntur in Aristotelis, qui fertur, mirabill. auscultt. cap. 157. p. 523 sq. Beckmann. Aelian. H. A. III. 7. p. 80 et VI. 14 p. 184 Schneid. Solin. Polyhist. p. 37 Salmas. Michael. Phil. 49. vs. 5 sqq. Nihil tamen aeque convenit Olympiodoreo loco atque haec bina Graeci itemque Arabici scriptoris: Geoponicc: XV. 1. *Ὕαινα, φυσικῷ τινι λόγῳ, τῇ ἀπὸ σελήνης νυκτερινῇ σκιᾷ τοῦ κυνὸς ἐπιβᾶσα, ὥςπερ διὰ σχοινοῦ ἀπὸ ὕψους κατάγει ἑαυτήν.* Damir Arabs apud. Bochart. l. l. ,,Cum ad lunam calcat (hyaena quae ,,Arabibus dicitur Dsabuon) umbram canis qui supra tectum est, ,,canis ad eam decidit et ea illum devorat." Miror Niclasium, qui haec in suum usum convertit ad Geopon. l. l. p. 1040, nil vitii suspicatum esse, quod Geoponicorum textum obscurat. Nunc prorsus neminem, qui Olympiodorea contulerit, ambigere arbitror, quin corrigendum sit: *νυκτ. σκιᾷ τῆς κυνὸς — κατάγει αὐτήν.* sc. *τὴν κύνα.* [Mox. scr. *ἄρα* ut saepius.]

(29) Aelian de Natur. Animal. VI. 36. p. 198 Schneid. simili constructione ita: *γυνὴ τὴν ἐπιμήνιον κάθαρσιν καθαιρομένη εἰ διέλθοι* Pro eo Noster menstrua feminarum designat per *ἐπιμήνιον φοράν* i. e. menstruum profluvium. Proxima vitiosa esse, nemo sanus dubitaverit. Plinius medicinam offert; qui in Hist. Nat. VII. 16. 13 p. 382 Hard.: ,,Sed nihil facile reperiatur mulierum profluvio magis monstrificum. Acescunt superventu musta, sterilescunt tactae fruges, moriuntur insita, exuruntur hortorum germina ,,et fructus arborum, quibus insedere, decidunt: *speculorum fulgor* ,,*adspectu ipso hebetatur*, acies ferri praestingitur eborisque nitor ,,cet." Idem lib. XXVIII. 7. 23. p. 458. ,,Aciem in cultris tonsorum hebetescere, aes contactum grave virus odoris accipere ,,et *aeruginem*. — ,,Bythus Dyrrachenus *hebetata adspectu spe-*

Ταῦτα ἔχει ἡ θεωρία: Εὖ γε ποιῶν, ὦ Σώκρατες [30]. — Ἰδοὺ πῶς ἐκλιπαρεῖ αὐτὸν μεῖναι, δι' οὗ δηλοῦται ὁ ἀντέρως, τοῦτο γὰρ τέλος τοῦ ἐρωτικοῦ, τὸ ἀντερᾶσθαι ὑπὸ τῶν παιδικῶν, καὶ μεταβάλλειν τὸ σχῆμα τοῦ ἔρωτος, ὡς τὸν μὲν πάλαι ἐρῶντα ἐρώμενον ποιῆσαι, τὸν δὲ πάλαι ἐρώμενον ἐραστήν. — Προθυμοῦ τοίνυν ὅτι κάλλιστος εἶναι· τουτέστιν, εἰ βούλει με μὴ ἀποστῆναι, ἔσο [31] κάλλιστος· ὡς γὰρ ἐρωτικὸς οὐκ ἀνέχεται εὐτελοῦς ἐρᾷν. Ὁ γὰρ ἔρως, ὡς ἐῤῥωμένως [32] ὢν, διὸ καὶ οὕτως ὠνόμασται [33], καὶ ὡς ἡρωϊκὸς ὢν, εὐτελοῦς πράγματος οὐκ ἀνέχεται, ἀλλ' ὑψηλὸν βούλεται εἶναι τὸν ἐρώμενον. — Ὡς οὕτω γέ σοι ἔχει· οὔτε ἐγένετο, ὡς [34] ἔοικεν. — Φησὶν, ὅτι βούλομαί σε κάλλιστον εἶναι, οὐ γὰρ ἐγένετό τις ἐρῶν Ἀλκιβιάδου εἰ μὴ μόνος Σωκράτης. Τί δὲ ἄρα ἐστὶν, ἀλλ' ἢ εἷς μόνος, καὶ οὗτος ἀγαπητός· δοκεῖ γὰρ ἀδιανόητον εἶναι τοῦτο· εἰ γὰρ εἷς, καὶ ἀγαπητός. Ἢ οὕτω δεῖ ἀκούειν τοῦ λόγου· ὅτι εἷς σου γέγονεν ἐραστὴς καὶ οὗτος ὁ ἀγαπητός· λείπει γὰρ τὸ ἄρθρον [35]. Σωκράτης ὁ Φαιναρέτης τῆς μαίας ὁ υἱὸς, καὶ Σωφρονίσκου τοῦ λιθοξόου [36] ὥστε οὐκ ὠφέλησεν οὐδὲ τὸν Ἀλκιβιάδην ἡ εὐγένεια· ἦν γὰρ Ἀλκμαιωνίδης καὶ Αἰακίδης·

„*cula* recipere nitorem tradit, iisdem aversa rursus contuentibus: „omnemque vim talem resolvi, si mullum piscem secum habeant.“ Proinde corrige in Olymp. *κηλιδοῦσι*, adspectu suo speculum *commaculant* (s. fulgorem ejus inficiunt).

(30) Pag. 131 d. ubi Cod. Bodl. proxime *καὶ μὴ ἀπέλθοις*.

(31) De hac imperativi forma poetis epicis et dialecto Doricae propria v Buttm. Ausf. Grch. Sprachl. I. §. 108 p. 548. Matth. Gr. Gr. §. 211. not. 2. Apollonii Lex. Homer. p. 305 Toll. ubi explicatur: *γίνου* (in Homer. Odyss. α.303. γ.200.)

(32) Scr. vid. *ἐῤῥωμένος*.

(33) Vid. Etymol. M. p. 379, 40. (343 sq. Ed. Lips.)

(34) Cod. Bodl. *οὔτ' ἐγενεθ' ὡς*. Edd. *οὔτ' ἐγένετο ὡς*.

(35) Buttmannus recte admonet Homerici versiculi Odyss. (hoc enim voluit non Iliad.) p. 365. *μοῦνος ἐὼν ἀγαπητός*, de Telemacho, filio unico. Quod Articulum deesse dicit Olympiodorus: in verbis Evang. Marci XII. 6: *Ἔτι οὖν ἕνα υἱὸν ἔχων, ἀγαπητὸν αὐτοῦ* aliquot codd. ap. Griesbach. offerunt: *τὸν ἀγ. αὐτ.* Croesus apud Herodot. I. 38: *εἷς γάρ μοι μοῦνος τυγχάνεις ἐὼν παῖς*. Ita libri optimi; alii *ἡ γάρ*.

(36) Edd. p. 131. e: *Σωκράτης ὁ Σωφρονίσκου καὶ Φαιναρέτης*. Igitur illa altera sunt potius Olympiodori quam Platonis.

οὔτε κατέβλαψε τὸν Σωκράτην πρὸς σοφίαν ἡ δυσγένεια. Τὸ δὲ οὕτω γέ σοι ἔχει, τουτέστιν οὕτως ἔχει τὰ πράγματα· οὐκοῦν ἔφησθα σμικρὸν φθῆναί με, ἔφθης διηλεγμένος, ἐπεὶ ἐγὼ ἐβουλόμην σε ἔρεσθαι, διατί οὐκ ἀπαλλάττῃ μου, καὶ φησίν· ὅτι τοῦτο μόνον αἴτιον τοῦ μὴ ἀπαλλάττεσθαί με τὸ μόνον εἶναί με ἐραστὴν σόν. Διὸ ἐκεῖνοι μὲν ἀνθοῦντος τοῦ σώματος παρῆσαν, ἐγὼ δὲ τούτου μὲν ἀπανθοῦντος, τῆς δὲ ψυχῆς πάρειμι. Καὶ νῦν φησί· καὶ ἀεὶ εἰ [37] μὴ διαφθαρῇς ὑπὸ τοῦ Ἀθηναίων δήμου· — ᾔδει γὰρ αὐτὸν φιλόδημον ὄντα, οὐ μή σε ἀπολείπω. Οἷον γάρ ἐστιν, ὅτι ἑνὸς ἑκάστου καταφρονοῦμεν, τὸν δὲ πολὺν ὄχλον περὶ πολλοῦ ποιούμεθα, καίτοι μία μὲν ἀπόφασις συλλογισμὸν ποιεῖ, πολλαὶ δὲ οὐ ποιοῦσιν. Ἔοικε γὰρ τὸ πλῆθος ἀποφάσει συναγούσῃ εἰς μίαν σύγχυσιν τὰ πράγματα. Οὕτω γὰρ καὶ τὸ πλῆθος συγχύσεως αἴτιον· πολλοὶ γὰρ ἤδη καὶ ἀγαθοὶ [38] αὐτὸ πεπόνθασιν. — Εἰ ἀγαθοί, πῶς δήμου ἐρασταὶ γεγόνασι καὶ διεφθάρησαν; ἢ κατὰ τὴν ἕξιν μόνον ἦσαν ἀγαθοί· εὐπρόσωπος γὰρ ὁ τοῦ μεγαλήτορος δῆμος [39]. Παρῳδεῖ τὸ ἔπος, δῆμος Ἐρεχθῆος, μεγαλήτορος· Ἀλλὰ δεῖ αὐτὸν ἀποδύντα τὸ πλῆθος θεάσασθαι. Καὶ ἰδοὺ τὸ ὄνομα τοῦ Σωκρατικοῦ μώλυος ἀπόδυσις· οὕτω καὶ Ὀδυσσεύς· αὐτὰρ ἕκαστον ἐσέδρακεν ὀφθαλμοῖσιν [40]. Τὸ δὲ εὐπρόσωπος ἐπὶ ὅλου, ὡς ὅλου, εἴρηται, ἐπεὶ ἕκαστος αὐτῶν εὐτελής: Γύμνασαι [41] πρῶτον, ὦ μα-

(37) Edd. p. 132. a. *Καὶ νῦν γε, ἂν μὴ διαφθαρῇς*. Proxime cod. Bodl. offert: *ἀπολίπω*, quod placuerat Buttmanno, recepit Bekkerus et firmat cod. Vindob.

(38) Ita etiam cod. Bodl; *κἀγαθοὶ* Edd. Idem codex proxime: *δήμ' ἐραστης ἡμῖν γεν.*

(39) Add. *Ἐρεχθέως* ex Edd. et vid. Iliad. *β*. 547 et Schol. in Platon. p. 82. Ruhnk. Ceterum Interprr. et ab iis laudatum Athenaeum XI. p. 506 d. (p. 383 Schwgh.)

(40) Vid. p. 216 ibiq. annot.

(41) „Ficinus vertens: *exue illum* legit *γύμνωσον αὐτόν*, „idque retulit ad *δῆμον εὐπρόσωπον*. Similis locus est in Charmida „Tom. V. p. 109 Bip. [p. 154 d Steph.] *Οὗτος μέντοι — εἰ ἐθέλοι* „*ἀποδῦναι, δόξει σοι ἀπρόσωπος εἶναι.*“ Faehse in Sylloge Lectt. graecc. p. 373. — Verum nullus, quod sciam, codicum, quos Bekkerus V. C. nuper multos adhibuit, neque Bodlejanus ei rationi adstipu-

κάρις, καὶ μάθε —. Ἰδοὺ ἄλλου [42] ἀλεξιφάρμακον δίδωσι, τὴν ἄσκησιν καὶ τὴν μάθησιν τῆς ἀρετῆς· ἀλλὰ πειρῶ ἐξηγεῖσθαι —. Ἰδοὺ πάλιν σημεῖον τοῦ ἀντέρωτος, λιπαρεῖ γὰρ αὐτὸν διδάξαι· τὸ δὲ ἡμῶν αὐτῶν δηλοῖ διὰ τοῦ διπλασιασμοῦ· τὸ αὐτὸ τὸ αὐτὸ [43] τὸν καθαρτικὸν βίον καὶ τὸν θεωρητικόν· μέχρι γὰρ τῶν ἐνταῦθα ὁ πολιτικὸς βίος. Ἀλλ' εἰ ἠθικὸς ὁ σκοπὸς τοῦ διαλόγου, πῶς διαλέγεται περὶ τοῦ καθαρτικοῦ καὶ θεωρητικοῦ βίου; (ἐντεῦθεν γὰρ οἱ περὶ αὐτοῦ λόγοι·) ἢ κατὰ μὲν τὸν φιλόσοφον Πρόκλον ἠθικός ἐστιν ὁ σκοπός· αὐτὸ μὲν γὰρ ἀκούει τὴν τριμέρειαν· αὐτὸ δὲ τὸ αὐτὸ τὴν λογικὴν ψυχὴν ὀργάνῳ χρωμένην τῷ σώματι. Κατὰ δὲ τὸν φιλόσοφον Δαμάσκιον καὶ πολιτικὸν σκοπὸν ἔχει καὶ καθαρτικὸν καὶ θεωρητικόν. Διότι αὐτὸ ἀκούει τὴν λογικὴν ψυχὴν ὀργάνῳ χρωμένην τῷ σώματι· αὐτὸ δὲ τὸ αὐτό, τὴν ἄνευ ὀργάνου [44]. — Ὃ γὰρ ἐσμέν, ἐπιεικῶς ὡμολόγηται [45]. Ἰδοῦ φησὶ πεπέρανται τὸ γνῶναι ἡμᾶς πολιτικῶς ἑαυτούς· τοῦτο γὰρ δηλοῖ διὰ τὸ ἐπιεικῶς τὸν πολιτικὸν βίον. Τὸ δὲ ἔστι ταῦτα διὰ τοῦ πληθυντικοῦ τὸ αὐτὸ τὸ αὐτὸ ἐδήλωσεν, ὅτι ψυχῆς ἐπιμελητέον, καὶ εἰς τοῦτο βλεπτέον [46]. — Ψυχῆς οὖν φροντίδα ποιητέον, φησίν, ἀλλ' οὐ τοῦ πρώτου κτήματος, οἷον τοῦ σώματος, ἢ τοῦ δευτέρου, οἷον τῶν χρημάτων· ἐπεὶ πάλιν πολιτικῶν ἑαυ-

latur; et vero Olympiodorus in suis membranis reperit γύμνασαι. Deinde ipsa loci sententia vulgatae favet. Exponitur enim quomodo *sibi ipse* consulere debeat Alcibiades, quo se tutum praestet a Veneribus formosi popelli, et subjicitur continuo: καὶ μάθε ἃ δεῖ μαθεῖν. Denique, *exuendum* s. *nudandum* esse populum proxime continetur in his: ἀλλ' ἀποδύντα χρὴ αὐτὸν θεάσασθαι (ubi Athenaeus l. l. exhibet ἀποδύντας. sed Ep. mscr. ἀποδύντα). Atque cum his extremis comparanda erant verba in Charmide, neque vero cum illis.

(42) Scrib. ἄλλο.

(43) Vid. dialog. nostr. p. 129. a. Bekk. p. 358.

(44) Cf. quae p. 201 sqq. in eam sententiam copiosius disputata sunt.

(45) Edd. p. 132. b. *Οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τὸ πρόσθε πεπέρανται· ὃ γὰρ ἐσμεν, ἐπιεικῶς ὡμολόγηται.*

(46) Edd: *Καὶ μετὰ τοῦτο, ὅτι ψυχῆς ἐπιμελητέον, καὶ εἰς τοῦτο βλεπτέον.* Cod. Bodl: *Καὶ μετὰ τοῦτο ἤδη τῆς ψυχῆς κτλ.* Atque ita Bekker. praeterquam quod *τοῦτ' ἤδη* dedit.

τὰ [47] εἰσόμεθα, νῦν δὲ καθαρτικῶς καὶ θεωρητικῶς βουλόμεθα ἑαυτοὺς γνῶναι. Τίνα οὖν τρόπον [48] ἂν γνοίημεν αὐτὰ ἐναργέστατα; Οἰκεῖον τὸ ἐναργέστατα τῷ γνῶθι σαυτόν, ἡλίῳ ὄντι, ὃς ἔφορος τῆς ἐναργείας. Πάλιν δὲ φησὶν ἡμᾶς αὐτοὺς ἐφεξῆς διὰ τοῦ ἀναδιπλασιασμοῦ, τὸ αὐτὸ [49] δηλῶν. — Κινδυνεύει γὰρ οὐδὲ πολλαχοῦ εἶναι παραδείγματα αὐτῆς [50] —· τουτέστιν, οὐκ ἔστιν οἰκειότερον παράδειγμά τι ὄψεως, διὸ [51] τὸ καὶ αὐτὴν ἡλιοειδῆ εἶναι, καὶ οἰκείαν τῷ προςτάξαντι. — Εἰς τὰ [52] κάτοπτρά τε καὶ τὰ τοιαῦτα. — Διὰ μὲν τῶν κατόπτρων ἐδήλωσε τὰ τεχνητὰ κάτοπτρα· διὰ δὲ τοῦ καὶ τὰ τοιαῦτα τὰ φυσικά, οἷον ὑαλοκέρας [53]. Ἰστέον δὲ ὅτι κόρη λέγεται ἢ διὰ τὸ πλησιάζειν τῷ Κρυσταλλοειδεῖ, καθαρῷ ὄντι· τοιαύτη δὲ καὶ ἡ κόρη, ἠΐθεος οὖσα [54]· ἢ διὰ τὸ πεφυλάχθαι πολλοῖς χιτῶσι καθάπερ καὶ ἡ κόρη [55].

(47) Scr. ἑαυτούς.
(48) Edd. p. 132, c.: *Τίν' οὖν ἂν τρόπον κτλ.*
(49) Scr. τὸ αὐτὸ τὸ αὐτό.
(50) Edd. p. 132 d. παράδειγμα αὐτοῦ.
(51) F. διά. (52) Abest τὰ ab Edd. p. 132 e.
(53) Specula veterum pleraque ex aere argentove facta fuisse constat. Vide Salmasii Exercitt. Plinn. p. 770—773 ibidemque de ὑάλῳ veterum. Cf. etiam Eclogas physicas Schneideri p. 150 sq. Ὕαλος antiquorum hominum ut plurimum ad res naturâ genitas pertinebat, sive e succino (electro) sive ex sale fossili sive e lapide sumta esset. De cornu putidum sit demonstrare velle. Nam Olympiodorei codicis Hamburg. lectionem nihili esse et res ipsa docet, et vero Scholl. in Plat. p. 82. Ruhnk. ubi est: κάτοπτρα τὰ φυσικά, οἷον ὕαλον, ἢ κέρας. Tertullianus de animâ cap. 53 p. 305 Rigalt. „Si enim corpus istud Platonicâ sententiâ carcer, ceterum Apo„stolicâ Dei templum, cum in Christo est; sed interim animam „consepto suo obstruit, et obscurat, et concretione carnis infae„cat; *unde illi velut per corneum specular obsoletior lux rerum* „*est* cet; ubi cf. Rigaltium. Nam antiquitus cornu ad specularica „et similia instrumenta adhibitum est.
(54) Vid. Ruhnk. ad Timaei Lex. Plat. p. 132. sq. et p. 166. Lexicon rhetor. p. 272 in Bekkeri Vol. I. Anecdd. Cicero de N. D. II. 57 ibique interprr. p. 449. 769 ed. nostr. Adde Etymolog. Gud. p. 338. ubi et de virgine et de pupilla (s. pupula) binaeque exhibentur etymologiae, quarum altera convenit his Procli in Theolog. Platon. p. 382: ἐπεὶ καὶ τὴν δέσποιναν ἡμῶν Κόρην οὐκ ἀλλαχόθεν ὠνομάσθαι φαίης ἄν, ἢ ἐκ τῆς καθαρότητος καὶ ἀχράντου ζωῆς. Gemina idem profert in Scholl. ad Platonis Cratylum p. 100 ed. Boissonad.
(55) Qui calumniari velit, possit Olympiodoro haec objicere: **Veneris expertes et** ἀφθόρους **potius** *investes* dici apud veteres

## Πρᾶξις σὺν θεῷ κη.

*Τὸ δὲ γινώσκειν ἑαυτὸν ὁμολογοῦμενος*[1]. Ἐπειδὴ ἔγνωμεν ἑαυτούς, καὶ πολιτικῶς γνόντες, ὅτι ψυχή ἐστιν ὁ ἄνθρωπος, ὀργάνῳ χρώμενη τῷ σώματι· καὶ καθαρτικῶς γνόντες, ὅτι ψυχή ἐστι λογική, μὴ προςχρωμένη ὀργάνῳ τῷ σώματι, ἀλλ' ἐπιστρέφουσα πρὸς ἑαυτήν· καὶ θεωρητικῶς γνόντες, ψυχὴν λογικὴν ὄντα τὸν ἄνθρωπον, μηδὲ ὡς ὀργάνῳ χρωμένην τῷ σώματι ἐπιστρέφουσα[2] πρὸς τὰ κρείττονα, ἐξαίρει τὸ γινώσκειν ἑαυτόν, λέγων, ὅτι μὴ γινώσκων ἑαυτὸν οὐκ ἐστι πολιτικός. Τοῦτο δέ φησι, διότι ὁ Ἀλκιβιάδης ἐφρόντιζε τοῦ πολιτικὸς εἶναι· ἑώρα γὰρ αὐτὸν ᾄττοντα ἐπὶ τὰ τῆς πόλεως πράγματα. Καὶ οὐ μόνον πολιτικὸς οὐκ ἐστιν, ἀλλὰ καὶ ἄθλιος, ὡς ἁμαρτάνων, καὶ μᾶλλον ἄθλιος εἰ δύναμιν προςλάβοι, καὶ οὐ μόνον ἄθλιος, ἀλλὰ καὶ ἀθλιοποιὸς[3], διότι ἑτέρων προέστηκε, καὶ μάλιστα ἀθλιοποιὸς, εἰ δύναμιν αὐτοῖς περιποιήσεται, οἷον νεώρια, καὶ λιμένας καὶ τείχη, καὶ πρόςοδον. Ταῦτα δὲ λέγει αἰνιττόμενος εἰς Περικλέα τὸ τεῖχος κτίζαντα[4] τοῦ Πειραιῶς[5], καὶ Θεμιστοκλέα τὰς τριήρεις κατασκευάσαντα διὰ τὸν χρησμόν· *Τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς*[6]. Καὶ κατασκευάζει τρία

scriptores i. e. non vestitos. Sed tamen primum ea appellatio proprie in viris (s. maribus) usurpatur, deinde eadem prorsus aliam causam habet: Festus p. 590 Dacerii. „*Vesticeps puer*, qui jam „*vestitus est pubertate:* et contra investis est, qui necdum puber„tate vestitus est.“ Cf. ibid. *impubes* p. 391 et utrobique interprr. cf. Tertullian. de velandis virginn. cap. 8. „Si virgo mulier non est, nec vir investis est:“ ubi sequentia tamen Olympiodori decreto non favent. Verum cogitandi in Olympiodori loco sunt mores veterum Graecorum, imprimis Atheniensium. De voce *ἄφθερος* et *investis* adde Ruhnken. ad. Tim. p. 133.

(1) Corr. ex Edd. *ὁμολογοῦμεν* (*σωφροσύνην εἶναι*) p. 133 c. Bekk. p. 368.

(2) Scrib. vid. *ἐπιστρέφουσαν*.

(3) Vocabulum *ἀθλιοποιός* non est in Lexicis.

(4) Leg. *κτίσαντα*.

(5) Vid. Plin. H. N. IV. Sect. XI. p. 197. Hard. cf. quos idem laudat p. 233. n. XXXI. Steph. Byz. p. 633 Berkel. Nepos in Themistocle cap. 6 ibiq. interprr. Pausan Atticor. cap. 1. p. 3 Kuhn.

(6) Integrum videsis oraculum apud Herodot. VII, 141 ib. Valken. et Wesseling. cf. supra *πραξ.* 7. p. 65.

τινά· ὅτι ὁ ἀγνοῶν ἑαυτὸν καὶ τὰ ἑαυτοῦ ἀγνοεῖ· καὶ πῶς ἐλέγομεν ἀνωτέρω, τὸν ἰατρὸν εἰδέναι μὲν τὰ ἑαυτοῦ, ἀγνοεῖν δὲ ἑαυτόν, ὁμοίως καὶ τὸν χρηματιστήν· ἢ τὰ ἑαυτοῦ καὶ τὰ τῶν τοῦ ἑαυτοῦ· ἢ οἰκείαν φύσιν ἔχει, καὶ οὕτως οἶδεν αὐτὰ ὅ,τε χρηματιστὴς καὶ ὁ ἰατρός, ἢ συντελοῦντα πρὸς τὸ χρώμενον καὶ ὄργανα ὄντα· καὶ οὕτως ἀγνοοῦσιν οὗτοι ταῦτα. Οὕτως οὖν ἐλευθερώσομεν αὐτὸν τῆς φαινομένης ἐναντιολογίας τῆς πρὸς ἑαυτόν. Διὸ καὶ αὐτὸς ἐπισημαίνεται λέγων, ὅτι οὐ πάνυ ὀρθῶς ὁμολογήσαμεν, ὁμολογοῦντες ἄρτι εἶναί τινας οἷον ἑαυτοὺς μὲν οὐ γινώσκουσιν, τὰ ἑαυτῶν δέ[7]· ἄμφω γὰρ ἀληθῆ κατὰ τὸν εἰρημένον τρόπον· οἱ τὰ ἑαυτῶν ἀγνοοῦντες καὶ τὰ ἄλλων ἀγνοοῦσι· μία γὰρ τῶν ἀντικειμένων ἐπιστήμη, ὁ τὰ τῶν ἄλλων ἀγνοῶν τὰ τῶν πολιτῶν ἀγνοεῖ, ὁ τοιοῦτος οὐ πολιτικός, ὁ ἄρα ἀγνοῶν ἑαυτὸν οὐκ ἔστι πολιτικός. Εἶτα ἐποικοδομεῖ τούτῳ καὶ ἄλλα πολλὰ ἄτοπα, Ὄσσαν ἐπ' Οὐλύμπῳ[8], κατὰ τὸ ποιητικόν· ὅτι οὐδὲ ἠθικός ἐστιν, οὐδὲ οἰκονομικός, οὕτως ἀγνοῶν ἑαυτόν, οὐκ ἔστι πολιτικός. Ὁ μὴ ὢν πολιτικός, οὐκ ἔστιν οὔτε ἠθικός, οὐδὲ οἰκονομικός· τῷ γὰρ μεγάλῳ καὶ μικρῷ διαφέρουσιν, ὥσπερ τὰ μικρὰ γράμματα καὶ τὰ μεγάλα. Ὁ μήτε ἠθικός, μήτε οἰκονομικός· εἰ μὲν ἠθικὸς ᾖ, εἰς ἑαυτὸν ἁμαρτάνει, εἰ δὲ πολιτικός, εἰς πολλούς· ὁ εἰς ἑαυτὸν ἁμαρτάνων ἄθλιος, καὶ μάλιστα ἄθλιος, εἰ δύναμιν ἔχοι· ὁ δὲ εἰς πολλοὺς ἀθλιοποιός, καὶ μάλιστα εἰ δύναμιν αὐτοῖς περιποιήσῃ· ὁ ἄρα ἀγνοῶν ἑαυτόν, οὐ μόνον ἄθλιός ἐστιν, ἀλλὰ καὶ ἀθλιοποιός. Τρίτος συλλογισμός, ὅτι ὁ πολιτικὸς γινώσκει ἑαυτόν· ὁ γὰρ πολιτικὸς ἀγαθοὺς ποιεῖ τοὺς πολίτας[9]· οὗτος γὰρ ὁ ὁρισμὸς τοῦ πολιτικοῦ, τὸ ἀγαθοὺς ποιεῖν· ὁ ἀγαθοὺς ποιῶν, ἀγαθός· οὐδὲ γὰρ μεταδίδωσιν, οὗ μὴ ἔχῃ· ὁ ἀγαθὸς θεοφιλής· ταὐτὸν γὰρ ὁ ἀγαθὸς καὶ θεός· ὁ θεοφιλὴς τὸ ἐν αὐτῷ θεῖον οἶδεν· ὁ τοιοῦτος ἑαυτὸν οἶδε, διότι τὸ ἀκρότατον οἶδε τῆς ψυχῆς

(7) Edd. p. 133 d. p. 369 Bekk. οὐκ ἄρα πάνυ τι ὡμολογοῦμεν — οἵ ἑαυτοὺς — τὰ δὲ ἑαυτῶν. Cod. Bodl. — ὁμολογοῦμεν — τὰ δὲ αὐτῶν.

(8) Vid. Odyss. λ.314. Eadem verba in antecedentibus πρ. 21 adhibita vidimus. (9) Cf. ad haec et sqq. Aristotel. Ethic. Nicomach. I. 13. p. 18 sq. Sylb. et Porphyrii Sententt. p. 235 sqq. ed. Cantabrig.

καὶ τὸ ἀπάνθισμα [10]· ὁ ἄρα πολιτικὸς οἶδεν ἑαυτόν, Δείκνυσι δὲ καὶ τὸ λοιπὸν, ὃ παρέλαβεν ἐν τῷ β' συλλογισμῷ ἀναπόδεικτον, ὅτι ὁ ἀγνοῶν ἑαυτὸν μᾶλλον ἀθλιοποιός ἐστιν, εἰ δύναμιν προςλάβοι. Πρῶτον μὲν, ὅτι ἔοικεν οὗτος νοσοῦντι, νοῦν μὴ ἔχοντι, μὴ πειθομένῳ ἰατροῖς ἀλλ' ἐκτρέφοντα [11] τὸ σῶμα κακόχυμον ὂν, καίτοι εἰς κακοχυμίαν τῆς τροφῆς μεταβαλλομένης. Καλῶς γὰρ εἴρηται· τὰ μὴ καθαρὰ τῶν σωμάτων, ὁκόσω ἂν θρέψῃς μᾶλλον βλάψῃς [12]. Δεύτερον ἐπιχείρημα, ὅτι ἔοικεν ὁ τοιοῦτος τυράννῳ· οὐδὲν γάρ ἐστιν ὁ τύραννος, ἢ δύναμις ἐστερημένη λόγου. Τρίτον· οὔτε δύναμιν ἔχει· ἡ μὲν γὰρ δύναμις σωστική ἐστι τοῦ ἔχοντος, οὗτος δὲ φθείρει τὸ ἔχον· ὡς γὰρ κακία φθαρτική ἐστι, καὶ ὅμοιον ὡς εἰ ἄπειρος κυβερνητικῆς ἐπιχειρήσοι κυβερνᾶν· αἴτιος γὰρ γίνεται οὐ μόνον τῆς ἑαυτοῦ ἀπωλείας, ἀλλὰ καὶ τῆς τῶν σὺν αὐτῷ, καὶ τῶν συμπλεόντων. Ἐφ' οἷς δείκνυσιν, ὅτι τοῦ παλαιοῦ λόγου λέγοντος τὴν ἀρετὴν ἀδέσποτον καὶ ἐλευθέραν [13]· (ἔστι γὰρ φύσει ἐλευθέρα ἡ ἀρετή, μὴ ἀνεχομένη τοῖς χείροσι ὑποκατακλιθῆναι·) διὸ καὶ ἡ ψυχὴ ἐλευθέρα ἐστὶν, ὡς αὐτοκίνητος καὶ φύσει ἀρχική· ὅθεν καὶ δυσχερὲς ἀνθρώπων ἄρχειν ὡς φύσει ἀρχικῶν. Διὸ καὶ ὁ Πλάτων τὰς δυνάμεις τῆς ψυχῆς ἐν τῷ Φαίδρῳ ἵπποις ἀπείκασε διὰ τὸ γαῦρον· [14] τοιοῦτο δὲ καὶ τὸ ἀρχικόν. Ὁ δὲ Σωκράτης οὐκ ἀνέχεται μόνον [15] τούτων, ἀλλὰ καὶ ἄρχειν λέγει τὴν ἀρετὴν, καὶ τὸν κακὸν δοῦλον εἶναι, κἂν βασιλεὺς ᾖ [16]. Φύσει γὰρ δοῦλος ὁ κακὸς, κἂν πάντων ἀνθρώπων ἄρχῃ, ὥσπερ ὁ ἀγαθὸς ἐλεύθερος, κἂν δοῦλος ᾖ. Καὶ δείκνυσι τούτων ἑκάτερον· ὁ μὲν γὰρ ἀγαθὸς ἄρχων, διότι συνάπτει ἑαυτὸν θεῷ πάντων ἄρχοντι, ὁ δὲ κακὸς φύσει δοῦλος, διότι συνάπτει ἑαυτὸν τῇ ὕλῃ χειρίστῃ οὔσῃ καὶ ὑπὸ πάντων ἀρχομένῃ. Ἐφ' οἷς ἐν τῷ πέρατι τοῦ διαλόγου ἀνα-

(10) Voce *ἀπάνθισμα* augeri possunt Lexica. (11) Scrb. *ἐκτρέφοντι.* (12) Jam p. 137 eadem ex Hippocrate laudavit Noster; ubi vid. annot. (13) Vid. Ciceron. Parad. V. princ. et quos ibi laudat Gernhardus cf. quae supra citavimus ad Proclum in Alcib. I. p. 164 cf. Olymp. p. 56. De constructione verbi *ἀνέχεσθαι* cum Infinitivo in antecedentibus monitum est ad Olympiod. *πρ.* 11. p. 101. Hoc tamen loco attendendum est ad praecedens participium. (14) Locus est apud Platonem Phaedr. p. 246 sqq. Bip. T. X. Bekk. I, 1. p. 39. sqq. (15) Supr. *μόνων.* (16) Vid. Ciceron. l. c.

φαίνεται ὁ ἀντέρως· ἀντερᾷ γὰρ ὁ Ἀλκιβιάδης Σωκράτους. Διὸ καὶ ἀντιπελαργῆσαι αὐτὸν βούλεται. Ὥςπερ γὰρ οἱ πελαργοὶ [17] γηράσκοντας τοὺς γονεῖς ἐκτρέφουσι, λούουσιν, ἐποχοῦσι, πάντα ἁπλῶς ἐκτελοῦσιν, ὅσα οἱ πατέρες εἰς αὐτοὺς ἐπετέλεσαν, οὕτω καὶ Ἀλκιβιάδης μιμεῖται τὸν πελαργόν. Ἀπείκασται γὰρ ὁ ἀντέρως τῷ πελαργῷ, οὐ μόνον διὰ τὴν ἐπιστροφὴν, ἡ οἰκεῖα τῷ ἔρωτι, ἀλλὰ καὶ διότι ὑπόπτερος ὁ ἔρως, ὡς ἐν Φαίδρῳ φησὶ [18], διὸ καὶ πτέρως λέγεται παρὰ τὸ πτερόν.

Ταῦτα ἔχει ἡ θεωρία. — συγκαταπαύεται γὰρ αὐτῇ σὺν θεῷ καὶ ὁ παρὼν διάλογος. Τὸ δὲ γινώσκειν ἑαυτὸν λέγομεν σωφροσύνην εἶναι· ἐλέγετο γὰρ καὶ πάλαι, ὡς ἡ σωφροσύνη οἰκεία τῇ ἐπιστροφῇ· διότι περὶ τὸ ἔσχατον μόριον ἐποχεῖται τῇ ἐπιθυμίᾳ. Ἐπειδὴ οὖν οὐ δύναται ἠρεμεῖν ἡ ἡμετέρα φύσις, μὴ δυναμένη προϊέναι ἔτι, ὑποστρέφει πρὸς τὰ κρείττω. Αἱ γὰρ εἰς ἄκρον εὐεξίαι διὰ τοῦτο λέγονται σφαλεραί. — Ἆρα οὖν μὴ γινώσκοντες ἡμᾶς αὐτούς [19]. — Ἐντεῦθεν τοῦ πρώτου προβλήματος ἡ πρώτη πρότασις· ὅτι ὁ ἀγνοῶν ἑαυτὸν οὐδὲ τὰ ἑαυτοῦ οἶδε [20]. καὶ εἴρηται ἡ ἀπορία ἐν τῇ θεωρίᾳ καὶ ἡ λύσις. Καὶ πῶς ἂν τοῦτο γένοιτο, ὦ Σώκρατες [21]; Ἑτοίμως ἀποκρίνεται ὁ Ἀλκιβιάδης, διότι

(17) Vid. Scholl. in Plat. p. 83. Ruhnk. et cf. supra πρ. 12 ibiq. annot. p. 110. [Mox scrib. οἰκεία.]

(18) Vid. Platon. Phaedr. p. 252. b. Bip. T. I. Bekk. I, 1. p. 51. unde in primis huc pertinent hi versus:

τὸν δ' ἤτοι θνητοὶ μὲν Ἔρωτα καλοῦσι ποτηνόν,
ἀθάνατοι δὲ Πτέρωτα, διὰ πτεροφύτορ' ἀνάγκην.

Lexica, etsi habent ὑπόπτερος et similia, non habent πτέρως.

(19) Ἆρ' οὖν Edd. p. 133. c. Inter haec verba et praecedens Πάνυ γε satis multa interposita exhibent Stob. p. 181 et Euseb. P. E. p. 551., de quibus diverso modo judicant Critici. Vid. Buttmanni annot. 169 sq., qui quidem ipse pro spuriis habet. Contra Platoni nuper studuit vindicare Wernsdorf. in Prolusione super locis aliquot Critonis et Alcibiadis I. Lips. 1815. Verumtamen neque codices, quibus Bekkerus vir doctissimus est usus, nec Bodlejanus liber mscr. quidquam illorum verborum offerunt; neque magis Olympiodorus in suis libris videtur eorundem vestigium reperisse. Jam vero quum hic philosophus Procli Damasciique commentarios ubivis comparare soleat: consequens est, ut suspicemur, nec antiquiores interpretes aut cognovisse illam partem disputationis, aut certe agnovisse. (20) Vid. Scholl. in Plat. p. 83. Ruhnk. (21) Edd. p. 133. d.

ὠφελήθη ἐν τῷ διαλόγῳ τούτῳ, ὅτι ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ οὐσίαν οὐδὲ τὴν τελειότητα ἑαυτοῦ οἶδεν. Ἐπειδὴ οὖν εἶπεν ἀγαθὰ καὶ κακά, φησίν, ὅτι καὶ πῶς τοῦτο δυνατόν; *Ἀδύνατον ἴσως σοι φαίνεται.* — Ἰδοὺ ἡ λύσις τῆς ἀπορίας διὰ τοῦ *ἴσως*, ὅτι ἀδύνατον ἴσως ἐστὶ διὰ τὸν ἰατρόν, ἰδόντα μὲν τὰ ἑαυτοῦ, οὐ μὴν ἑαυτόν. Λέγει δὲ σαφέστερον τὴν λύσιν ἐφεξῆς· φησὶ γάρ, ὅτι οὐ γινώσκει τὰ Ἀλκιβιάδου, ὅτι Ἀλκιβιάδου ἐστίν· ἀντὶ τοῦ· εἰ καὶ κατὰ τὴν οὐσίαν αὐτῶν οἶδεν αὐτά, ἀλλ' οὐ τῇ πρὸς ἕτερον ἀναφορᾷ· εἰ ἄρα μηδὲ τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων· τοῦτο ἐκ περιττοῦ, ὅτι ὁ ἀγνοῶν τὰ ἡμῶν κτήματα καὶ τὰ τοῦ ἡμῶν. Ἤρκει γὰρ τὸ πρῶτον, ἀλλὰ διὰ περιουσίαν δυνάμεως. Πάλιν δὲ διὰ τούτων αἰνίττεται τὴν λύσιν, λέγων *τὰ τῶν ἡμετέρων*, ὅτι τῇ πρὸς αὐτὸν σχέσει. *Οὐκ ἄρα πάνυ τι ὀρθῶς ὁμολογοῦμεν* [22]. — Ἰδοὺ καὶ αὐτός, ὡς εἴρηται ἐν τῇ θεωρίᾳ, ἐπισημαίνεται τὰ ἀνωτέρω. Φησὶ γάρ, ὅτι οὐ καλῶς ἐλέγομεν τὸν χρηματιστὴν καὶ τὸν ἰατρὸν εἰδέναι τὰ ἡμῶν καὶ τὰ τοῦ ἡμῶν, μὴ εἰδότας ἑαυτούς. Εἰ γὰρ καὶ αὐτός οἶδεν ἐμέ, τὸ ἐμόν, τὸ τοῦ ἐμοῦ. — *Ὅς τις δὲ τὰ αὑτοῦ ἀγνοεῖ* [23]. Ἡ δευτέρα πρότασις [24]· μία γὰρ τῶν ἀντικειμένων ἐπιστήμη. Λοιπὸν δὲ ἐπάγει καὶ τὸ συμπέρασμα, ὅτι οὐδὲ ὁ πολιτικός. — *Οὐκ ἄρ' ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός.* Ἐν τῷ συμπεράσματι ἐξαίρει τὸν λόγον λέγων ὅτι οὐ δύναται ὁ τοιοῦτος ἀνὴρ πολιτικὸς εἶναι [25]· τουτέστι τοῦ ἀγαθοῦ, τοῦ παρὰ σοί, οὐ δύναται ἀπολαῦσαι· οὕτω καὶ οἱ ῥήτορες ἐν τοῖς ἐπιλόγος ἐξαίρουσι τὰ περὶ ὧν οἱ λόγοι. — *Οὐ μὴν οὐδὲ οἰκονομικός* [26]. — Ὁ δεύτερος συλλογισμός, ὅτι μὴ πολιτικός, οὐδὲ ἠθικός, οὐδὲ οἰκονομικός· τῷ γὰρ μεγάλῳ καὶ μικρῷ διαφέρει· — *Ὁ δὲ μὴ εἰδὼς οὐχ ἁμαρτήσεται;* Κατ' ἐρώτησι [27] τοῦτο, ὅτι καὶ ἄθλιός ἐστιν, εἰ ἑαυτοῦ μόνου ἐπιμελοῖτο· εἰ δὲ καὶ ἄλλων, ἀθλιοποιός, καὶ

(22) Edd. ὡμολογ. Sed. Cod. Bodl. plane cum Olymp. facit. uti p. 225 monitum est. (23) Edd. p. 133. e.
(24) Scholl. in Plat. p. 83. R. (25) Scholl. in Plat. p. 83. R.
(26) Edd. p. 134. a. οὐ μὴν οὐδ' οἰκονομικός γε. Verum γε neque in Cod. Bodl. comparet. (27) Scrib. ἐρώτησιν.

μάλιστα εἰ δύναμιν λάβοι. — Οὐδὲ ὁ πλουτήσας ἀθλιότητος [28] ἀπαλλάττεται. — Ὁ μὲν Τίμαιος τῇ ἐπινοίᾳ ἐχώρησε [29] τὸ θεῖον τοῦ κόσμου, ἵνα κατόψηται τὸν κόσμον, ὁποῖος ἔδει εἶναι χωριζομένου τοῦ θεοῦ. Ὁ δὲ Σωκράτης τὴν δύναμιν ἐχώρησε φιλοσοφίας, ἵνα κατόψηται αὐτὴν τοιαύτην οὖσαν, ὁποία ὀφείλει εἶναι χωριζομένη τοῦ σπουδαίου. — Οὐκ ἄρα τειχῶν, οὐδὲ τριήρων. — Ἐντεῦθεν ἄρχεται τοῦ δευτέρου συλλογισμοῦ τοῦ λέγοντος, ὅτι ὁ πολιτικὸς γινώσκει ἑαυτόν. Φησὶ γὰρ, ὅτι οὐκ ἄρα φροντιστέον τειχῶν καὶ τριήρων, ταῦτα γὰρ οὐκ εἰσιν αἴτια τοῦ εὐδαιμονεῖν, ἀλλὰ τοῦ κακοδαιμονεῖν· φροντιστέον δὲ τῷ πολιτικῷ τοῦ ἀγαθοὺς ποιεῖν τοὺς πολίτας καὶ πλουσίους. — Δύναιτο δ' ἄν τις μεταδιδόναι, ὃ μὴ ἔχοι [30]; Ἡ δευτέρα πρότασις, ὅτι ὁ ἀγαθοὺς ποιῶν, ἀγαθὸς, οὐδὲ γὰρ οὗ μὴ ἔχῃ, μεταδίδωσιν· εἰ δὲ τοῦτο, δεῖσθαι ἀρετῆς ἀντιποιεῖσθαι [31]. — Οὐκ ἆρα ἐξουσίαν σοι οὐδὲ ἀρχήν. — Ὅτι οὐ δεῖ πλοῦτον καὶ ἐξουσίαν περιποιεῖν, ἀλλὰ δικαιοσύνην καὶ σωφροσύνην. Τούτων δὲ τῶν ἀρετῶν ἐμνήσθη, διότι τὰς ἄλλας εἶχε, φρόνησιν ὡς ἕξιν ἔχων διοικητικὴν [32] τῶν τῆς πόλεως πραγμάτων, καὶ ἀνδρίαν ὡς στρατηγικός. — Δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως —. Τὴν τρίτην πρότασιν, ὅτι ὁ ἀγαθὸς θεοφιλὴς τὸ ἐν ἑαυτῷ θεῖον οἶδεν. Διὰ δὲ τοῦ λαμπροῦ ἐδήλωσε τὸ νοερόν· διὸ καὶ ἐφεξῆς ἀντιτάττει τούτοις τὸ ἄθεον καὶ σκοτεινόν. Εἰ δὲ τοῦτο περὶ τοῦ θείου τοῦ ἀνθρωπίνου καὶ τοῦ νεοροῦ τοῦ ἀνθρωπίνου διαλέγεται, εἴ γε καὶ τῶν ἀντικειμένων ἐμνήσθη· τὰ δὲ ἀντικείμενα ἐν μιᾷ ὕλῃ θεωρεῖται· πῶς δὲ ἆρα λέγει τὸν πολιτικὸν θεωρεῖν εἰς τὸ ἐν αὐτῷ θεῖον ὁ καθαρτικός; τοῦτο γὰρ οἰκεῖον τῷ ἐνθεαστικῷ. Ἢ τὸ θεῖον τριττόν ἐστιν· ἢ κατ'

(28) Edd. p. 134 b. *Οὐκ ἄρα οὐδ'*. Deinde codd. Vindob. et Bodl. *ματαιότητος* pro *ἀθλιότητος*.

(29) Videtur hic et proxime corrigendum: *ἐχώρισε*. Ceterum cf. Platonis Timaeum. p. 28 p. 22 sqq. ed. Bekker.

(30) Scholl. in Plat. l. c. Edd. p. 134. b. extrem: *ἔχει*. Sed Bekker. *ἔχοι*.

(31) Exspectes: *οὗ μὴ ἔχει* et *τοῦ ἀρετῆς ἀντιποιεῖσθαι*, nisi forte plura exciderunt.

(32) Hoc vocabulum (*διοικητικὸς*) non est in Schneideri Lexico.

αἰτίαν, ἢ κατ' [33] ὕπαρξιν, ἢ κατὰ μέθεξιν. Οἶδεν οὖν ὁ ἐνθεαστικὸς τὸ ἐν αὐτῷ καθ' ὕπαρξιν, οὗτος δὲ τὸ κατὰ μέθεξιν. Ἀλλὰ μὴν οὕτω γε πραττόντων ἡμῶν [34]. — Δείξας διὰ τοῦ πρώτου λόγου τοῦ λέγοντος, ὅτι ὁ ἀγνοῶν ἑαυτὸν ἄθλιός ἐστιν καὶ οὐ μόνον οὗτος [35], ἀλλὰ καὶ ἀθλιοποιός, διὰ τοῦτο αὐτάρκη τὴν κακίαν πρὸς κακοδαιμονίαν δείξας. Διὰ δὲ τοῦ δευτέρου συλλογισμοῦ τοῦ λέγοντος, ὅτι ὁ πολιτικὸς γινώσκει ἑαυτόν, δείξας, ὅτι αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν, φησὶν ἐνταῦθα, ὅτι ἐγγυήσασθαι τοῦτο αὐτὸ βούλομαι ἑκατέρῳ λόγῳ, ὅτι ὁ μὲν εὐδαίμων, ὁ δὲ κακοδαίμων· Ἀσφαλὴς δὲ ἐγγυητής [36]· ὁ Σωκράτης, ὡς ἐπιστήμων ἐν λόγοις, ἀσφαλὴς ἐγγυητής. Καὶ ὁ μὲν περίπατος ἓν τούτων δέχεται, ὅτι αὐτάρκης ἡ κακία πρὸς κακοδαιμονίαν, οὐ μὲν τὸ λοιπόν· διότι βούλεται ἀνθρώπινος [37] ὁ Ἀριστοτέλης [38] δεῖσθαι πρὸς εὐδαιμονίαν κτῆσιν καὶ τῶν ἐκτός· ὁ δὲ Πλάτων ἄμφω δέχεται· — ὧ γὰρ ὤφειλεν Ἀλκιβιάδη ἐξουσία μὲν ᾗ ποιεῖν ὃ βούλεται [39]. Ἐντεῦθεν δείκνυσι τὸ ἀκατασκεύως παρειλημμένον, ὅτι μᾶλλον ἄθλιός ἐστιν ὁ δύναμιν ἔχων, καὶ κατασκευάζει τοῦτο διὰ τριῶν λόγων· πρώτου μὲν τοιούτου· ἔοικεν οὗτος νοσοῦντι ἰατρικὸν νοῦν μὴ ἔχοντι καὶ μὴ πειθομένῳ ἰατρῷ. Οὗτος γὰρ χρώμενος τροφαῖς ἀτάκτοις ἐπαύξει τὴν κακοχυμίαν. Καὶ ταῦτα δεῖ ὑπεκκαίειν ἐν τῇ ψυχῇ, δίκην ἀργυρίου, ἵνα συνουσιῶνται

(33) Scr. καθ'. (34) In Edd. est πράττοντας ἡμᾶς ἐθέλω ἐγγυήσασθαι κ. τ. λ. p. 134. e. Bekk. p. 371.

(35) F. αὐτός. (36) Edd. p. 134 e. ἀσφαλὴς γὰρ εἶ ἐγγυητής.

(37) An scrib. ἀνθρωπίνως.

(38) Aristotel. Ethic. Nicom. VII. 13. p. 131 sq. Sylb: — καὶ διὰ τοῦτο πάντες τὸν εὐδαίμονα ἡδὺν οἴονται βίον εἶναι, καὶ ἐμπλέκουσι τὴν ἡδονὴν εἰς τὴν εὐδαιμονίαν, εὐλόγως· οὐδεμία γὰρ ἐνέργεια τέλειος, ἐμποδιζομένη· ἡ δ' εὐδαιμονία, τῶν τελείων· διὸ προσδεῖται ὁ εὐδαίμων τῶν ἐν σώματι ἀγαθῶν, καὶ τῶν ἐκτός, καὶ τῆς τύχης, ὅπως μὴ ἐμποδίζηται ταῦτα· οἱ δὲ τὸν τροχιζόμενον καὶ τὸν δυστυχίαις μεγάλαις περιπίπτοντα, εὐδαίμονα φάσκοντες εἶναι, ἐὰν ᾖ ἀγαθός, ἢ ἑκόντες, ἢ ἄκοντες, οὐδὲν λέγουσι. Ad quae confer Zellii Commentar. p. 319 sq. Proxime corrigendum: πρὸς εὐδαιμονίας κτῆσιν, de qua formulâ copiose exposuit Wyttenbach. ad Plutarchi Moralia animadvv. I. p. 81.

(39) Scr. ex Edd. ᾧ γάρ, ὦ φίλε Ἀλκιβιάδη, ἐξουσία μὲν ᾖ ποιεῖν ὃ βούλεται κ. τ. λ. p. 134. e. Bekk. p. 372.

ἡμῖν. — Τυραννοῦν [40] δὲ, ὡς μηδὲν ἐπιπλήττει [41] τις αὐτῷ —. Τὸ δεύτερον, ὅτι ἔοικε τυράννῳ· τὰ γὰρ ὄργανα μάλιστα βλάπτει τοῦ χρωμένου καλῶς ἀμοιρήσαντα. Διὸ καὶ εἴρηται· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος [42]. — Ἄρα οὐχ [43], ὡς τὸ εἰκὸς, διαφθαρῆναι τὸ σῶμα; Τὸ τρίτον, ὅτι οὔτε δύναμίς ἐστιν, ἀλλ' ἀδυναμία, διότι οὐδεμία δύναμις φθείρει τον ἔχοντα. Καὶ παράγει τὸ τοῦ κυβερνήτου παράδειγμα καὶ δείκνυσιν, ὅτι καὶ ἄθλιος ὁ κακὴν δύναμιν ἔχων καὶ ἀθλιοποιός. — π [44] δὲ τὴν [45] ἀρετὴν ἔχειν τὸ ἄρχεσθαι ἄμεινον —. τὸ [46] κατασκευάζει, ὅτι οὐ μόνον ἐλευθέρα ἐστὶν ἡ ἀρετὴ, ἀλλὰ καὶ ἀρχική· ἡ γὰρ ἀρετὴ συνάπτει ἑαυτὴν θεῷ, τῷ πάντων ἄρχοντι, ἡ δὲ κακία τῇ ὕλῃ ὑπὸ πάντων ἀρχομένῃ καὶ ἐσχατιᾷ οὔσῃ. Τί οὖν, οὐ δουλεύει θεῷ ὁ σπουδαῖος; ἢ δουλεία αὕτη [47] κρείττων ἐστὶ πάσης ἀρχῆς, καὶ τῇ τοιαύτῃ ἄρχει τῶν ἄλλων. Ἄμεινον γὰρ τὸ τοιοῦτο ἑτεροκίνητον τοῦ αὐτοκινήτου. Φησὶν οὖν, ὅτι ἄμεινον δοῦλον εἶναι ἢ δεσπότην καὶ ἄρχοντα, τὸν μὴ ἔχοντα ἀρετήν. — Οὐκοῦν τό γε ἄμεινον καὶ κάλλιον; δέδεικται γὰρ ὅτι πᾶν καλὸν ἀγαθὸν, καὶ τὸ ἀναπάλιν. Πρέπει ἆρα τῷ κακῷ δουλεύειν. — Ὁ ἆρα Ἀλκιβιάδης, ὁ πάντων ἀνθρώπων ἄρχεσθαι ἐθέλων, δοῦλος ἀποδέδεικται, εἰ μὴ ἀρετῆς ἀντιποιήσεται. — Μάλιστά γε, ὦ Σώκρατες. — Ἑτοίμως ἀποκρίνεται, διότι ἀρχικὸς φύσει ὢν οὐκ ἀνέχεται δουλεύειν. — Αἰσθάνει [48] δὲ νῦν, πῶς ἔχεις; Ἐλευθεροπρεπῶς· ἦν γὰρ φύσει ἐλευθεροπρεπὴς ὁ Ἀλκιβιάδης· διὸ καὶ τοῖς Ἀθηναίοις ἐκκλησιαζομένοις περὶ πόρου χρημάτων αὐτεπάγγελτος [49] δέκα τάλαντα ἐπιδέδωκε τῇ βουλῇ,

(40) Scr. ex Edd. *τυραννοῦντι.*
(41) Edd. *μηδὲ ἐπιπλήττοι.* Cod. Bodl: *ἐπιπλήττοντι ἑαυτῶι.*
(42) Vid. Odyss. *π*,294. et *τ*,13. (43) Edd. *ἆρ' οὐχ.*
(44) Sic. Scr. ex Edd. p. 135 b. *πρὶν.* (45) Edd. *γε* pro *τὴν.*
(46) Lacuna parva est in Cod. MS. Excidisse suspicor *δ'* i. e. *τέταρτον.* (47) Fort. *ἡ δουλεία αὕτη.* Ceterum similia legas in Epictet. Fragm. 8. et in N. T. v. c. Epist Rom. VI. 6. VII. 25. [Mox *ἀνάπαλιν* et bis *ἆρα.*]
(48) Antea h. l. p. 135 c. editum *αἰσθάνῃ.* Sed Cod. Bodl. cum Olymp. facit, et ita ediderunt Ast. et Bekker.
(49) De re p. 33 vidimus. Vocabulum ex iisdem vocibus compositum *αὐτάγγελος* (qui ipse nuntiat, qui ipse indicat) explicat

***Ινα μὴ ὀνομάζωμεν* — *Τῇ ἀποσιωπῇ* [50] *ἐξογκοῖ τὸ πρᾶγμα*, οἷον τὸ δουλοπρεπὲς πρέπον τῇ ὕλῃ, ὡς αἰσχρῶς καὶ ἀνειδέως, τὸ ἀκατονόμαστον. Ὁ δὲ φησὶν, ὅτι *ἐὰν βούλει* [51] *σὺ, ὦ Σώκρατες, ἀποφυγεῖν ἔχω.* Καὶ οὐκ ἀποδέχεται τὸν λόγον ὁ Σωκράτης· φησὶ γὰρ, ὅτι *οὐ καλῶς εἶπας* [52], *ἀλλ' ἐὰν βουληθῇ ὁ θεός*· Αἱ γὰρ ἀρεταὶ, ὡς μὲν ἀρεταὶ, ἀνθρώπιναί εἰσιν, ὡς δὲ εὐδαιμονίας περιποιητικαὶ καὶ θεόθεν παράγονται. Διὸ ἄμφω ἀληθῆ, καὶ τὸ Ἀλκιβιάδου καὶ τὸ Σωκράτους. *Καὶ πρὸς τούτοις μὲν* [53] *ὧδε λέγω* —. Ἐντεῦθεν ὁ ἀντέρως: Φησὶ γὰρ, ὅτι κινδυνεύομεν μεταβαλεῖν τὸ σχῆμα· καὶ γενέσθαι ἐγὼ ἐραστὴς, σὺ δὲ ἐρώμενος, — *Καὶ ἄρξομαί γε ἐντεῦθεν τῆς δικαιοσύνης* —. Ἀκούσας πελαργοῦ, φησὶν, ὅτι ἄρξομαι δίκαιος εἶναι, διότι δίκαιον τὸ ζῶον. *Βουλοίμην δ' ἂν* [54] *σε καὶ διατελέσαι* —. Ἤθελον μὲν διατελέσαι σε· φοβοῦμαι δὲ διότι δήμου ἐραστὴς ὑπάρχεις· Καὶ ἰδοὺ καὶ ὁ Σωκράτης οἶδεν, ὅτι οὐ μενεῖ, ἀλλὰ χωρήσει ἐπὶ τὸ χεῖρον. — *Μὴ ἐμοῦ τε καὶ σοῦ κρατήσῃ* [55]. — Πῶς κρατεῖ καὶ Σωκράτους ὁ δῆμος; ἢ ὡς ἐρωτικοῦ καὶ μετὰ τῶν παιδικῶν αὐτοῦ κρατήσει [56];

**Τέλος.**

Suidas T. I. p. 383 ubi vid. scriptorum locos quos laudat. Zonaras in L. gr. p. 341 *αὐτεπάγγελτος* explicat *ὁ αὐτόκλητος*. Eunapius p. 74 hoc usurpat de Deo, qui ultro advenit; qui idem aliis *ἄκλητος* dicitur. Tu vid. Wyttenbach. ad Eunap. l. l. p. 270 sq. Proxima verba *τῇ βουλῇ* si abessent nemo desideraret; sed tamen fortasse ipse Olympiodorus adjecit per *ἐπεξήγησιν*.

(50) Vocabulum *ἀποσιωπῇ* corrigendum ex Scholl. in Plat. p. 83. R. *τῇ ἀποσιωπήσει*.

(51) Scr. *βούλῃ*, ut in Edd. (52) Edd. *λέγεις*.

(53) Edd. *μέντοι τόδε*. (54) *δ'* non est in Edd.

(55) Sunt extrema verba dialogi.

(56) Videri possit aliquid deesse. Abrumpitur enim ultimâ propositione neque vero absolvitur oratio. Sed tamen cum *ἐν τῇ θεωρίᾳ* de his copiosius egerit Interpres, et in hac omni verborum explicatione brevitati studeat; nolim decernere.

## Bei H. L. Brönner in Frankfurt a. M. sind nachstehende Verlagsbücher erschienen:

Reise Sr. Durchlaucht des Prinzen Maximilian von Neuwied nach Brasilien in den Jahren 1815 — 1817. 2 Bände gr. 4. mit 22 Kupfern, 19 Vignetten und 3 Karten. Pränumerations-Preis auf Schreibpapier 4 Carolins oder 25 Rthlr. pr. Cour. Auf Velin-Papier 6 Carolins oder 37 Rthlr. 12 gr. pr. Cour. Dasselbe mit en gouache gemahlten Kupfern 36 Carolins oder 225 Rthl. pr. Cour.

Passavant's, Dr. Joh. Carl, Untersuchung über den Lebens-Magnetismus, die Magie und das Hellsehen. gr. 8. 4 fl. 12 kr. oder 2 Rthlr. 8 gr.

Radlof, ausführliche Schreibungslehre der teutschen Sprache für Denkende, durchaus neu bearbeitet. Nebst zwei Schrifttafeln. gr. 8. 4 fl. 48 kr. oder 2 Rthlr. 16 gr.

— — die Sprachen der Germanen in ihren sämmtlichen Mundarten dargestellt und erläutert, gr. 8. 1816.
Druckpapier 3 fl. 36 kr. oder 2 Rthl.
Schreibpapier 4 fl. 36 kr. oder 2 Rthl. 16 gr.

Reinhardsches Beicht- und Communionbuch, oder Betrachtungen für Communicanten aus den Schriften des seligen Oberhofpredigers Reinhard in Dresden gezogen von C. Fried. Dietzsch, Stadtpfarrer in Oehringen; 2te verbesserte Aufl. 8.

— — dasselbe auf Velin-Papier.

Reinhard, Dr. F. V., Ansichten und Benutzungen der Sonn- und Festtäglichen Evangelien aus dessen sämmtlichen über diese Lehrtexte vorhandenen Predigten zusammengestellt und mit dessen Genehmigung herausgegeben von Ernst Zimmermann.
Auch unter dem Titel:
Homiletisches Handbuch für denkende Prediger, 3 Theile, 8. 1814. (Der 4te Theil ist unter der Presse.) 7 fl. oder 4 Rthlr. 12 gr.

Sind, J. B. von, sicher und geschwind heilender Pferde-Arzt oder gründlicher Unterricht über die Erkenntniss, Ursachen und Heilung der Krankheiten der Pferde. Völlig umgearbeitet von K. W. Ammon, und mit Anmerkungen und Zusätzen versehen von Seyfert von Tennecker; 8te vermehrte und verbesserte Auflage, gr. 8. 2 fl. oder 1 Rthlr. 4 gr.
Auch unter dem Titel:
Handbuch für angehende Pferde-Aerzte; auch für Oeconomen und Pferdeliebhaber nützlich zu gebrauchen. Von K. W. Ammon. Mit Anmerkungen und Zusätzen versehen von S. von Tennecker.

Thilo, Dr. Ludwig, Professor der Mathematik und Physik, Lehrbuch der reinen Elementar-Mathematik, gr. 8.

Hess, Dr. Ph. C., Anleitung zum Uebersetzen aus dem Teutschen in das Griechische, für Anfänger zur Einübung der Formenlehre. 8. 54 kr. oder 12 gr.
Auch unter dem Titel:
Uebungsbuch zum Uebersetzen aus dem Teutschen in das Griechische, von Hess und Vömel, 1tes Bändchen.
Desselben 2r Band, Uebungsbuch für höhere Klassen, 2te Auflage 1 fl. 12 kr. oder 16 gr.
Desselben 3r Band, die griechische Synonimik als zum Ganzen gehöriges teutsch griechisches und grammatikalisches Wörterbuch. 2 fl. 24 kr. oder 1 Rthlr. 8 gr.

Arndt, Chr. Gottl. v., Ueber den Ursprung und die verschiedenartige Verwandschaft der europäischen Sprachen. Nach Anleitung des russ. allgem. vergl. Wörterbuchs. Herausgegeben von Dr. Joh. Ludw. Klüber. gr. 8. 3 fl. 36 kr. oder 2 Rthl.

**Böhms**, A., gründliche Anleitung zur Messkunst auf dem Felde, nebst zwei Anhängen von dem Nivelliren, und von der Markscheidekunst, 3te Auflage, grösstentheils umgearbeitet von J. G. J. Cämmerer, mit 15 neugezeichneten Kupfertafeln, gr. 8. 4 fl. 30 kr. oder 3 Rthlr.

**Döllinger**, Ignatz, Beiträge zur Entwickelungsgeschichte des menschlichen Gehirns, mit 2 Kupfern gr. Fol. auf Velinpapier geb. 2 fl. 24 kr. oder 1 Rthl. 8 gr.

**Egerer**, J. E. J. F., die theoretisch-practische Forstwissenschaft. Versuch eines allgemein vollständigen auf die Natur der Wälder und bereits gemachten Erfahrungen gegründeten Systems, 2 Theile, 8. 7 fl. oder 4 Rthlr. 8 gr.

**Hess**, Dr. Ph. C., Observationes criticae in Plutarchi Vitam Timoleontis. Praefixa est epistola ad virum celeberrimum Fridericum Creuzerum. gr. 8. 1 fl. 30 kr. oder 20 gr.

**Krebs**, Dr. J. P., Anleitung zum Lateinisch-Schreiben in Regeln und Beispielen zur Uebung und Gebrauche der Jugend, 8. 2te Aufl. 2 fl. 6 kr. oder 1 Rthl. 4 gr.

**Miltenberg**, Dr. W. A., die Höhen der Erde, oder systematisches Verzeichniss der gemessenen Berghöhen, und Beschreibung der bekanntesten Berge der Erde. Nebst einem Anhange enthaltend die Höhen von vielen Städten, Thälern, Seen etc. Ein Beitrag zur physischen Erdkunde, gr. 4. 5 fl. 24 kr. oder 3 Rthlr.

**Minner**, J. M.. Italienisch-teutsche Gespräche für das gesellschaftliche Leben, nach Beauval, 8. 3 Theile 1 fl. 48 kr. oder 1 Rthlr.

— — Englisch-deutsche Gespräche für das gesellschaftliche Leben, nach Beauval, 8. 3 Theile 1 fl. 48 kr. oder 1 Rthl.

— — Spanisch-deutsche Gespräche für das gesellschaftliche Leben, 8. 1 fl. 12 kr. oder 16 gr.

Schattenbild eines für sein Vaterland als Opfer ritterlich gefallenen teutschen Prinzen, aus einigen seiner Briefe entworfen und seinen Vettern den deutschen Prinzen, Grafen und Herrn als Spiegel aufgestellt, 8. Druckp. 1 fl. 48. kr. oder 1 Rthlr. Schreibpapier 2 fl. oder 1 Rthl. 4 gr. Velinp. 2 fl. 24 kr. oder 1 Rthlr. 8 gr.

**Strak**, Dr. F., Eloah, oder Erhebungen des Herzens zu Gott in einer Reihe von Gesängen und metrischen Gebeten, 2te sehr vermehrte und verbesserte Auflage mit 1 Kupfer, und Vignetten 8.
Auf Velinpap. geh. 3 fl. oder 1 Rthlr. 16 gr.
Dasselbe auf weiss Druckpap. 2 fl. oder 1 Rthlr. 4 gr.
Dasselbe auf ord. Papier ohne Kupf. 1 fl. 20 kr. oder 18 gr.

**Thilenius**, Dr. M. G., medicinische und chirurgische Bemerkungen, neue Auflage 2 Theile, gr. 8. 1r Theil 3 fl. 30 kr. oder 2 Rthl. 8 gr.
2r Theil 4. fl. 48 kr. oder 2 Rthlr. 16 gr.

**Voigt**, Prof. F. S., Grundzüge einer Naturgeschichte als Geschichte der Entstehung und weitern Ausbildung der Naturkörper, gr. 8. mit 3 Kupfern. 5 fl. 24 kr. oder 3 Rthlr.